



Isocrates

ISOCRATIS

OPERA OMNIA.

TOMUS SECUNDUS.

Bibliopolæ apud quos veneunt Parisiis,

Franc. Ambr. Didot l'ainé, rue Pavée S. André.
Guillelm. de Bure, quai des Augustins.
Alexand. Jombert jeune, rue Dauphine.
Theophil. Barrois jeune, quai des Augustins.

ISOCRATIS OPERA OMNIA

GRÆCÈ ET LATINÈ,

cum versione nova, triplici indice, variantibus lectionibus, et notis,

EDIDIT ATHANASIUS AUGER,

Lascuriensis diœcef. vicarius gen. necnon regiæ Inscript. Paris. et Rothomag. academ. socius.

TOMUS SECUNDUS.



SUMPTIBUS EDITORIS EXCUDEBAT

PARISIIS

FRANC. AMBR. DIDOT L'AINÉ.

M. DCC. LXXXII.

ANALYSIS ORATIONIS

INSCRIPTÆ

ἈΡΧΊΔΑΜΟΣ.

PROPOSITUM.

Quum Lacedæmonii post clades ad Leuctra & Mantineam, pacem à Thebanis peterent, hi promiserunt se illam ipsis eâ conditione daturos, si Messenam instaurarent, & liberam esse paterentur. Socii Lacedæmoniorum censebant illam urbem & regionem dimittendam esse ut pax fieret: Archidamus junior, filius Agesilai Spartanorum regis, in concilio Spartæ huic opinioni adversatur.

Exordium.

Ostendit cur loquatur licet junior. Adolescentes opinari possunt præsertìm in rebus tanti momenti. Quantùm ad se attinet, mallet mori quàm legi à Thebanis impositæ parere. Lacedæmonii non debent dimittere Messenam, & sociis turpia suadentibus cedere.

Nàrratio.

Exponitur quas ob causas Lacedæmonii in Peloponneso consederint, & quo pacto Messena in ipsorum potestatem venerit.

Confirmatio.

Lacedæmonii Messenam non debent dimittere: nam

I. Idem jus habent in eam, ac in ipsam Lacedæmona.

II. Eam possident à quatuor sæculis & ampliùs.

III. Nulli unquam nec Barbari nec Græci cum ipsis contenderunt de legitimâ hujus possessione.

IV. Oraculum Delphicum bis pronuntiavit hanc ipſorum eſſe.

V. Prædicta argumenta breviter repetuntur.

Refutatio.

Prima objectio. Juſto utile aliquando præponendum, temporum iniquitati parendum.

Reſponſio. 1°. Utilitas juſtitiæ nunquam præponenda eſt, præſertìm quum juſtum dimittendo dubitatur utrùm utile adventurum ſit.

2°. Ex magnis cladibus aliquando ad ſumma exſurgitur. Afferuntur exempla Athenienſium, Dionyſii tyranni, Amyntæ Macedonum regis, & ipſorum Thebanorum.

Concluditur non deſperandum eſſe tales nunc eventuras rerum mutationes.

Secunda objectio. Non fidendum bello, rei ſævæ ac temerariæ.

Reſponſio. Nihil per ſe abſolutè eſt bonum vel malum. Bellum aliquando bonum, pax aliquando mala. Pax felicibus optanda; bellum infelicibus quærendum.

Excitantur Lacedæmonii ne ſe in turpe fœdus conjiciant, ſed bellum fortiter appetant; nec minori animo ſuam ipſorum patriam univerſi defendant quàm ſinguli ipſorum externas urbes olim defenderunt; denique, ne patiantur ſe nunc ignavos haberi.

Tertia objectio. Hoſtes ſunt potentes, Lacedæmonii infirmi & auxiliis deſtituti.

Reſponſio. Enumerantur omnia auxilia ſive interna ſive externa quæ Lacedæmoniis aderunt: juſtitia cauſæ, optima reipublicæ adminiſtratio, civitas Athenienſis, Ægypti rex, &c. minores Peloponneſi civitates, quæ laſſatæ malis ad Spartam confugient.

Etiamsi omnia auxilia deessent, non accipiendæ turpissimæ conditiones.

Proponitur singulare consilium, deserendam esse Spartam, & conflandum exercitum qui quocumque facilè pervagetur. Deindè

1°. Describitur ille exercitus, & probatur illum fore invictum.

2°. Exemplo Atheniensium & Phocæensium instigantur Lacedæmonii ut rem propositam peragant.

Varias adhibet rationes Archidamus quibus cives suos dissuadeat à Messenâ dimittendâ.

I. Periculum imminens si urbem hostilem vicinam habeant.

II. Viris fortibus, Lacedæmoniis præsertim, mors subeunda potiùs quàm dedecus admittendum.

III. Reverentia ludorum Olympicorum, in quos jam prodire erubescerent.

IV. Recordatio egregiorum facinorum à majoribus patratorum.

V. Athenienses & Thebani non ex pacis otio, sed ex belli calamitatibus ad summam potentiam evecti.

VI. Perorat animos extollendo, & sensus Spartâ dignos inspirando.

VII. Concludit ejus consilio de bellicis rebus obtemperandum, cujus majorum ductu clades bellica nunquam accepta sit.

Oratio hæc videtur scripta fuisse anno antè Christum 370, Isocratis ætatis 66.



ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΑΡΧΙΔΑΜΟΥ,

ἀδήλου τοῦ γράψαντος.

Μετὰ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι, καὶ πολλάκις αὐτὴν ἐκάκωσαν· ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις συνεχῶς φεύγουσι, καὶ εἰπεῖν, μὴ καὶ δεύτερον ἡμᾶς ἔχομεν ἐν τῇ γαστρὶ δέξασθαι; Καὶ οὕτω συστραφέντες, ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. Μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην. Οἱ δὲ ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, εἰ Μεσσήνην ἀνοικίσωσι, καὶ αὐτόνομον ἐάσωσι. Τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις μὴ ἀνοικίσαι. Κατάγεται δὲ οὕτως ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἆγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος. Καὶ οἱ μὲν λέγουσιν, ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δὲ φασὶ, γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος, συμβουλεύων Λακεδαιμονίοις. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη. Στάσις δὲ τοῦ λόγου πραγματική. Κεφάλαιον δὲ, τὸ συμφέρον.

(lineâ 4.) Μὴ καὶ, hîc *numquid* interpretare.

(l. 4 & 5.) Ἐν τῇ γαστρὶ, meliùs εἰς τὴν γαστέρα.

(l. 5 & 6.) Historia dicit Thebanos vicisse ad Mantineam. Hîc dicitur vicisse Lacedæmonios, quia in hoc prælio



ARGUMENTUM ORATIONIS

INSCRIPTÆ

ARCHIDAMUS,

incerto autore.

POST pugnam Leuctricam Thebani incurſabant Lacedæmona, & ſæpiùs ipſam infeſtabant, adeò ut etiam Lacedæmoniorum uxores Lacedæmoniis ſubindè fugientibus occurrerent, dicerentque, numquid denuò vos in uterum recipere poſſumus? Itaque converſi in hoſtem ad Mantineam vicerunt, ab equitatu Athenienſium ſtrenuè adjuti. Poſt res ad Mantineam geſtas, per legatos pacem petiêre à Thebanis: qui promiſerunt ſe quieturos eſſe ſi Spartani Meſſenam inſtaurarent, & liberam eſſe paterentur. Quod quum alii non cenſerent recuſandum, Archidamus junior adverſatur. Hoc autem Archidami minoris genus eſt: Zeuxidamus, cujus filius erat Archidamus, cujus Agis, cujus Ageſilaus, cujus Archidamus. Et alii quidem dicunt Archidamum miſiſſe Athenas & orationem hanc ab Iſocrate accepiſſe: alii autem ſentiunt hanc ſcripſiſſe Iſocratem exercendi ingenii gratiâ, ut oſtenderet quidnam dicturus fuiſſet Archidamus, ſi Lacedæmoniis dediſſet conſilium. Et hoc eſt orationis argumentum: ad genus deliberativum pertinet, & ſumma ipſius ab utili ducitur.

---

occiſus eſt Thebanorum dux Epaminondas.

(l. 17.) Antè *τίνας* adde vel ſubaudi *δειξάντες*.



ἌΛΛΗ ὙΠΌΘΕΣΙΣ

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΛΌΓΟΥ,

Ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασσέως.

Τίς δ᾽ ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας τοῦ ῥήτορος; πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ᾽ ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ προέσθαι Μεσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν.

Ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις, ἥτε περὶ Λεῦκτρα μάχη, καὶ πολλαὶ μετ᾽ ἐκείνην ἕτεραι. Καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε, καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει· τὰ δὲ τῆς Σπάρτης ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. Τελευτῶσα γοῦν ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ Μεσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. Ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι, καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς.

Ἐν ᾧ διεξέρχεται πρῶτον μὲν, ὡς δικαίως ἐκτήσαντο Μεσήνην Λακεδαιμόνιοι, παραδόντων τε αὐτὴν τῶν Κρεσφόντου παίδων, ὅτε ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέξασθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις, πρὸς

(l. 15.) Συνετάξατο, nempè, ὁ Ἰσοκράτης.

ALIUD ARGUMENTUM

EJUSDEM ORATIONIS,

à Dionysio Halicarnasseo.

Quis vel rempublicam, vel homines privatos faciliùs in suam adducat sententiam quàm hic orator? cùm multis aliis in locis, tùm in oratione Laconicâ, quæ inscribitur Archidamus, & hoc argumentum continet, nempè, neque Messenam Bœotis tradendam, neque hostium imperata esse facienda.

Nam & clades ad Leuctra Lacedæmoniis jam contigerat, & multa alia deindè prælia haud feliciùs evenerant: ac Thebanorum quidem opes florebant, & processerant ad imperii magnitudinem; Spartanorum autem res erant afflictæ, & longè degenerârant à dignitate veteris principatûs. Tandem igitur Spartani, ut pacem impetrarent, deliberabant esset-ne Messenio agro cedendum, quoniam hæc ipsis necessitas à Bœotis imponeretur. Quum igitur videret Isocrates, eos indigna suis majoribus esse facturos, hanc orationem conscripsit Archidamo qui junior erat, necdùm regno potitus, sed magnam spem habebat ejus honoris adipiscendi.

In quâ oratione commemorat primùm jure occupasse Messenam Lacedæmonios, tùm à Cresphonte liberis regno pulsis traditam, tùm jubente Delphico oraculo urbem accipere, & affectis injuriâ opitulari, tùm bello constabilitâ

δὲ τούτοις, ἐπικυρώσαντος μὲν τὴν κλῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. Διδάσκει δ᾽ ὡς οὐ Μεσσηνίοις, τοῖς οὐκέτ᾽ οὖσιν, ἀλλὰ δούλοις καὶ Εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν. Διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων, οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας, καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν. Παραινεῖ δὲ, μὴ συγκαταπίπτειν ταῖς τύχαις, μηδ᾽ ἀπογιγνώσκειν τὰς μεταβολάς· ἐνθυμουμένους ὅτι πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι, ὑπὸ τῶν ἀσθενεστέρων ἐκρατήθησαν, πολλοὶ δ᾽ εἰς πολιορκίαν κατακλεισθέντες, καὶ δεινότερα ἢ Λακεδαιμόνιοι πάσχοντες, διέφθειραν τοὺς ἐπιστρατεύσαντας. Καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥτις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γιγνομένη, τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. Παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων· ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ, καὶ πολέμων ἐμπειρίαις, ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. Οἴεται δὲ δεῖν αὐτοὺς κακῶς πράττοντας, μὴ εἰρήνης ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ πράγματα ἐλπὶς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ ἀκινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν.

(l. 15 & 16.) Τοῖς βαρβάροις προσταττόμενον, idem ac ὑπὸ τῶν βαρβάρων προσταττόμενον.

poſſeſſione & longo tempore corroboratâ. Docet etiam non Meſſeniis qui nulli jam eſſent, ſed ſervis & Hilotibus, confugium & belli propugnaculum Thebanos id oppidum tradituros. Enumerat & pericula quæ ipſorum majores imperii causâ adierint, & quâ ſint ipſi apud Græcos exiſtimatione commonefacit. Hortatur ne fortunâ abeunte ſuccumbant, nec de rerum mutatione in melius deſperent, cogitantes nimirùm multos Thebanis potentiores, ab imbecillioribus jàm eſſe devictos, multos obſidione circumcluſos, & graviora paſſos quàm patiuntur Lacedæmonii, eos perdidiſſe à quibus oppugnabantur. Adducit in exemplum Athenienſium civitatem, quæ, quum maximè floreret, everſa, extrema pericula ſuſtinuerit, ne dicto audiens eſſet Barbaris. Monet ut præſentia fortiter perferant, & de futuris benè ſperent, quum ſciant tales calamitates à civitatibus emendari optimâ reipublicæ adminiſtratione, & peritiâ rei militaris, quibus Sparta reliquas civitates ſuperabat. Cenſet non iis optandam eſſe pacem qui adversâ fortunâ utuntur, quibus è novarum rerum molitione ſpes eſt fortunæ melioris propoſita, ſed iis qui proſperâ ſorte gaudent, ſiquidem extrà diſcrimen poſiti ea quæ ipſis ſuppetunt bona poſſunt conſervare.

(l. 22.) Καινουργίας, correxi mendum quod irrepſerat κακεργίας.

(l. 23 & 24.) Pro ἐν γὰρ τῷ κινδύνῳ quod cæteri legunt, legi ἐν γὰρ τῷ ἀκινδύνῳ quod ipſa res & oratio poſtulant.

Πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν, ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπιεικεία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις, καὶ παρὰ θεῶν καὶ παρὰ συμμάχων, καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη· καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν, ἐπιδειξάμενος· τελευτῶν, εἰ καὶ μηδὲν τούτων μέλλοι γίνεσθαι, μηδ' ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν, διδάσκων αὐτοὺς ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας, καὶ τὸν ἄλλον ὄχλον, εἴς τε Σικελίαν ἐκπέμψαι, καὶ Ἰταλίαν, καὶ τἄλλα χωρία τὰ φίλια, αὐτοὺς δὲ καταλαβομένους τόπον, ὅστις ἂν ὀχυρώτατος ᾖ, καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν, ἀνδράσι κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δ' ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι.

Ταῦτα γὰρ οὐ Λακεδαιμονίοις μόνον συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι, καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν, καὶ τὸ καλόν.

(l. 22.) Volfius addidit μόνον quod deest in aliis editionibus.



Multis præterea aliis commemoratis, quæcumque præclara illustrissimi Spartæ cives publicè privatímque in bello patraverint; demonstrans deindè quantum suscepturi dedecus, & in quantum crimen apud Græcos sint venturi, quódque ipsis ab omni parte, si certamen inierint, auxilium aliquod præstò futurum sit, & à Diis, & à sociis, & ab universis hominibus qui Thebanæ potentiæ incrementis invideant; ostensis præterea confusione & tumultu quibus urbes Græcæ, Bœotis rerum potientibus, agitentur: tandem, ut nihil horum eveniat, nec ulla spes incolumitatis alia relinquatur, urbem eos deserere jubet, docetque uxores & liberos, ceteramque turbam in Siciliam & Italiam, & reliqua loca quæ iis amica sunt, mitti oportere, ipsos verò, occupato castello aliquo munitissimo, & ad gerendum bellum opportunissimo, hostes terrâ marique summis viribus persequi: nullum enim exercitum ausurum esse collatis signis dimicare cum viris Græciæ bellicosissimis, qui vitam censeant vilissimam, & quibus justa ira & causa honestissima eam necessitatem imposuerit.

Hæc ego non Lacedæmoniis solùm, sed aliis quoque Græcis, atque adeò cunctis hominibus, Isocratem longè meliùs suadere dixerim, quàm omnes philosophos qui summum vitæ bonum in virtute & honestate ponunt.

(l. 23.) Αὐτὸν, nempè, τὸν Ἰσοκράτην.



ἈΡΧΙΔΑΜΟΣ. *

ἼΣΩΣ τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι μεταβολὴν, ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων νεώτερος ὢν, παρελήλυθα συμβουλεύσων. Ἐγὼ δ', εἰ μέν τις ἄλλος τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν, ἀξίως ἦν τῆς πόλεως εἰρηκὼς, ἡσυχίαν ἂν ἦγον· νῦν δὲ, ὁρῶν τοὺς μὲν συναγορεύοντας, οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς δ' οὐκ ἐρρωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπασιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος ἃ γινώσκω περὶ τούτων· αἰσχρὸν νομίσας εἰ τὴν ἰδίαν τάξιν τοῦ βίου διαφυλάττων, περιόψομαι τὴν πόλιν ἀναξίως προσφερομένην ἑαυτῆς.

Ἡγοῦμαι δ' εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους, περί γε τοῦ πολεμεῖν, ἢ μὴ, προ-

* Inscribitur etiam hæc oratio Λακεδαιμόνιος, vel, ὁ πρὸς Λακεδαιμονίους λόγος, nempè, quòd vel habita fuerit, vel haberi potuerit, ab Archidamo apud Lacedæmonios.

[lineâ 12.] Vulg. ἀποφηνάμενος, dedi ἀποφανούμε-



ARCHIDAMUS.

EXORDIUM.

Vestrum aliqui forſan mirantur, cur ipſe qui hactenùs inſtituta noſtræ civitatis, ut haud ſcio an quiſquam alius meorum æqualium ſervavi, adeò jam immutatus ſim, ut quibus de rebus ſeniores verba facere verentur, de iis ego adoleſcens ſententiam dicere aggrediar. Ego verò, ſi quis alius eorum qui apud vos concionari ſolent, pro dignitate reipublicæ dixiſſet, continuiſſem me tacitus: nunc quum videam alios hoſtium imperatis patrocinari, alios non fortiter adverſari, alios prorsùs obmutuiſſe, ſurrexi, ut quod his de rebus ſentio, declarem; id nimirum turpe eſſe ratus, ſi, ut privatam meæ vitæ rationem teneam, commiſerim ut reſpublica non ſatis pro dignitate ſaluti ſuæ conſulat.

Quòd ſi ullâ de aliâ re decet adoleſcentes dare conſilium, bellum certè vel ſuadere, vel diſſua-

---

νος cum Codd. H, N, & Battie. Cod. I habet ἀποφαινόμενος.

[l. 17.] Τοὺς τηλικούτους, homines eâ ætate quâ ego ſum, i. e. juvenes.

σήκειν μάλιστα τούτοις συμβουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν· ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόντων ἐν κοινῷ καθεστῶτος ἡμῖν. Εἰ μὲν γὰρ ἦν ἀποδεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους περὶ μηδενὸς ὀρθῶς γινώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ συμβουλεύειν. Ἐπειδὴ δ' οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων, ἀλλὰ τῇ φύσει, καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ ἐξ ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν' ἐξ ἁπάντων ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα. Θαυμάζω δὲ, ὅσοι τριηρῶν μὲν ἡγεῖσθαι, καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευσάμενοι, πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν περιβάλοιμεν· εἰπεῖν δ' ἃ γιγνώσκομεν περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν, οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν οἷς κατορθώσαντες μὲν ἅπαντας ἂν ὠφελήσαιμεν, διαμαρτόντες δὲ τῆς ἡμετέρας γνώμης, αὐτοὶ μὲν ἴσως ἂν φαυλότεροι δόξαιμεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν. Οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ' ὡς ἄλλως πως παρεσκευασμένος ζῆν, ἢ τὸν παρελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων·

[l. 4.] Vulg. ὑμῖν, emendavi ἡμῖν cum Codd. K,

dere, ipsis maximè convenire arbitror, qui periculorum partem maximam sustinebunt: quum præsertìm, quid facto sit opus intelligere, in medio sit omnibus positum. Nam si exploratum esset, seniores de omnibus rebus rectissimè judicare, juniores autem ubique veritate falli, non immeritò nos à dicendâ sententiâ arceremur. Sed quum non ob annorum numerum aliis alii sapientiâ præcellant, sed ob ingenium & diligentiam; nonne utriusque ætatis periculum faciendum est, ut ex omnibus iis quæ dicta fuerint, vobis utilissima quæque liceat eligere. Eos porrò miror, si qui sunt qui arbitrentur nos quidem terrâ marique cum imperio præesse oportere; ubi si non rectè consulamus, multis magnisque calamitatibus circumvenerimus rempublicam; dicere autem quæ sentimus non oportere, ubi totius rei judicium penes vos est, & ubi, si scopum attigerimus, utilitas publicè ad omnes, sin nostrâ aberraverimus opinione, dedecus privatìm ad nos pertinebit, sine ullo reipublicæ detrimento. Neque verò vel ullâ dicendi cupiditate, vel pristinæ meæ vitæ mutandæ consilio impulsus, hæc comme-

---

M, N, & Battie.

[l. 19 & 20.] Διαμαρτόντες δὲ τῆς ἡμετέρας γνώμης, interpretatus sum, sin nostrâ aberraverimus sententiâ; potuisset etiam verti, sin nostrâ falsi fuerimus opinione, i. e. si non ità rectè senserimus ut arbitrabamur.

ἀλλὰ βουλόμενος ὑμᾶς προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν, ἀλλ' ἐν ἁπάσαις ζητεῖν, εἴ τις δύναται περὶ τῶν παρόντων πραγμάτων εἰπεῖν ἀγαθόν τι.

Ὡς δ' ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε πόλεμος, οὔτε κίνδυνος περὶ τηλικούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ ὅσων νῦν βουλευσόμενος συνελήλυθα. Πρότερον μὲν γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν, ἠγωνιζόμεθα· νυνὶ δὲ ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον· ὃ σημεῖον ἐλευθερίας ἐστίν. Ὑπὲρ ἧς οὐδὲν ὅ,τι τῶν δεινῶν οὐχ ὑπομενητέον, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μηδὲ ἀνάνδρως διακειμένοις, ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. Ἐγὼ μὲν οὖν (εἰ δεῖ με τοῦτο ἴδιον εἰπεῖν) ἑλοίμην ἂν ἀποθανεῖν ἤδη μὴ ποιήσας τὸ προσταττόμενον μᾶλλον ἢ πολὺ πλείονα χρόνον ζῆν τοῦ τεταγμένου, ποιήσας ἃ Θηβαῖοι κελεύουσιν. Αἰσχυνοίμην γὰρ ἂν εἰ γεγονὼς μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύοντος, αὐτὸς δὲ ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης, περιίδοιμι καθ' ὅσον ἐστὶν ἐν ἐμοὶ, τὴν χώραν, ἣν ἡμῖν οἱ πρόγονοι κατέλιπον, ταύτην τοὺς οἰκέτας τοὺς

[l. 5.] Ὡς hîc significat, quia, quam significationem interdum habet, & idem valet ac γάρ.

[l. 7 & 8.] Βουλευσόμενος συνελήλυθα, i. e. βουλευ-

moravi;

moravi; ſed vos hortari volui ne ullam ætatem improbaretis, at in omnibus quæreretis ſi quis fortè poſſet de præſenti rerum ſtatu utiliter admonere.

Nec enim ex quo primùm hanc urbem tenemus, ullum vel bellum, vel periculum, de tantis rebus oblatum, de quantis nunc vobiſcum deliberaturus conveni. Nam antehac quidem de imperio in alios exercendo dimicabamus; nunc autem hoc agitur ne ipſi imperata faciamus: quod ſignum libertatis eſt, pro cujus defenſione nullæ acerbitates, nulla pericula ſunt recuſanda, non ſolùm nobis, ſed etiam aliis qui non prorsùs imbelli ſunt animo, at virtutem vel tantillùm præ ſe ferunt. Ego certè, ſi quid de me privatìm dicendum eſt, malim jam emori, quum imperata non fecero, quàm ætatem longè ultrà naturæ fines producere, ſi ea feciſſem quæ Thebani jubent. Puderet enim me natum ex Herculis familiâ, patriſque regis filium, cui dignitatis idem gradus propoſitus eſt, committere, quantùm in me fuerit, ut quam regionem noſtri majores nobis reliquerunt, eam ſervi noſtri obtinerent.

σόμενος σὺν ὑμῖν ἐλήλυθα.

[l. 11 & 12.] *Ὑπομονητέον*, ab uſitato *ὑπομονέω*. Fortè legendum *ὑπομενετέον* ab *ὑπομένω*.

[l. 15.] *Με*, vulg. *μετά*. Cod. N habet *εἰ δεῖ με τι τῶν ἰδίων εἰπεῖν*, & ſuprà *εἰ δεῖ μετὰ τοῦτ' ἴδιον εἰπεῖν.*

ἡμετέρους ἔχοντας. Ἀξιῶ δὲ καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν· ἐνθυμηθέντας ὅτι μέχρι μὲν ταύτης τῆς ἡμέρας δεδυστυχηκέναι δοκοῦμεν ἐν τῇ μάχῃ τῇ πρὸς Θηβαίους, καὶ τοῖς μὲν σώμασι κρατηθῆναι διὰ τῶν οὐκ ὀρθῶς ἡγησαμένων, τὰς δὲ ψυχὰς ἔτι καὶ νῦν ἀηττήτους ἔχειν. Εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας κινδύνους, προησόμεθά τι τῶν ἡμετέρων, βεβαιώσομεν τὰς Θηβαίων ἀλαζονείας, καὶ πολὺ σεμνότερον τρόπαιον τοῦ περὶ Λεῦκτρα, καὶ φανερώτερον στήσομεν καθ᾽ ἡμῶν αὐτῶν. Τὸ μὲν γὰρ, ἀτυχίας, τὸ δὲ, τῆς ἡμετέρας διανοίας, ἔσται γεγενημένον. Μηδεὶς οὖν ὑμᾶς πείσῃ τοιαύταις αἰσχύναις τὴν πόλιν περιβαλεῖν.

Καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβεβουλεύκασιν ὑμῖν, ὡς χρὴ, Μεσήνην ἀφέντας, ποιήσασθαι τὴν εἰρήνην. Οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε πολὺ μᾶλλον ἢ τοῖς ἐξ ἀρχῆς ἀποστᾶσιν ἡμῶν. Ἐκεῖνοι μὲν γὰρ, ἀφέμενοι τῆς ὑμετέρας φιλίας, τὰς αὑτῶν πόλεις ἀπώλεσαν, εἰς στάσεις, καὶ σφαγὰς, καὶ πολιτείας πονηρὰς ἐμβαλόντες· οὗτοι δὲ, ὑμᾶς κακῶς ποιήσοντες ἥκουσι. Τὴν γὰρ δόξαν ἣν ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κατέλιπον, αὐτὴν ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ἡμᾶς ἀποβαλεῖν· ἧς οὔτ᾽ ἀπρεπεστέραν τῇ Λακεδαίμονι, οὔτε δεινοτέραν, οὐδέποτ᾽ ἂν εὑρεῖν ἠδυνήθησαν. Εἰς τοῦτο

Verùm & vos in eâdem mecum ſententiâ eſſe vellem, illud reputantes nos in hunc uſque diem adversâ fortunâ uſos in prælio adverſus Thebanos commiſſo, & corporibus quidem culpâ ducum ſuperatos, animos autem adhuc invictos gerere. At ſi metu imminentium periculorum quidquam conceſſerimus de jure noſtro, inſolentiam Thebanorum confirmabimus, & tropæum Leuctrico illo multò gravius & illuſtrius contrà nos ipſi erigemus. Illud enim temeritati fortunæ, hoc noſtræ ignaviæ tribuetur. Nemo igitur vos inducat ut in tantum dedecus civitatem conjiciatis.

Atqui nimis properè vobis ſuaſerunt ſocii, ut, Meſſenâ deditâ, faciatis pacem: quibus multò æquiùs iraſceremini quàm iis qui initio à vobis defecerunt. Illi enim, quum ab amicitiâ noſtrâ ſe removiſſent, ſuas ipſi urbes, ſeditionibus exagitatas & cædibus, mutato in deterius ſtatu, everterunt: hi autem voſmet læſuri huc accedunt, dùm gloriam quam per ſeptingentos annos magnis laboribus & periculis partam majores noſtri nobis reliquerunt, eam parvo temporis ſpatio ut abjiciamus ſuadent: quo ſanè nec Lacedæmoni contumelioſius, nec acerbius quidquam excogitare po-

[l. 12.] Πείσῃ, vulg. πείσει. Habent quoque πείσῃ Codd. K, N.

[l. 24.] Ἧς ſubaudi vel adde γνώμης.

δι' ἥκουσι πλεονεξίας, καὶ τοσαύτην κατεγνώκασιν ἡμῶν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς ἀξιώσαντες ὑπὲρ τῆς αὑτῶν πολεμεῖν, ὑπὲρ Μεσήνης οὐκ οἴονται δεῖν ἡμᾶς κινδυνεύειν. Ἀλλ' ἵν' αὐτοὶ τὴν σφετέραν αὐτῶν ἀσφαλῶς καρπῶνται, πειρῶνται διδάσκειν ἡμᾶς ὡς χρὴ τοῖς ἐχθροῖς τῆς ἡμετέρας παραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις ἐπαπειλοῦσιν ὡς εἰ μὴ ταῦτα συγχωρήσομεν, ποιησόμενοι τὴν εἰρήνην κατὰ σφᾶς αὐτούς. Ἐγὼ δ' οὐ τοσούτῳ χαλεπώτερον ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων, ὅσῳ καλλίω, καὶ λαμπρότερον, καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστότερον. Τὸ γὰρ μὴ δι' ἑτέρων, ἀλλὰ δι' ἡμῶν αὐτῶν, πειρᾶσθαι σώζεσθαι καὶ περιγίγνεσθαι τῶν ἐχθρῶν, ὁμολογούμενον τοῖς ἄλλοις τῆς πόλεως ἔργοις ἐστίν. Οὐδὲ πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ' ἀεὶ νομίζων τοὺς περὶ ταῦτα διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις· νῦν οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην, ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν. Ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπίζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει.

Πρῶτον μὲν οὖν οἶμαι δεῖν ὑμᾶς ὑπομνῆσαι, δι' ὃν τρόπον ἐκτησάμεθα Μεσήνην, καὶ δι' ἃς

[l. 10.] Vulg. τοσοῦτο, mendum evidens, & ceteræ

tuissent. Eò quippè iniquitatis venerunt, & tantæ nos condemnârunt ignaviæ, ut quos sæpè bellum pro suis agris gerere postulârunt, eosdem nunc de Messenâ pugnare vetent; & quò suis ipsi opibus securè fruantur, nos edocere studeant hostibus de regione nostrâ cedendum esse; neque his contenti, minitentur etiam, nisi assentiamur, se pacem per se privatìm facturos. Ego verò sic existimo non tantò gravius nobis fore belli discrimen quod sine istis geretur, quantò honestius, & pulchrius, & apud universos homines gloriosius. Nam non aliorum ope, sed per nos ipsos, conari incolumes esse & hostes superare, id aliis nostræ civitatis facinoribus erit consentaneum. Etsi autem eloquentiam nunquam suspexerim, sed semper existimaverim eos qui in eo studii genere versarentur in rebus gerendis ignaviores esse; nunc tamen nihil mihi perindè in votis est, quàm ut de propositis rebus ex animi mei sententiâ verba facere possim. Indè enim sperarem me plurimùm hoc tempore reipublicæ profuturum.

Narratio.

Ac primùm arbitror vos commonefaciendos esse quo pacto Messena in vestram potestatem ve-

---

editiones habent τοσύτῳ.

[l. 18.] Ἀργοτέρυς τὰς πράξεις, explica, ἀργοτέρυς κατὰ τὰς πράξεις, vel ἐν ταῖς πράξεσι.

αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε, Δωριεῖς τὸ παλαιὸν ὄντες. Διὰ τοῦτο δὲ περιλήψομαι πόρρωθεν, ἵν' ἐπίστησθε διότι ταύτην ὑμᾶς τὴν χώραν ἀποστερεῖν ἐπιχειροῦσιν, ἣν ὑμεῖς οὐδὲν ἧττον ἢ τὴν ἄλλην Λακεδαίμονα κέκτησθε δικαίως.

Ἐπεὶ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον, θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλάνοις ἦσαν, τελευτήσαντος δ' Εὐρυσθέως, κατῴκησαν ἐν Δωριεῦσιν. Ἐπὶ δὲ τῆς τρίτης γενεᾶς ἀφίκοντο εἰς Δελφούς, χρήσασθαι τῷ μαντείῳ περί τινων βουληθέντες. Ὁ δὲ θεὸς περὶ ὧν μὲν ἐπηρώτησαν, οὐκ ἀνεῖλεν, ἐκέλευσε δ' ἐπὶ τὴν πατρῴαν ἰέναι χώραν. Σκοπούμενοι δὲ τὴν μαντείαν, εὕρισκον, Ἄργος μὲν κατ' ἀγχιστείαν αὐτῶν γιγνόμενον· Εὐρυσθέως γὰρ ἀποθανόντος, μόνοι Περσειδῶν ἦσαν καταλελειμμένοι· Λακεδαίμονα δὲ καταδουλωθεῖσαν (ἐκβληθεὶς γὰρ Τυνδάρεως ἐκ τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυδεύκης ἐξ ἀνθρώπων ἠφανίσθησαν, καταγαγόντος αὐτὸν Ἡρακλέους, δίδωσι τὴν χώραν, διά τε τὴν εὐεργεσίαν ταύτην, καὶ διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας)· Μεσήνην δὲ δοριάλωτον ληφθεῖ-

[l. 4 & 5.] Τὴν ἄλλην Λακεδαίμονα, reliquam Lacedæmona, i. e. reliqua Lacedæmonis dominia.

[l. 17 & 23.] Λακεδαίμονα, Μεσήνην, refer hos ac-

nerit, & quas ob cauſas conſederitis in Polopon-neſo quum Dorienſes ab origine ſitis. Altiùs verò rem propterea repetam, ut intelligatis eam vobis regionem illos eripere velle, quam non deteriore jure poſſidetis quàm reliqua Lacedæmonis dominia.

Poſtquam enim Hercules vitam mutavit, deus è mortali factus, initio liberi ejus, ob inimicorum potentiam, variis erroribus agebantur; poſt obitum autem Euryſthei, apud Dorienſes conſederunt. Tertiâ demùm ætate, quum, certis de rebus oraculum conſulturi, Delphos veniſſent, Apollo ad interrogata nihil reſpondit, ſed in patriam terram eos abire juſſit. Conſideratâ igitur hujus oraculi ſententiâ, deprehenderunt Argos propinquitatis jure ad ſe pertinere; quippè extincto Euryſtheo, ſoli Perſidarum ſupererant: Lacedæmonem verò tanquam ſervam ſibi traditam; Tyndareus enim, poſtquam Caſtor & Pollux ex his terris evanuerant, regno pulſus, & ab Hercule reſtitutus, hanc illi regionem tradiderat, cùm ob iſtud beneficium, tùm ob liberorum ſuorum cognationem: Meſſenam denique expugnatam vi, ſuamque eſſe

---

cuſativos ad εὕρισκον.

[l. 19 & 20.] Ἐξ ἀνθρώπων ἠφανίσθησαν, non ἐτελεύθησαν, quia quum de obitu Caſtoris & Pollucis nihil certi traderetur, credebantur non mortui fuiſſe, ſed in numerum deorum relati.

σαν. Συληθεὶς γὰρ Ἡρακλῆς τὰς βοῦς ἃς ἐκ τῆς Ἐρυθείας ἐξήλασεν, ὑπὸ Νηλέως καὶ τῶν παίδων, πλὴν Νέστορος, λαβὼν αὐτὴν αἰχμάλωτον, τοὺς μὲν ἀδικήσαντας ἀπέκτεινεν, Νέστορι δὲ παρακατέθετο τὴν πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν, ὅτι νεώτατος ὢν, οὐ συνεξήμαρτε τοῖς ἀδελφοῖς.

Ὑπολαβόντες δὲ οὕτως ἔχειν τὴν μαντείαν, καὶ τοὺς προγόνους τοὺς ὑμετέρους παραλαβόντες, καὶ τὸ στρατόπεδον συστησάμενοι, τὴν μὲν ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνακολουθήσασιν ἔδοσαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοὶ παρ' ἐκείνων ἔλαβον· ἐπὶ δὲ τούτοις πίστιν ἀλλήλοις δόντες, ἐποιοῦντο τὴν στρατείαν. Τοὺς μὲν οὖν κινδύνους τοὺς ἐν τῇ πορείᾳ γενομένους, καὶ τὰς ἄλλας πράξεις τὰς οὐδὲν πρὸς τὸ παρὸν φερούσας, τί δεῖ λέγοντα διατρίβειν; πολέμῳ δὲ κρατήσαντες τοὺς ἐν τοῖς τόποις τοῖς εἰρημένοις κατοικοῦντας, τριχῇ διείλοντο τὰς βασιλείας. Ὑμεῖς μὲν οὖν μέχρι ταύτης τῆς ἡμέρας, ἐμμένετε ταῖς συνθήκαις, καὶ τοῖς ὅρκοις οὓς ἐποιήσασθε πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους. Διὸ καὶ τὸν παρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε, καὶ τὸν ἐπιόντα προσδοκᾶν χρὴ τοιούτους ὄντας, βέλτιον ἢ νῦν πράξειν. Μεσήνιοι δ' εἰς τοῦτ' ἀσεβείας ἦλθον, ὥστ' ἐπιβουλεύσαντες ἀπέκτειναν Κρησφόντην τὸν οἰκιστὴν μὲν τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον

factam. Nam Hercules bobus quos ex Erytheâ abegerat, à Neleo & ejus filiis, Neſtore excepto, ſpoliatus, quum urbe potitus eſſet, eos quidem à quibus affectus erat injuriâ, interfecit, Neſtoris autem fidei oppidum commiſit, cordatum hominem eſſe ratus, quòd, etſi natu minimus, fraterni delicti ſocius eſſe noluiſſet.

Quum igitur oraculi ſententia hæc eſſe videretur, aſſumptis veſtris majoribus, exercituque comparato, regionem quæ erat ſua inter expeditionis ſocios dividendam pacti ſunt, à quibus & ipſi regnum acceperunt peculiari jure poſſidendum. Atque his conditionibus fide utrimque datâ, expeditio ſuſcepta eſt. Ac pericula quidem quæ in itinere adierunt, & cæteras res quæ ad inſtitutum non pertinent, quid neceſſe eſt prolixiùs commemorare? Bello autem victis eorum locorum quæ diximus incolis, regna tripartitò diviſerunt. Et vos quidem in hunc uſque diem pacta & jusjurandum majoribus noſtris datum, ſervatis. Quapropter & ſuperiori tempore feliciùs quàm alii rem egiſtis, & in poſterum, quum tales ſitis, ſperandum eſt feliciùs quàm nunc vos acturos. Meſſenii autem eò impietatis venerunt, ut per inſidias Creſphontem occiderint, urbis conditorem, regionis dominum,

δι' Ἡρακλέους, αὐτὸν δὲ γεγενημένον ἡγεμόνα. Διαφυγόντες δ' οἱ παῖδες αὐτοῦ τοὺς κινδύνους, ἱκέται κατέστησαν ταύτης τῆς πόλεως, ἀξιοῦντες βοηθεῖν τῷ τεθνεῶτι, καὶ τὴν χώραν διδόντες ἡμῖν. Ἐπερόμενοι δὲ τὸν θεὸν, κἀκείνου προστάξαντος δέχεσθαι ταῦτα, καὶ τιμωρεῖν τοῖς ἠδικημένοις, ἐκπολιορκήσαντες Μεσηνίους, οὕτως ἐκτήσασθε τὴν χώραν.

Περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ἡμῖν ὑπαρξάντων, ἀκριβῶς μὲν οὐ διῆλθον· ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν, ἀλλ' ἀναγκαῖον ἦν συντομώτερον, ἢ σαφέστερον, διαλεχθῆναι περὶ αὐτῶν. Οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων οἶμαι πᾶσιν εἶναι φανερὸν, διότι τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν, οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν, ἢ τὴν ἀμφισβητουμένην. Ταύτην μὲν γὰρ οἰκοῦμεν, δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς ἔχοντας. Ἐκείνην δὲ ἐλάβομεν παρὰ τῶν αὐτῶν, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐταῖς. Εἰ μὲν οὖν οὕτως ἔχομεν, ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν, μηδ' ἂν αὐτὴν τὴν Σπάρτην ἐκλείπειν ἡμῖν προστάττωσι, περίεργόν ἐστι περὶ Μεσήνης σπουδάζειν. Εἰ δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν ἀποστερούμενος τῆς πατρίδος, προσήκει καὶ περὶ ἐκείνης ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν· τὰ γὰρ αὐτὰ

ſatum ex Hercule, & ducem ſibi factum. Cujus liberi, vitato periculo, ſupplices huic urbi facti ſunt, vobisque traditâ regione petierunt ut patris necem ulciſceremini. Vos igitur, conſulto oraculo, juſſi & accipere quæ offerrentur, & affectis injuriâ opem ferre, expugnatâ urbe Meſſeniorum, ſic illorum regionem acquiſiviſtis.

CONFIRMATIO.

I. Ac de primo quidem veſtro jure, etſi non accuratè diſſerui (neque enim tempus præſens patitur antiquas fabulas enarrare, ſed neceſſe fuit brevitati potiùs quàm perſpicuitati conſulere); attamen etiam ex his manifeſtum omnibus eſſe arbitror, non aliam fuiſſe rationem ejus regionis acquirendæ quam noſtram eſſe confitentur omnes, quàm controverſæ. Hanc enim colimus, & ab Herculis poſteritate datam, & Delphico oraculo confirmatam, & incolis ejus bello ſuperatis. Illam verò ab iiſdem, eodemque modo accepimus, iiſdemque uſi vaticiniis. Quòd ſi hoc ſumus animo ut nullâ in re iſtis repugnemus, etiamſi Spartam deſerere nos juſſerint, ſupervacaneum eſt de Meſſenâ laborare. Sin nemo veſtrûm eſt qui patriâ ſpoliatus vivere ſuſtineat, non aliter etiam de illâ

δικαιώματα καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν εἰπεῖν ἔχοιμεν.

Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις, καὶ τὰς ἰδίας καὶ τὰς κοινὰς, ἢν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. Ἡμεῖς τοίνυν Μεσήνην εἵλομεν, πρὶν ἢ Πέρσας λαβεῖν τὴν βασιλείαν, καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων τῶν Ἑλληνίδων. Καὶ τούτων ὑπαρχόντων ἡμῖν, τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν, ὥσπερ πατρῴαν οὖσαν, ἀπεδίδοσαν, ὃς οὔπω διακόσια ἔτη κατέχει τὴν ἀρχήν· ἡμᾶς δὲ Μεσήνης ἀποστεροῦσιν, οἳ πλεῖον ἢ διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ Πλάταιαν μὲν καὶ Θεσπιὰς ἐχθὲς καὶ πρῴην πεποιήκασιν ἀναστάτους, ταύτην δὲ διὰ τριακοσίων ἐτῶν κατοικίζουσιν· ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες. Καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ᾽ εὐλογώτερον ἂν εἰς ὑμᾶς ἐξήμαρτον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν. Ὥστε μὴ τοῦτ᾽ εἶναι χαλεπώτατον, εἰ τῆς χώρας στερηθησόμεθα παρὰ τὸ δίκαιον·

[l. 11.] Ἀπεδίδοσαν, nempè οἱ Θήβαιοι.

[l. 13.] Διπλασίος duplò major, duplò longior. Interpretare ad verbum : qui plus quàm per duplò longius

debetis esse animati, quum idem utrimque jus, eadem defensio nobis sit.

II. Præterea nec illud vos latet, possessiones sive privatas sive publicas, si longum tempus intercesserit, universos existimare sibi proprias esse & tanquam patrimonia. Nos autem Messenam cepimus, priusquam Persæ regno potirentur Asiamque subigerent, & priusquam pleræque Græcæ urbes conderentur. Et quum tanta nostræ causæ sit æquitas, Thebani Barbaro Asiam, tanquam patrimonium, adjudicârunt, qui nondùm ducentos annos imperium tenuit: iidemque Messenam nobis eripiunt, qui per tempus duplò longius quàm tantum temporis spatium ipsam tenuimus. Ac Platæas quidem & Thespias nuper admodùm everterunt, hanc autem post trecentos annos instaurant; utrumque contrà jusjurandum & fœdera facientes. Quòd si germanos restituerent Messenios, agerent quidem injustè, attamen magis cum prætextu in nos delinquerent: nunc autem Hilotas in viciniâ nostrâ collocant. Quare non hoc gravissimum est, si præter jus & æquum nostra nobis

---

tempus quàm tantum, nempè, temporis spatium....

[l. 20.] Εἵλωτας. Hilotæ, servi Lacedæmoniorum, olim incolæ vici Helos in Laconiâ. Quem vicum per vim ceperunt Lacedæmonii, & incolas in servitutem redegerunt.

ποιουμένοις τὴν αἴτησιν· ὑμῖν δὲ ἐδήλωσε καὶ θυσίας οἵας ἔδει ποιήσασθαι, καὶ βοήθειαν παρ' ὧν μεταπέμπεσθαι.

Καίτοι πῶς ἂν μαρτυρίαν μείζω, καὶ σαφεστέραν παράσχοι τίς τούτων; Φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων λαβόντες τὴν χώραν (οὐδὲν γὰρ κωλύει διὰ βραχέων πάλιν περὶ αὐτῶν ἔπι διελθεῖν)· ἔπειτα κατὰ πόλεμον αὐτὴν ἔχοντες, ὃν τρόπον αἱ πλεῖσται τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν· ἔτι δὲ τοὺς ἠσεβηκότας εἰς τοὺς παῖδας τοῦ Ἡρακλέους ἐκβεβληκότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερωρίσθησαν· πρὸς δὲ τούτοις, καὶ τῷ πλήθει τοῦ χρόνου, καὶ τῇ τῶν ἐχθρῶν κρίσει, καὶ ταῖς τοῦ θεοῦ μαντείαις, προσηκόντως ἔχοντες αὐτήν. Ὧν ἕκαστόν ἐστιν ἱκανὸν διαλῦσαι τοὺς λόγους τῶν κατηγορεῖν τολμώντων, ὡς ἢ νῦν διὰ πλεονεξίαν οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυμοῦντες ἐπολεμήσαμεν πρὸς Μεσηνίους. Περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν εἰπεῖν ἴσως πλείω τούτων· οὐ μὴν ἀλλὰ καὶ ταῦθ' ἱκανῶς εἰρῆσθαι νομίζω.

Λέγουσι δὲ οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας, μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων, εὐτυχοῦντάς τε καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν εὖ βουλεύεσθαι, καὶ ταῖς τύχαις ἐπακολουθεῖν, καὶ μὴ

iniqua

iniquà petentibus nihil respondit, nobis autem declaravit, & quæ sacra facienda, & auxilia undè accersenda essent.

V. At verò quod testimonium majus & evidentius his afferri potest? Constat enim nos primùm illam regionem accepisse ab iis quorum erat (nihil enim vetat eadem denuò paucis perstringere): deindè belli jure tenere, quomodo pleræque urbes illis temporibus constitutæ sunt: ad hæc, eos qui liberos Herculis nefario scelere violârant, à nobis ex eâ ejectos fuisse; quos quidem æquum fuerat ex universo terrarum orbe exterminari: denique & longitudine temporis, & hostium judicio, & Dei oraculis, eamdem per jus obtinere. Quorum singula sufficiunt ad refellendas eorum calumnias qui nosmet accusare audent, quasi aut nunc proprii commodi studio pacem repudiemus, aut olim rerum alienarum desiderio bellum cum Messeniis gesserimus.

REFUTATIO.

Prima objectio.

Dicunt autem qui pacis faciendæ nobis autores sunt, viris sapientibus non idem sentiendum in rebus secundis & adversis; sed è re natâ consilium prudens capiendum, & fortunam sequendam esse, neque animos suprà vires assumendos, neque in

πολλάκις γέγονεν, ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι, καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλεισμένων διαφθαρῆναι, τί θαυμαστὸν εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεται τινὰ μετάστασιν;

Περὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω τοιοῦτον εἰπεῖν. Ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις, οὐδένες πώποτε κρείττονες ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον. Ἐπὶ δὲ τῶν ἄλλων, πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ μάλιστα ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων. Τούτους γὰρ εὑρήσομεν ἐξ ὧν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας· ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύνοντο παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. Τοὺς μὲν οὖν παλαιοὺς εἰ διεξέλθοιμι κινδύνους, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας, ἢ Θρᾷκας, ἢ Πελοποννησίους τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ πορρωτέρω τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περσικῷ πολέμῳ, τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν; Μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούντων, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ τῶν προσταττομένων αὐτοῖς· ἀλλ' εὐθὺς εἵλοντο περιϊδεῖν τὴν πόλιν ἀνάστατον γιγνομένην μᾶλλον ἢ δουλεύουσαν. Ἐκλιπόντες

ſpes propoſita eſſe debet. Sin autem ſæpè uſuvenit, ut & potentiores ab imbecillioribus vincerentur, & obſidentes ab obſeſſis interirent; quid miri, ſi in rebus etiam præſentibus mutatio aliqua futura ſit?

Ac de noſtrâ quidem civitate nihil habeo ejusmodi quod dicam. Nam ſuperioribus temporibus nulli unquam nobis fortiores in noſtram regionem invaſerunt. Ex aliis autem populis permulta quis exempla petat, ſed præſertìm ex populo Athenienſium. Quos quidem apud Græcos in crimen veniſſe conſtat, quum alios imperata facere cogerent, eoſdemque à mortalibus omnibus gloriam conſecutos quum injurios ulciſcerentur. Quòd ſi vetera pericula recenſuero quæ in bellis adversùs Amazones geſtis, aut Thraces, aut Peloponnenſes qui cum Euryſtheo in ipſorum agros invaſerant, adierunt, obſoleta fortaſſis, & nimiùm à præſentibus rebus remota commemorare videbor. In Perſico autem bello, quis neſcit è quibus calamitatibus in quantam felicitatem ſint evecti? Nam ſoli eorum qui extrà Peloponneſum habitant, quum Barbarorum copias ſuſtineri non poſſe cernerent, de imperatis exequendis ſibi deliberandum eſſe non cenſuerunt; ſed ſtatìm urbem everſam maluerunt videre, quàm ſervitute oppreſſam. Re-

δικαιώματα καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν εἰπεῖν ἔχοιμεν.

Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις, καὶ τὰς ἰδίας καὶ τὰς κοινὰς, ἢν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. Ἡμεῖς τοίνυν Μεσήνην εἵλομεν, πρὶν ἢ Πέρσας λαβεῖν τὴν βασιλείαν, καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων τῶν Ἑλληνίδων. Καὶ τούτων ὑπαρχόντων ἡμῖν, τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν, ὥσπερ πατρῴαν οὖσαν, ἀποδίδοσαν, ὃς οὔπω διακόσια ἔτη κατέχει τὴν ἀρχήν· ἡμᾶς δὲ Μεσήνης ἀποστεροῦσιν, οἳ πλεῖον ἢ διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ Πλάταιαν μὲν καὶ Θεσπιὰς ἐχθὲς καὶ πρῴην πεποιήκασιν ἀναστάτους, ταύτην δὲ διὰ τριακοσίων ἐτῶν κατοικίζουσιν· ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες. Καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ᾽ εὐλογώτερον ἂν εἰς ὑμᾶς ἐξήμαρτον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν. Ὥστε μὴ τοῦτ᾽ εἶναι χαλεπώτατον, εἰ τῆς χώρας στερηθησόμεθα παρὰ τὸ δίκαιον·

[l. 11.] Ἀποδίδοσαν, nempè οἱ Θήβαιοι.

[l. 13.] Διπλασίος duplò major, duplò longior. Interpretare ad verbum : qui plus quàm per duplò longius

debetis esse animati, quum idem utrimque jus, eadem defensio nobis sit.

II. Præterea nec illud vos latet, possessiones sive privatas sive publicas, si longum tempus intercesserit, universos existimare sibi proprias esse & tanquam patrimonia. Nos autem Messenam cepimus, priusquam Persæ regno potirentur Asiamque subigerent, & priusquam pleræque Græcæ urbes conderentur. Et quum tanta nostræ causæ sit æquitas, Thebani Barbaro Asiam, tanquam patrimonium, adjudicârunt, qui nondùm ducentos annos imperium tenuit: iidemque Messenam nobis eripiunt, qui per tempus duplò longius quàm tantum temporis spatium ipsam tenuimus. Ac Platæas quidem & Thespias nuper admodùm everterunt, hanc autem post trecentos annos instaurant; utrumque contrà jusjurandum & fœdera facientes. Quòd si germanos restituerent Messenios, agerent quidem injustè, attamen magis cum prætextu in nos delinquerent: nunc autem Hilotas in viciniâ nostrâ collocant. Quare non hoc gravissimum est, si præter jus & æquum nostra nobis

---

tempus quàm tantum, nempè, temporis spatium....

[l. 20.] Εἵλωτας. Hilotæ, servi Lacedæmoniorum, olim incolæ vici Helos in Laconiâ. Quem vicum per vim ceperunt Lacedæmonii, & incolas in servitutem redegerunt.

ἀλλ' εἰ τοὺς δούλους τοὺς ὑμετέρους ἐπόψομεθα κυρίους αὐτῆς ὄντας.

Ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σαφέστερον ὅτι καὶ νῦν δεινὰ πάσχομεν, καὶ τότε δικαίως Μεσήνην εἴχομεν. Πολλῶν γὰρ κινδύνων γεγενημένων ἡμῖν, ἤδη ποτὲ ποιήσασθαι τὴν εἰρήνην ἠναγκάσθημεν, πολὺ χεῖρον πράττοντες τῶν πολεμίων. Ἀλλ' ὅμως ἐν τοιούτοις καιροῖς γιγνομένων τῶν συνθηκῶν, ἐν οἷς οὐχ οἷόν τ' ἦν πλεονεκτεῖν, περὶ μὲν ἄλλων τινῶν ἀμφισβήτησις ἐγίνετο· περὶ δὲ τῆς Μεσήνης, οὔθ' ὁ βασιλεὺς, οὔθ' ἡ τῶν Θηβαίων πόλις, οὐδὲ πώποθ' ἡμῖν ἐνεκάλεσαν ὡς ἀδίκως κεκτημένοις αὐτήν. Καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκριβεστέραν ταύτης εὕροιμεν τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν ἐγνωσμένης, ἐν δὲ ταῖς ἡμετέραις δυσπραξίαις γεγενημένης;

Τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν ὁμολογήσαιεν ἀρχαιότατον εἶναι, καὶ κοινότατον, καὶ πιστότατον, οὐ μόνον ἔγνω τότε ἡμετέραν εἶναι Μεσήνην, ὅτε διδόντων ἡμῖν τῶν Κρεσφόντου παίδων, προσέταξε δέχεσθαι τὴν πόλιν, καὶ βοηθεῖν τοῖς ἀδικουμένοις· ἀλλὰ καὶ τοῦ πολέμου μακροῦ γιγνομένου, πεμψάντων ἡμῶν ἀμφοτέρων εἰς Δελφοὺς, ἐκείνων μὲν σωτηρίαν αἰτούντων, ἡμῶν δ' ἐπερωτώντων ὅτῳ τρόπῳ τάχιστα ἂν κρατήσαιμεν τῆς πόλεως· τοῖς μὲν οὐδὲν ἀνεῖλεν, ὡς οὐ δικαίαν

possessio adimetur, sed si servos nostros illius dominos esse videbimus.

III. Quin ex his quæ sequuntur clariùs perspicietis, & nunc iniqua nos pati, & tunc Messenam jure tenuisse. Etenim multis antehac à civitate nostrâ bellis exantlatis, aliquandò jam evenit ut pacem facere coacti simus, quum multò pejus nobiscum quàm cum hostibus ageretur. Atqui quum iis temporibus conventiones factæ sint, quibus fieri non poterat ut meliore nos conditione essemus, de quibusdam quidem aliis contentio orta est; sed Messenam injustè nos tenere, neque rex Persarum, neque civitas Thebanorum, nobis unquam objecerunt. Quod autem evidentius de jure judicium esse queat eo quod & ab ipsis hostibus, & adversis nostris rebus est pronuntiatum?

IV. Jam & oraculum quod omnes & antiquissimum, & vulgatissimum, & fide dignissimum esse fatebuntur, non eo duntaxat tempore nostram esse Messenam statuit, quum, Cresphontæ liberis eam nostræ urbi dantibus, eam nos jussit accipere, & injuriâ oppressis opitulari: verùm etiam quum, bello jam longo facto, utrique Delphos misissemus, illi de salute suâ Apollinem consulturi, nos de expeditissimâ capiendæ urbis ratione; illis ut

ποιουμένοις τὴν αἴτησιν· ὑμῖν δ' ἐδήλωσε καὶ θυσίας οἵας ἔδει ποιήσασθαι, καὶ βοήθειαν παρ' ὧν μεταπέμπεσθαι.

Καίτοι πῶς ἂν μαρτυρίαν μείζω, καὶ σαφεστέραν παράσχοι τίς τούτων; Φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων λαβόντες τὴν χώραν (οὐδὲν γὰρ κωλύει διὰ βραχέων πάλιν περὶ αὐτῶν ἐπιδιελθεῖν)· ἔπειτα κατὰ πόλεμον αὐτὴν ἔχοντες, ὅνπερ πρότερον αἱ πλεῖσται τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν· ἔτι δὲ τοὺς ἠσεβηκότας εἰς τοὺς παῖδας τοῦ Ἡρακλέους ἐκβεβληκότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ἀφωρίσθησαν· πρὸς δὲ τούτοις, καὶ τῷ πλήθει τοῦ χρόνου, καὶ τῇ τῶν ἐχθρῶν κρίσει, καὶ ταῖς τοῦ θεοῦ μαντείαις, προσηκόντως ἔχοντες αὐτήν. Ὧν ἕκαστόν ἐστιν ἱκανὸν διαλῦσαι τοὺς λόγους τῶν κατηγορεῖν τολμώντων, ὡς ἢ νῦν διὰ πλεονεξίαν οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυμοῦντες ἐπολεμήσαμεν πρὸς Μεσσηνίους. Περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν εἰπεῖν ἴσως πλείω τούτων· οὐ μὴν ἀλλὰ καὶ ταῦθ' ἱκανῶς εἰρῆσθαι νομίζω.

Λέγουσι δὲ οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας, μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων, εὐτυχοῦντάς τε καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν εὖ βουλεύεσθαι, καὶ ταῖς τύχαις ἐπακολουθεῖν, καὶ μὴ

iniqua

iniquà petentibus nihil respondit, nobis autem declaravit, & quæ sacra facienda, & auxilia undè accersenda essent.

V. At verò quod testimonium majus & evidentius his afferri potest? Constat enim nos primùm illam regionem accepisse ab iis quorum erat (nihil enim vetat eadem denuò paucis perstringere): deindè belli jure tenere, quomodo pleræque urbes illis temporibus constitutæ sunt: ad hæc, eos qui liberos Herculis nefario scelere violârant, à nobis ex eâ ejectos fuisse; quos quidem æquum fuerat ex universo terrarum orbe exterminari: denique & longitudine temporis, & hostium judicio, & Dei oraculis, eamdem per jus obtinere. Quorum singula sufficiunt ad refellendas eorum calumnias qui nosmet accusare audent, quasi aut nunc proprii commodi studio pacem repudiemus, aut olim rerum alienarum desiderio bellum cum Messeniis gesserimus.

REFUTATIO.

Prima objectio.

Dicunt autem qui pacis faciendæ nobis autores sunt, viris sapientibus non idem sentiendum in rebus secundis & adversis; sed è re natâ consilium prudens capiendum, & fortunam sequendam esse, neque animos suprà vires assumendos, neque in

μείζονα φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς, ἀλλὰ τὸ συμφέρον ζητεῖν.

Ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις, ὅπως δὲ τοῦ δικαίου χρὴ ποιεῖσθαί τι προυργιαίτερον τὸ συμφέρον, οὐδεὶς ἄν με λέγων πείσειεν. Ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου κειμένους, καὶ τοὺς ἄνδρας τοὺς καλούς τε κἀγαθοὺς ἐπὶ τούτῳ φιλοτιμουμένους, καὶ τὰς πόλεις τὰς εὖ καὶ φιλοτίμως πολιτευομένας, περὶ τοῦτο μάλιστα σπουδαζούσας, καὶ τοὺς πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς δυνάμεις, ἀλλὰ καὶ κατὰ τὸ δίκαιον τέλος ἅπαντας εἰληφότας. ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν ἀπολλύμενον, δι' ἀρετὴν δὲ σωζόμενον. Ὥστ' οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν μέλλοντας, ἀλλὰ πολὺ μᾶλλον τοὺς ὑβρίζοντας, καὶ τοὺς τὰς εὐτυχίας μὴ μετρίως φέρειν ἐπισταμένους. Ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν· νυνὶ μὲν γὰρ περὶ τοῦ δικαίου πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμφέροντος ἀντιλέγομεν. Δυοῖν δὲ προκειμένοιν ἀγαθοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου, τοῦ δὲ ἀγνοουμένου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν ὁμολογού-

[l. 4.] Τὶ supervacat, & tamen servandum, ut sæpius aliàs.

talibus rerum circumſtantiis quid juſtum ſit, ſed quid expediat, quærendum.

Reſponſio.

1°. Ego verò, quòd ad cetera quidem attinet, his aſſentior; ſed utilitatem juſtitiæ unquam præponendam eſſe, nemo ullâ ratione mihi perſuaſerit. Nam & leges ob jus latas eſſe video, & præſtantes viros hoc ſibi laudi ducere, & urbes quæ benè præclaréque adminiſtrantur huic maximè ſtudere; quin & omnia ſuperiorum temporum bella exitus non ſecundùm vires, ſed ſecundùm juſtitiam habuiſſe; denique vitam hominum vitio interire, virtute conſervari. Quapropter non abjectis animis eos eſſe decet qui juris ſui defendendi causâ pericula ſunt adituri, ſed eos multò potiùs qui ſe gerunt inſolenter, & qui res ſecundas moderatè ferre non poſſunt. Deindè & illud advertendum eſt, de jure omnes conſentire, de utilitate litigare. Propoſitis autem duobus bonis, quorum alterum evidens eſt, alterum obſcurum, nonne ridiculum fuerit vos hoc

---

[l. 5.] Μελετῶν quod habet vulgata, ingeniosè emendat Valkenaer *μὴ λέγων*, quam emendationem admiſi in textum.

[l. 6.] Τȣ́τȣ, nempè, *τȣ̃ δικαίου*.

[l. 11 & 12.] Rectè obſervat Volſius vel legendum eſſe *ȣ̓ μόνον κατὰ τὰς*, vel lineâ ſequenti delendum ϗ.

μενον ἀποδοκιμάσαιτε, τὸ δ' ἀμφισβητούμενον ἑλέσθαι δόξειεν ὑμῖν· ἄλλως τε καὶ τῆς αἱρέσεως τοσοῦτον διαφερούσης; Ἐν μὲν γὰρ τοῖς ἡμετέροις λόγοις ἔνεστι, μηδὲν προέσθαι τῶν ἡμετέρων αὐτῶν, μηδὲ αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγωνιεῖσθαι τῶν ἐχθρῶν· ἐν δὲ τοῖς τούτων, ἀφεστάναι μὲν ἤδη Μεσήνης, προεξαμαρτάνοντας δὲ τοῦτ' εἰς ἡμᾶς αὐτοὺς, τυχὸν καὶ τοῦ συμφέροντος, καὶ τοῦ δικαίου, καὶ τῶν ἄλλων ἁπάντων, ὧν προσδοκᾶτε, διαμαρτάνειν. Καὶ γὰρ οὐδὲ τοῦτο φανερόν ἐστιν, ὡς ἐὰν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρήνην ἕξομεν. Οἶμαι γὰρ οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων διαλέγεσθαι· τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσταττόμενον, ἀεὶ πλέον προσεπιτάττειν, ὧν ἂν ἐξ ἀρχῆς ἐπινοηθῶσιν. Ὥστε συμβαίνει βελτίονος εἰρήνης τυγχάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων.

Ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον διατρίβειν, πάντων τῶν τοιούτων ἀφέμενος, ἐπὶ τὸν ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. Εἰ μὲν γὰρ μηδένες πώποτε τῶν δυστυχησάντων ἀνέλαβον ἑαυτοὺς, μηδ' ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ' ἡμᾶς εἰκὸς ἐλπίζειν περιγενήσεσθαι πολεμοῦντας· εἰ δὲ

repudiare quod certum eſt, hoc velle eligere quod controverſum; præſertìm quum utrum eligatis tantùm interſit? Huc enim ſpectat mea oratio ut ne quod nostrum amittamus, neque dedecus aliquod publicè ſuſcipiamus, ſperemus autem nos, ſi juſtitiæ causâ pugnandum ſit, hoſtibus fore ſuperiores. Iſtorum è contrà huc ſermo tendit, ut jam cedamus Meſſenâ, & quum in nosmet ipſos tale deliquerimus, forſan & utilitate, & juſtitiâ, & cæteris quæ expectamus, omninò fraudemur. Arbitror enim non ignorare vos, cum iis qui vim propulſant acriter, omnes de jure diſputare: illis verò qui nimis expeditè imperata faciunt, ſemper aliquid plus inſuper imperare quàm quæ initio cogitârant. Undè fit ut æquiorem pacem impetrent qui ad bellum gerendum ſunt parati, quàm qui facilè ex juſſis paciſcuntur.

2°. Ne verò circà hæc diutiùs immorari videar, his omnibus omiſſis, id jam dicam quod eſt omnium ſimpliciſſimum. Si nulli unquam poſt clades acceptas, revocatis viribus, victores hoſtes ſuperârunt, nec nobis etiam bellum gerentibus, victoriæ

[l. 7 & 8.] Ἐν δὲ τοῖς τούτων ſub. λόγοις ἔνεστι. Τούτων, intellige, adverſariorum.
[l. 11.] Προσδοκᾶτε, malim προσδοκῶμεν.

πολλάκις γέγονεν, ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι, καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλεισμένων διαφθαρῆναι, τί θαυμαστὸν εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν;

Περὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω τοιοῦτον εἰπεῖν. Ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις, οὐδένες πώποτε κρείττονες ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον. Ἐπὶ δὲ τῶν ἄλλων, πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ μάλιστα ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων. Τούτους γὰρ εὑρήσομεν ἐξ ὧν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας· ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύνοντο, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. Τοὺς μὲν οὖν παλαιοὺς εἰ διεξέλθοιμι κινδύνους, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας, ἢ Θρᾷκας, ἢ Πελοποννησίους τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ πορρωτέρω τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περσικῷ πολέμῳ, τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν; Μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούντων, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ τῶν προσταττομένων αὐτοῖς· ἀλλ' εὐθὺς εἵλοντο περιϊδεῖν τὴν πόλιν ἀνάστατον γιγνομένην μᾶλλον ἢ δουλεύουσαν. Ἐκλιπόντες

ſpes propoſita eſſe debet. Sin autem ſæpè uſuvenit, ut & potentiores ab imbecillioribus vincerentur, & obſidentes ab obſeſſis interirent; quid miri, ſi in rebus etiam præſentibus mutatio aliqua futura ſit?

Ac de noſtrâ quidem civitate nihil habeo ejusmodi quod dicam. Nam ſuperioribus temporibus nulli unquam nobis fortiores in noſtram regionem invaſerunt. Ex aliis autem populis permulta quis exempla petat, ſed præſertìm ex populo Athenienſium. Quos quidem apud Græcos in crimen veniſſe conſtat, quum alios imperata facere cogerent, eoſdemque à mortalibus omnibus gloriam conſecutos quum injurios ulciſcerentur. Quòd ſi vetera pericula recenſuero quæ in bellis adversùs Amazones geſtis, aut Thraces, aut Peloponnenſes qui cum Euryſtheo in ipſorum agros invaſerant, adierunt, obſoleta fortaſſis, & nimiùm à præſentibus rebus remota commemorare videbor. In Perſico autem bello, quis neſcit è quibus calamitatibus in quantam felicitatem ſint evecti? Nam ſoli eorum qui extrà Peloponneſum habitant, quum Barbarorum copias ſuſtineri non poſſe cernerent, de imperatis exequendis ſibi deliberandum eſſe non cenſuerunt; ſed ſtatìm urbem everſam maluerunt videre, quàm ſervitute oppreſſam. Re-

δὲ τὴν χώραν, καὶ τὴν πόλιν, καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες, κοινωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης μεταβολῆς ἔτυχον, ὥστε ὀλίγας ἡμέρας στερηθέντες τῶν ἑαυτῶν, πολὺν χρόνον δεσπόται τῶν ἄλλων κατέστησαν.

Οὐ μόνον δ' ἄν τις ἐπὶ ταύτης τῆς πόλεως ἐπιδείξειε τὸ τολμᾶν ἀμύνεσθαι τοὺς ἐχθροὺς, ὡς πολλῶν ἀγαθῶν αἴτιόν ἐστιν· ἀλλὰ καὶ Διονύσιος ὁ τύραννος καταστὰς εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑπολειπομένης, ἀλλὰ καὶ τῷ πολέμῳ κατεχόμενος, καὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσχερῶς διακειμένων, αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν· τῶν δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν, ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννὶς, αἰσχυνθεὶς ἐφ' οἷς διενοήθη, καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν, πολλὰς μὲν μυριάδας Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ τὴν ἀρχὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ μείζω τὴν δύναμιν τῆς ἑαυτοῦ τῆς πρότερον ὑπαρχούσης ἐκτήσατο, τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ τὸν υἱὸν ἐν ταῖς αὐταῖς τιμαῖς καὶ δυναστείαις ἐν αἷσπερ αὐτὸς ἦν, κατέλιπε.

Παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ τῶν Μακεδόνων βασιλεὺς ἔπραξεν. Ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρβάρων τῶν προσοικούντων μάχῃ, καὶ πάσης Μακεδονίας ἀποστερηθεὶς, τὸ μὲν πρῶτον ἐκλι-

lictâ igitur regione & urbe, & libertatem pro patriâ habentes, ac periculorum socii nobiscum facti, tantam rerum mutationem experti sunt, ut, quum suis rebus caruissent per paucos dies, per multos annos aliis imperarent.

Neque verò quanta bona pariat adversarios ulciscendi audacia, Atheniensium civitatis tantùm, sed & Dionysii tyranni, exemplo demonstratur. Qui obsidione clausus à Carthaginiensibus, quum nulla spes salutis reliqua esset, verùm & bello premeretur, & cives ergà ipsum iniquo essent animo, fugâ salutem quærere decreverat. Quum autem quidam è familiaribus ausus fuisset dicere regium nomen sepulturæ honestissimum esse ornamentum, tunc improbato turpis fugæ consilio, belloque repetito, non solùm multa Carthaginiensium millia cecîdit, sed & dominationem in cives suam confirmavit, & pristinam potentiam auxit plurimùm, vitâque in imperio exactâ, eosdem honores ac eamdem potestatem quibus ipse fuerat usus, filio reliquit.

Similia his & Amyntas Macedonum rex effecit. Victus enim prælio à vicinis Barbaris, amissâque totâ Macedoniâ, primùm de regno deserendo cogitavit ut vitam conservaret. Deindè quum audisset

---

[l. 14 & 15.] Ἐντάφιον. Ὁ ϗ ἡ ἐντάφιος, sepulchralis, ad sepulturam pertinens. Ἐντάφιον hîc substantivè sumitur, & interpretor, ornamentum sepulturæ.

πεῖν τὴν χώραν διενοήθη, καὶ τὸ σῶμα διασώζειν· ἀκούσας δέ τινος ἐπαινοῦντος τὸ πρὸς Διονύσιον ῥηθέν, καὶ μεταγνοὺς ὥσπερ ἐκεῖνος, χωρίον μικρὸν καταλαβών, καὶ βοήθειαν ἐνθένδε μεταπεμψάμενος, ἐντὸς τριῶν μηνῶν ἅπασαν κατέσχε Μακεδονίαν, τὸν δ' ἐπίλοιπον χρόνον βασιλεύων, γήρᾳ τὸν βίον ἐτελεύτησεν.

Ἀπείποιμεν δ' ἂν ἀκούοντές τε, καὶ λέγοντες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν. Ἐπεὶ καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθείημεν, ἐπὶ μὲν τοῖς γεγενημένοις ἂν λυπηθείημεν· περὶ δὲ τῶν μελλόντων, βελτίους ἂν ἐλπίδας λάβοιμεν. Τολμησάντων γὰρ αὐτῶν ὑπομεῖναι τὰς εἰσβολάς, καὶ τὰς ἀπειλὰς τὰς ἡμετέρας, εἰς τοῦθ' ἡ τύχη τὰ πράγματα περιέστησεν αὐτῶν, ὥστε τὸν ἄλλον χρόνον ὑφ' ἡμᾶς ὄντες, νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

Ὅστις οὖν ὁρῶν τοιαύτας μεταβολὰς γεγενημένας, ἐφ' ἡμῶν οἴεται παύσεσθαι, λίαν ἀνόητός ἐστι· ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαρρεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ, καὶ ταῖς περὶ τὸν πόλεμον ἐμπειρίαις. Περὶ ὧν οὐδεὶς τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπειρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν· πολιτεία δέ, οἵαν χρή, παρὰ μόνοις ἡμῖν ἐστίν. Ὧν

à quodam illud laudari quod à Dionyſio dictum fuerat, mutatâ, ut ille, ſententiâ, parvum quoddam caſtellum occupavit, & hinc accerſitis auxiliis, trium menſium ſpatio Macedoniam univerſam recepit, & in regiâ dignitate ſenio confectus deceſſit.

Defatigaremur tàm vos audiendo quàm egomet dicendo, ſi omnia talia facta recenſuerim. Verùm ſi ea quoque quæ Thebano bello acciderunt recordemur, fieri non poterit quin infortunio noſtro doleamus, ſed iidem etiam de futuro ſpem concipiemus meliorem. Quum enim auſi eſſent illi incurſus & minas noſtras ſuſtinere, eò uſque fortuna res eorum mutavit, ut qui antè nobis paruerant, jam nobis imperandi jus ſibi arrogent.

Quiſquis igitur, quum tales rerum mutationes factas eſſe videat, in noſtris rebus eas finiri arbitretur, nimis inſciens eſt. Verùm & præſentia nos forti animo tolerare oportet, & de futuris benè ſperare; quum ſciamus ejuſmodi calamitates à civitatibus & rectâ rerum adminiſtratione, & rei militaris peritiâ, emendari. Atqui nemo refragari auſit quin & ſcientiâ bellicæ rei præſtemus, & apud nos ſolos talis reſpublica ſit qualem eſſe decet.

[l. 4.] Ἐνθένδε, hinc, i. e. ex Lacedæmone. Nam in oratione panegyricâ mentio fit Amyntæ à Lacedæmoniis adjuti.

ὑπαρξάντων οὐκ ἔσθ' ὅπως οὐκ ἄμεινον πράξομεν τῶν μηδετέρου τούτων πολλὴν ἐπιμέλειαν πεποιημένων.

Κατηγοροῦσι δέ τινες τοῦ πολέμου, καὶ διεξέρχονται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε πολλοῖς χρώμενοι, καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις· καὶ θαυμάζουσιν εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν.

Ἐγὼ δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτησαμένους· πολλοὺς δὲ τῆς ὑπαρχούσης στερηθέντας διὰ τὴν εἰρήνην. Οὐδὲν γὰρ τῶν ὄντων ἐστὶν ἀποτόμως, οὔτε κακὸν, οὔτ' ἀγαθόν· ἀλλ' ὅπως ἂν χρήσηταί τις καὶ τοῖς πράγμασι, καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. Χρὴ δὲ τοὺς μὲν εὖ πράττοντας, εἰρήνης ἐπιθυμεῖν (ἐν γὰρ τῇ καταστάσει ταύτῃ πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειεν)· τοὺς δὲ δυστυχοῦντας, τῷ πολέμῳ προσέχειν τὸν νοῦν. Ἐκ γὰρ τῆς ταραχῆς καὶ τῆς πανουργίας, θᾶττον ἂν μεταβολῆς τύχοιεν. Ὧν ἡμεῖς δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν. Ὅτε γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους ἐποιούμεθα τοῦ δέοντος. Ἐπειδὴ δ' εἰς ἀνάγκην

[18 & 19.] Hîc πανουργία, non eſt, prava calliditas, ut vulgò, ſed conatus omnium rerum.

Quæ quum ità sint, fieri non poteſt quin res feliciùs agamus, quàm ii quibus neutrum horum curæ fuit.

Secunda objectio.

At quidam in bellum invehuntur, ejusque perfidiam accuſant, argumentis utentes cùm aliis permultis, tùm iis ipſis quæ nobis acciderunt, ſeque dictitant mirari quemquam eſſe qui rei tàm ſævæ ac temerariæ fidem habendam cenſeat.

Reſponſio.

Ego verò novi multos qui magnam felicitatem ſibi bello pepererunt, multos item qui pace eam amiſerunt quam habebant. Nihil enim rerum omnium per ſe omninò vel malum eſt vel bonum; ſed ut quiſque rebus atque occaſionibus utitur, ità neceſſe eſt eventum indè conſimilem ſequi. Eſt autem iis qui felices ſunt expetenda pax; quo in ſtatu parta bona diutiùs conſervantur: & calamitoſis ad bellum gerendum advertendus eſt animus; ſiquidem bellico tumultu & conando omnia, citiùs afflictæ res mutantur in melius. Quorum ego vereor ne contraria facere videamur. Quum enim delicatè nobis vivere liceret, plura quàm oportebat bella gerebamus: nunc verò neceſſitate periculi ſubeundi

---

[l. 20.] Correxi mendum vulgatæ quæ habet ἠδύναμεν.

καθίσταμεν, ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν, καὶ περὶ ἀσφαλείας βουλευόμεθα. Καίτοι χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι, τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν, ὡς ἐγγὺς δουλείας οὔσας· ποιεῖσθαι δὲ τὰς διαλλαγάς, ὅταν ἢ περιγένωνται τῶν ἐχθρῶν, ἢ τὴν αὐτῶν δύναμιν ἐξισώσωσι τῇ τῶν πολεμίων· ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵανπερ ἂν τοῦ πολέμου ποιήσωνται τὴν διάλυσιν.

Ὧν ἐνθυμουμένους, χρὴ μὴ προπετῶς ἡμᾶς αὐτοὺς ἐμβάλλειν εἰς αἰσχρὰν ὁμολογίαν, μηδὲ ῥαθυμότερον ὑπὲρ τῆς πατρίδος, ἢ περὶ τῶν ἄλλων φανῆναι βουλευομένους. Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτούς, ὅτι τὸν παρελθόντα χρόνον εἰ πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων εἷς μόνος Λακεδαιμόνιος βοηθήσειεν, ὑπὸ πάντων ὡμολογεῖτο παρὰ τοῦτον γεγενῆσθαι τὴν σωτηρίαν αὐτοῖς. Καὶ τοὺς μὲν πλείστους τῶν τοιούτων ἀνδρῶν παρὰ τῶν πρεσβυτέρων ἄν τις ἀκούσειεν· τοὺς δ' ὀνομαστοτάτους ἔχω κἀγὼ διελθεῖν. Παιδάρειτος μὲν γὰρ εἰς Χίον πλεύσας, τὴν πόλιν αὐτῶν διέσωσε. Βρασίδας δ' εἰς Ἀμφίπολιν εἰσελθών, ὀλίγους περὶ αὐτὸν τῶν πολιορκουμένων συνταξάμενος, πολλοὺς ὄντας τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος. Γύλιππος δὲ Συρακουσίοις

urgente, otium expetimus, & de ſecuritate conſultamus. Atqui par eſt eos qui liberi eſſe cupiunt fœdera cum mandato conjuncta fugere, tanquam quæ ſervitutem propè ſint; & tunc demùm pactiones facere, quum aut ſuos hoſtes ſuperârint, aut ſuum ipſorum robur illorum robori æquaverint; quia talem omnes pacem habituri ſunt, qualem belli finem fecerint.

Excitantur Lacedæmonii ne ſe in turpe fœdus conjiciant, &c.

Quæ cogitantes non oportet temerè vosmet ipſos in turpe fœdus conjicere, aut negligentiùs de patriâ quàm de aliis conſuluiſſe videri. Illud autem recordemini apud vosmetipſos, ſuperiori tempore, quum è ſociis civitatibus alicui circumſeſſæ vel unus Lacedæmonius opem tuliſſet, fuiſſe neminem qui inficias iret eam per illum conſervatam eſſe. Ac talium virorum permulti à ſenioribus commemorantur; celeberrimos autem & ego referre poſſum. Pædaretus enim ad Chios profectus, urbem eorum conſervavit. Braſidas, Amphipolim ingreſſus, & inſtructâ ex paucis oppidanorum acie, multos qui obſidebant, prælio vicit. Gylippus, Syracuſanis

---

[l. 20 & 21.] Παιδάρετος, hunc vocat Πεδάρητος Harpocratio.

[l. 21.] Αὐτῶν, nempè Χίων. Pro Χίον quod præcedit fortè legendum Χίους.

βοηθήσας, οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἅπασαν αἰχμάλωτον ἔλαβε. Καίτοι πῶς οὐκ αἰσχρὸν τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι, τὰς ἀλλοτρίας πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μηδὲ πειρᾶσθαι τὴν ἡμετέραν αὐτῶν διασώζειν; καὶ τὴν μὲν Ἀσίαν, καὶ τὴν Εὐρώπην μεστὴν πεποιηκέναι τροπαίων, ὑπὲρ τῶν ἄλλων πολεμοῦντας· ὑπὲρ δὲ τῆς πατρίδος οὕτω φανερῶς ὑβριζομένης, μηδεμίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους; ἀλλ' ἑτέρας μὲν πόλεις ὑπὲρ τῆς ἡμετέρας ἀρχῆς, τὰς ἐσχάτας ὑπομεῖναι πολιορκίας· αὐτοὺς δὲ ἡμᾶς, ὑπὲρ τοῦ μηδὲν παρὰ τὸ δίκαιον ἀναγκασθῆναι ποιεῖν, μηδὲ μικρὰν οἴεσθαι δεῖν ὑπομεῖναι κακοπάθειαν; ἀλλὰ ζεύγη μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι τρέφοντας, ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας ἀφιγμένους, καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς ὄντας, οὕτω ποιεῖσθαι τὴν εἰρήνην;

Ὃ δὲ πάντων σχετλιώτατον· εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι τῶν Ἑλλήνων, ῥᾳθυμότερον βουλευσόμεθα περὶ τούτων. Τίνα δὲ τῶν περιϊσταμέ-

[l. 22. & seq.] Τίνα δὲ τῶν .... totam hanc phrasim ità construe, τίνα δὲ καὶ ποιεῖσθαι μνείαν ἄξιον ἐστιν τοιούτων ἀπειλῶν ἐκ τῶν ἀνδρῶν ἡμῖν περιϊσταμένων : quæ verò vel mentio facienda est talium increpationum à viris nos cir-

auxiliatus,

auxiliatus, non illos solùm conservavit, sed hostium etiam copias, terrâ marique superiores, in potestatem suam redegit universas. Quî verò non fœdissimum est, quum olim singuli nostrûm alienas civitates tueri potuerint, nunc universos nostram patriam servare ne conari quidem; & quum bella pro aliis gerentes, & Asiam & Europam tropæis repleverimus, pro patriâ quæ adeò palam contumeliâ afficitur, nullum prælium aliquo nomine dignum committere aggredi: sed quum aliæ civitates pro nostro imperio obsidiones extremas tolerârint, nos ipsos ne quid præter jus facere cogamur, ne parvum quidem censere incommodum esse perferendum; at insignes equos aperto fastu alere etiam nunc; eosdemque pacem inire, velut qui ad extremam necessitatem redacti sint, & victu quotidiano indigeant?

Jam illud omnium indignissimum foret, si nos, qui tolerantissimi laborum inter omnes Græcos habemur, his de rebus segniùs quàm par est delibe-

---

cumstantibus, i. e. à populis vicinis. Intelligo ἀπειλῶν in sensu κατηγοριῶν, vel ψόγων, vel ἐπιτιμησέων. Talium increpationum, nempè, talium quales sequuntur, & has ipsas inducit increpationes orator sic: Οἵ τινες .... Harpocratio ad vocem περίςατοι dicit hanc reperiri in Archidamo, quæ à me nullibi reperta fuit totam orationem attentiùs legente. Suspicatus fueram pro περιϊςαμένων fortè legendum περιςάτων, sed nullus indè sensus nitidus contingebat.

νων ἡμῖν ἐξ ἀνδρῶν τοιούτων ἀπλῶν καὶ ποιεῖσθαι μνείαν ἄξιόν ἐστιν; " Οἵτινες ἅπαξ ἡττηθέντες, " καὶ μιᾶς εἰσβολῆς γενομένης, οὕτως ἀνάνδρως " ὡμολόγησαν ἅπαντα τὰ προσταττόμενα ποιή- " σειν; ἢ πῶς ἂν οἱ τοιοῦτοι δυστυχοῦντες πολὺν " χρόνον ἐπαρκέσειαν; " Τίς δ' οὐκ ἂν ἐπιτιμήσειεν ἡμῖν, εἰ, Μεσηνίων ἐπὶ τῆς χώρας ταύτης εἴκοσιν ἔτη πολιορκηθέντων, ἡμεῖς οὕτω ταχέως κατὰ συνθήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγόνων μνησθείημεν· ἀλλ' ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων καὶ κινδύνων ἐκτήσαντο, ταύτην ἡμεῖς ὑπὸ λόγων πεισθέντες ἀποβάλλοιμεν;

Ὧν οὐδὲν ἔνιοι φροντίσαντες, ἀλλὰ πάσας τὰς αἰσχύνας ὑπεριδόντες, συμβουλεύουσι ταῦτα ἐξ ὧν εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. Οὕτω δὲ προθύμως παρακαλοῦσιν ἡμᾶς πρὸς τὸ παραδοῦναι τὴν Μεσήνην, ὥστε καὶ διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς πόλεως ἀσθένειαν, καὶ τὴν τῶν πολεμίων δύναμιν, καὶ κελεύουσιν ἀποκρίνασθαι τοὺς ἐναντιουμένους αὐτοῖς πόθεν βοήθειαν προσδοκῶντες ἕξειν, διακελευόμεθα πολεμεῖν ὑμῖν.

Ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι, καὶ βεβαιοτάτην, τὸ τὰ δίκαια πράττειν. Εἰκὸς γὰρ καὶ τὴν τῶν θεῶν εὔνοιαν ἔσεσθαι μετὰ τούτων, εἴπερ

[l. 24.] Τούτων, scilicet Λακεδαιμονίων, vel τῶν

raverimus. Quæ porrò vel mentio facienda est talium increpationum quibus nos opprimeut vicini populi? « Itane verò, inquient, semel victi, unâ-« que impressione factâ, adeò ignavè concesse-« runt se imperata omnia facturos! Quo pacto « tales diuturna infortunia tolerarent? » Quis autem nos non reprehenderet, si, quum Messenii pro hâc de quâ agitur regione per viginti annos obsessi fuerint, tàm celeriter eâ cederemus; & ne majorum quidem essemus memores, sed quam illi multis laboribus & periculis paraverunt, eam nos verbis persuasi abjiceremus?

Tertia objectio.

Quibus omnibus neglectis, nullâque multiplicis dedecoris habitâ ratione, nonnulli ea suadent quæ reipublicæ nostræ infamiæ labem sunt inustura. Ac tàm cupidè nos ad Messenam tradendam hortantur, ut & nostræ urbis imbecillitatem & hostium potentiam commemorare non dubitârint, & adversarios sibi respondere jubeant, quibus auxiliis freti, vobis belli suscipiendi autores simus.

Responsio.

Ego verò nullum majus & firmius auxilium esse arbitror quàm justa agere. Consentaneum enim est etiam deorum immortalium benevolentiam his

---

τὰ δίκαια πραττόντων.

χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις. Πρὸς δὲ ταύτῃ, τὸ καλῶς πολιτεύεσθαι καὶ σωφρόνως, καὶ μέχρι θανάτου μάχεσθαι τοῖς πολεμίοις θέλειν, καὶ μηδὲν οὕτω δεινὸν νομίζειν, ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν πολιτῶν· ὃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. Μεθ' ὧν ἂν ἐγὼ πολὺ ἥδιον πολεμοίην, ἢ μετὰ πολλῶν μυριάδων. Οἶδα γὰρ καὶ τοὺς προγόνους ἡμῶν εἰς ταύτην τὴν χώραν ἀφικνουμένους, οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους, ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ὑπ' ἐμοῦ προειρημέναις. Ὥστ' οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἐκείνοις θαῤῥεῖν, ὅταν ὁρῶμεν ἡμᾶς μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμφορὰς, ὡς οὐδένες ἄλλοι πώποτε, καὶ τοῖς νομιζομένοις καὶ τοῖς ἐπιτηδεύμασιν ἐμμένοντας οἷς ἐξ ἀρχῆς κατεστησάμεθα· τοὺς δὲ τὰς εὐτυχίας φέρειν μὴ δυναμένους, ἀλλὰ διατεταραγμένους· καὶ τοὺς μὲν ἔχοντας συμμαχίας, πόλεις καταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας· ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦντας μᾶλλον ἢ πρὸς ἡμᾶς πολεμοῦντας. Ὥστε θαυμάζειν τῶν μείζω συμμαχίαν ζητούντων, ὧν οἱ πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες. Ταῦθ' ἡμῖν βοηθήσει.

non deſuturam qui juſta agunt, ſi modò è præteritis conjectura futurorum capienda eſt. Præterea, quanti æſtimanda eſt reipublicæ bona & moderata adminiſtratio, iſque civium animus ut uſque ad mortem cum hoſtibus pugnare velint, & nihil æquè horrendum ducant ac malè audire à ſuis! Quæ omnia noſtri moris ſunt magis quàm ullorum mortalium. Quibus ego inſtructus auxiliis multò libentiùs bella geram quàm infinitâ hominum turbâ adjuvante. Nam majores quoque noſtros hanc regionem occupaſſe ſcio, non multitudine fretos, ſed iis quas recenſui virtutibus. Quare debemus non propterea hoſtes timere quòd multi ſint, ſed multò potiùs ob hæc confidere, quum nos ipſos quidem videamus ità tuliſſe calamitates ut nulli alii tulerunt unquam, & in veteribus inſtitutis moribusque majorum perſtare: iſtos autem proſperam fortunam ferre non poſſe; ſed in maximâ perturbatione verſari; ac alios ſociorum viribus adjutos urbes occupare, alios his adverſari, alios de finibus cum vicinis ambigere potiùs quàm nobiſcum bellum gerere. Undè mirari ſubit eos qui auxilia requirunt majora iis quæ ipſa delicta hoſtium ſuppeditant. Hæc, inquam, nobis auxiliabuntur.

[l. 2.] Πρὸς δὲ ταύτῃ, nempè, συμμαχίᾳ, ſupple, & ταύτην εἶναι συμμαχίαν ἡγοῦμαι, τὸ καλῶς. . . .

[l. 23.] Θαυμάζειν, ſubaudì ἐμέ.

Εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν, ὑπολαμβάνω πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἡμῖν ἐπαμύνειν. Ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους εἰ καὶ μὴ πάντα μεθ' ἡμῶν εἰσὶν, ἀλλ' οὖν ὑπέρ γε τῆς ἑαυτῶν σωτηρίας πάντα ποιήσοντας· ἔπειτα τῶν ἄλλων πόλεων τινὰς ὁμοίως ἂν ὑπὲρ τῶν νῦν ἡμῖν συμφερόντων, ὡς περὶ τῶν ἑαυταῖς, βουλευσομένας· ἔτι δὲ Διονύσιον τὸν τύραννον, καὶ τὸν Αἰγυπτίων βασιλέα, καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν Ἀσίαν δυνάστας, καθ' ὅσον ἂν ἕκαστοι δύνωνται προθύμως ἂν ἡμῖν ἐπικουρήσοντας. Πρὸς δὲ τούτοις, καὶ τῶν Ἑλλήνων τοὺς ταῖς οὐσίαις προέχοντας, καὶ ταῖς δόξαις πρωτεύοντας, καὶ τῶν βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ καὶ μήπω συνεστήκασιν, ἀλλὰ ταῖς γε εὐνοίαις μεθ' ἡμῶν ὄντας· ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας τὰς ἐλπίδας ἔχοιμεν.

Οἶμαι δὲ καὶ τὸν ὄχλον τὸν ἐν Πελοποννήσῳ, καὶ τὸν δῆμον ὃν οἰόμεθα, κἂν οὐ πρότερον, ἀλλὰ νῦν γε πολλὴν ποιήσεσθαι τὴν ἐπιμέλειαν. Οὐδὲν γὰρ αὐτοῖς ἀποστᾶσι γέγονεν ὧν προσεδόκησαν·

[l. 4.] Πάντα adverbialiter, idem ac πάντως. Deindè pro ὑμῶν in vulg. dedi ἡμῶν quod dant aliæ editiones.

[l. 9 & 10.] Καὶ τοὺς ἄλλους κατὰ τὴν Ἀσίαν δυνάστας. Hîc nota, quod evidentiùs patet ex anteà dictis in Panegyrico, pag. 288, l. 8, 9 & 10, veteres Græcos

Quòd si de externis etiam auxiliis dicendum est, multos futuros esse opinor qui nobis velint succurrere. Ac primùm Athenienses scio, etiamsi non per omnia nobiscum faciant, salutis tamen suæ causâ omnia esse facturos; deindè ceterarum urbium nonnullas non minùs hoc tempore nostris commodis quàm suis consulturas; præterea Dionysium tyrannum, & Ægyptiorum regem, ceterosque Asiæ principes, quantùm unusquisque possit, nobis alacriter opem laturos. Ad hæc & inter Græcos quoque, eos qui opibus præcellunt, & dignitate ac gloriâ sunt principes, optimarumque rerum studiosissimi, etsi nobiscum se nondùm conjunxerunt, at benevolentiâ nobiscum esse. In quibus omnibus de futuro spem magnam jure conceperimus.

Existimo etiam turbam Peloponnensem, & quam totius regionis plebem esse ducimus, tametsi non priùs, nunc saltem rerum maximam curam habituros. Nihil enim è defectione tale sunt consecuti

orbem universum in duas duntaxat partes, Europam & Asiam divisisse, ipsisque Africæ nomen fuisse ignotum.

[l. 19.] Καὶ τὸν δῆμον ὃν οἰόμεθα, intellige de minùs conspicuis Peloponnesi civitatibus, quæ in totâ Peloponneso habebantur inter primarias hujusce regionis civitates, sicut in unâ civitate plebs habetur inter viros ejus civitatis principes.

ἀλλ' ἀντὶ μὲν τῆς ἐλευθερίας, τοὐναντίον αὐτοῖς ἀποβέβηκεν. Ἀπολέσαντες γὰρ αὐτῶν τοὺς βελτίστους, ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν. Ἀντὶ δὲ τῆς αὐτονομίας, εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν. Εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι, νῦν τοὺς ἄλλους ἐπ' αὐτοὺς ὁρῶσι στρατευομένους· καὶ τὰς στάσεις, ἃς ἐπυνθάνοντο πρότερον παρ' ἑτέροις οὔσας, νῦν παρ' αὐτοῖς ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν γιγνομένας ὁρῶσιν. Οὕτω δὲ δεδαμασμένοι ταῖς συμφοραῖς εἰσὶν, ὥστε μηδὲ διαγνῶναι δύνασθαι τοὺς ἥκιστα πράττοντας αὐτῶν. Οὐδεμία γάρ ἐστι τῶν πόλεων ἀκέραιος, ἥτις οὐχ ὁμόρους ἔχει τοὺς κακῶς ποιήσοντας· ὡς τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆσθαι τοὺς οἴκους τοὺς ἰδίους, ἀνεστράφθαι δὲ τὰς πολιτείας, καὶ καταλελύσθαι τοὺς νόμους, μεθ' ὧν οἰκοῦντες, εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἐτύγχανον. Οὕτω δ' ἀπίστως πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχουσιν, ὥστε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδίασιν· ἀντὶ δὲ τῆς ἐφ' ἡμῶν εὐπορίας, καὶ τῆς παρ' ἡμῶν εὐνοίας, εἰς τοσαύτην ἀμιξίαν ἐληλύθασιν, ὥσθ' οἱ μὲν κεκτημένοι τὰς οὐσίας, ἥδιον ἂν εἰς τὴν θάλατταν τὰς σφέτερ' αὐτῶν βάλοιεν, ἢ τοῖς δεομένοις ἐπαρκέσειαν· οἱ δὲ καταδεέστερον πράττοντες,

quale expectârant; sed pro libertate servitus illis evenit. Amissis quippe suorum optimis, in potestatem pessimorum civium redacti sunt. Dùm verò juxtà suas leges student vivere, in multa & acerba, contraria legibus, inciderunt: quum autem hactenùs nobiscum aliis inferre bella consueverint, nunc sibi ab aliis cernunt inferri; & seditiones quas priùs apud alios esse audiebant, nunc apud semetipsos singulis ferè diebus cooriri vident. Sic denique malis domiti sunt, ut nec possint dijudicare quinam sint inter ipsos calamitosissimi. Nulla enim urbs à calamitatibus immunis est, nulla quæ à vicinis non infestetur. Itaque & agri vastati sunt, & civitates eversæ, & privatæ ædes desolatæ, & inversi rerumpublicarum status, & leges abrogatæ, quibus dùm uterentur, felicissimi Græcorum fuerunt. Tantoperè autem aliis alii diffidunt, & ità sunt odiis exacerbati, ut cives suos magis quàm hostes metuant; & quum sub nostro imperio divitiis & concordiâ floruerint, in eam dissensionem venerunt, ut & ii qui rem habent, pecunias in mare mallent abjicere quàm egentibus impertiri;

[l. 21 & seq.] Hîc velim legi, ἀντὶ δὲ τῆς ἐφ' ἡμῶν εὐπορίας καὶ τῆς ὁμονοίας, εἰς. . . . & ità sum interpretatus.

οὐδ᾽ ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι· καταλύσαντες δὲ τὰς θυσίας, ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους· πλείους δὲ φεύγουσι νῦν ἐκ μιᾶς πόλεως, ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννήσου. Καὶ τοσούτων ἀπηριθμημένων κακῶν, πολὺ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν. Οὐδὲν γὰρ ὅ,τι τῶν δεινῶν, ἢ χαλεπῶν, ὃ οὐκ ἐνταῦθα συνδεδράμηκεν· ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ ταχέως ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν παρόντων πραγμάτων εὑρεῖν ἀπαλλαγήν. Μὴ γὰρ οἴεσθε αὐτοὺς μενεῖν ἐπὶ τούτοις· οἵτινες γὰρ εὖ πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες πολὺν χρόνον καρτερήσειαν; Ὥστ᾽ οὐ μόνον ἂν μαχόμενοι νικῶμεν, ἀλλὰ κἂν ἡσυχίαν ἔχοντες περιμείνωμεν, ὄψεσθε μεταβαλλομένους αὐτούς, καὶ τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν αὐτοῖς εἶναι νομίζοντας. Τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.

Τοσοῦτον δὲ ἀπέχω τοῦ ποιεῖν τι τῶν προσταττομένων, ὥστ᾽, εἰ μηδὲν γίγνοιτο τούτων, μηδὲ βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλήνων οἱ μὲν ἀδικοῖεν ἡμᾶς, οἱ δ᾽ ὑπερορῷεν, οὐδ᾽ ἂν οὕτω μεταγνοίην· ἀλλὰ πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους ὑπομείναιμι, πρὶν ποιήσασθαι τὰς ὁμολογίας ταύτας. Αἰσχυνθείην γὰρ ἂν ὑπ᾽ ἀμφοτέρων, εἴτε καταγνοίημεν τῶν

& tenuiores ne invenire quidem bona magis optarent, quàm à locupletioribus ſua extorquere. Sacris abrogatis, ad aras ſeſe invicem mactant; & nunc plures unius urbis exules ſunt quàm antehac totius Peloponneſi. Atque quum tot mala enumerata ſint, plura prætermiſimus quàm recenſuimus. Nihil enim duri aut acerbi dici poteſt quod non illuc concurrerit. Quorum quia jam alios cepit, aliosque brevi ſatietas capiet, mox id agent ut præſentibus malis remedium aliquod comperiant. Neque enim putetis ipſos in hoc rerum ſtatu quietos eſſe manſuros. Nam quos laſſaverunt ſecundæ res, adverſas longo tempore quî tolerabunt? Quapropter, non tantùm ſi pugnando vicerimus, ſed etiam ſi quieti expectaverimus, eos mutatâ ſententiâ videbitis ſuam ſalutem in noſtrâ ſocietate collocaturos. Et has quidem ſpes egomet habeo.

Tantùm autem abeſt ut aliquid eorum quæ imperantur faciam, ut, ſi nihil horum fieret, neque auxilia alicundè obtineremus, ſed Græcorum alii nos injuriis afficerent, alii negligerent, ne ſic de ſententiâ decederem, ſed omnia belli pericula ſuſtinerem potiùs quàm ad tàm turpes pactiones deſcenderem. Nam utriuſque rei me puderet, ſive

προγόνων, ὡς ἀδίκως Μεσηνίων ἀφείλοντο τὴν χώραν· εἴτε ἐκείνων ὀρθῶς κτησαμένων, ἡμεῖς παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς. Τούτων μὲν οὖν οὐδέτερον ποιητέον. Σκεπτέον δ᾽ ὅπως ἀξίως ἡμῶν αὐτῶν πολεμήσωμεν, καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν ἡμῶν τὴν πόλιν, ἐλέγξωμεν ψευδεῖς ὄντας· ἀλλὰ τοιούτους παρασχήσωμεν, ὥστ᾽ ἐκείνους ἐλάττω τι τῶν ὑπαρχόντων δοκεῖν εἰρηκέναι περὶ ἡμῶν.

Οἶμαι μὲν οὖν μηδὲν δεινότερον συμβήσεσθαι τῶν νῦν παρόντων· ἀλλὰ τοὺς ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ πράξειν ἐξ ὧν ἐπανορθώσουσιν ἡμᾶς. Ἂν δ᾽ ἄρα ψευσθῶμεν τῶν ἐλπίδων, καὶ πανταχόθεν ἐξειργώμεθα, καὶ μηδὲ τὴν πόλιν ἔτι δυνώμεθα φυλάττειν, χαλεπὰ μὲν ἐστὶ ἃ μέλλω λέγειν, ὅμως δ᾽ οὐκ ὀκνήσω παῤῥησιάσασθαι περὶ αὐτῶν. Καὶ γὰρ ἐξαγγελθῆναι τοῖς Ἕλλησι καλλίω ταῦτ᾽ ἐστὶ, καὶ μᾶλλον ἁρμόττοντα τοῖς ἡμετέροις φρονήμασιν, ἢ ὧν ἔνιοί τινες ἡμῖν συμβουλεύουσι.

Φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμετέρους αὐτῶν, καὶ τοὺς παῖδας, καὶ τὰς γυναῖκας, καὶ τὸν ὄχλον τὸν ἄλλον, ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς μὲν ἐς Σικελίαν, καὶ Ἰταλίαν, τοὺς δ᾽ εἰς

[l. 19.] Ἔνιοι τινὲς, pleonasmus cujus non alibi vidi

majores damnaremus, quasi injustè Messeniis regionem ademissent suam; sive nos, quum illi rectè tenuissent, præter jus quidquam de illâ concederemus. Quorum neutrum faciendum est; at illud spectandum ut pro dignitate nostrâ bellum administremus, neque eos qui civitatem nostram laudare soliti sunt, mendacii arguamus, sed nosmet præstemus tales ut illi veris minora de nobis dixisse videantur.

Proponitur singulare consilium, &c.

Equidem existimo nihil gravius his malis eventurum; verùm hostes ea & deliberaturos & acturos esse per quæ nos iterùm erigent. Quòd si spe frustrati, & undique exclusi fuerimus, neque urbem ampliùs tueri potuerimus, dura quidem sunt hæc quæ dicturus sum, non cunctabor tamen liberè apertéque dicere. Nam apud Græcos quæ prædicentur hæc honestiora sunt, & nostris animis digniora, quàm ea quæ nobis quidam suadent.

Sic enim censeo parentes nostros cum uxoribus & liberis, & reliquam bello inutilem turbam ex urbe emittendam esse; alios in Siciliam & Italiam,

---

exemplum. Ἢ quod præcedit delet Battie, sed potest servari quamvis abundet, quia apud scriptores Græcos nonnunquam post comparativum ponitur simul genitivus & ἤ.

Κυρήνην, τοὺς δ᾽ εἰς τὴν ἤπειρον. Ἀσμένως δὲ αὐτοὺς ἅπαντες οὗτοι δέξονται, καὶ χώρᾳ πολλῇ, καὶ ταῖς ἄλλαις περὶ τὸν βίον εὐπορίαις· οἱ μὲν, χάριν ἀποδιδόντες ὧν εὖ πεπόνθασιν ὑφ᾽ ἡμῶν· οἱ δὲ, κομίσασθαι προσδοκῶντες, ὧν ἂν προϋπάρξωσιν. Ὑπολειφθέντας δὲ τοὺς βουλομένους καὶ δυναμένους κινδυνεύειν, τῆς μὲν πόλεως ἀφίστασθαι, καὶ τῶν ἄλλων κτημάτων, πλὴν ὅσα ἂν δυνώμεθα ἀπενέγκασθαι μεθ᾽ ἡμῶν αὐτῶν. Καταλαβόντας δὲ χωρίον ὅ,τι ἂν ὀχυρώτατον ᾖ καὶ πρὸς τὸν πόλεμον συμφορώτατον, ἄγειν καὶ φέρειν τοὺς πολεμίους, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν παύσωνται τῶν ἡμετέρων ἀμφισβητοῦντες. Καὶ ταῦτα ἐὰν τολμήσωμεν, καὶ μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν ἐπιτάττοντας, ἱκετεύοντας, καὶ δεομένους ἡμῶν Μεσήνην ἀπολαβεῖν καὶ ποιήσασθαι τὴν εἰρήνην.

Ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ, τοιοῦτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς ἦ γενέσθαι βουληθέντων ἡμῶν; Τίνες δ᾽ οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσειεν στρατόπεδον συνιστάμενον, τοιαῦτα μὲν συμπεπραγμένον, δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠργισμένον, ἀπονενοημένως δὲ

[l. 1.] Per ἤπειρος vulgo intelligunt Græci veteres, Asia, quæ erat regio continens.

alios Cyrenem, alios in Aſiam. Quarum regionum populi eos libenter excipient, & agro ampliſſimo, ceteriſque rebus ad victum neceſſariis; alii ut gratiam referant pro iis quæ à nobis acceperunt beneficiis, alii ſperantes ſibi futurum utile ſi benè meritis nos provocârint. Ceteris autem qui pugnare & volent & poterunt, deſerenda erit urbs, & aliæ poſſeſſiones, iis tantùm exceptis quæ ipſi nobiſcum auferre poterimus. Caſtello deindè aliquo occupato, quod firmiſſimum fuerit, & ad gerendum bellum maximè opportunum, terrâ marique hoſtes diripiendi erunt, & infeſtandi tantisper dùm eos pœniteat noſtra ſibi vendicaſſe. Quæ ſi, omni cunctatione abjectâ, auſi fuerimus, eos qui nunc ſuperbè imperant, ultrò nobis ſupplicantes videbitis ut recipiamus Meſſenam & pacem faciamus.

1°. Quæ enim Peloponneſi civitas tale ſuſtinebit bellum quale, ſi nos voluerimus, futurum eſſe conſentaneum eſt? quinam non formidabunt & expaveſcent conflatam ex his copiis multitudinem, quæ & tale perfecerint conſilium, & iis jure iraſcantur quorum ſuperbia ipſas huc redegerit; quæ de vitâ

[l. 2 & 3.] Δέξονται καὶ χώρᾳ πολλῇ.... i. e. ὑποδέξονται αὐτοὺς, καὶ δώσουσι χώραν πολλὴν, καί....

[l. 6 & 7.] Ὑπολειφθέντας .... κινδυνεύειν refer ad φημὶ χρῆναι. Intellige ὑπολειφθέντας non, relictos, ſed, reliquos.

πρὸς τὸ ζῆν διακείμενον, καὶ τὴν μὲν σχολὴν πρῶτον ἄγειν, καὶ μηκέτι ἐν ἄλλῳ διατρίβειν, ἢ περὶ τὸν πόλεμον, τοῖς ξενικοῖς στρατεύμασιν ὡμοιωμένον· ταῖς δ' ἀρεταῖς, καὶ τοῖς ἐπιτηδεύμασι, τοιοῦτον, οἷον ἐξ ἁπάντων ἀνθρώπων οὐδεὶς ἂν συντάξειεν; ἔτι δ' ἐν μηδεμιᾷ πόλει τεταγμένον, ἀλλὰ θυραυλεῖν καὶ πλανᾶσθαι κατὰ τὴν χώραν δυνάμενον, καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούληται γιγνόμενον· τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς τὸν πόλεμον συμφέροντας, πατρίδας εἶναι νομίζον; Ἐγὼ μὲν γὰρ οἶμαι τῶν λόγων μόνον ῥηθέντων εἰς τοὺς Ἕλληνας, εἰς πολλὴν ταραχὴν καταστήσεσθαι τοὺς ἐχθρούς· ἔτι δὲ μᾶλλον, εἰ καὶ τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶμεν. Τίνα γὰρ οἰηθῶμεν αὐτοὺς γνώμην ἕξειν, ὅταν αὐτοὶ μὲν κακῶς πάσχωσιν, ἡμᾶς δὲ ποιεῖν μὴ δύνωνται; καὶ τὰς μὲν πόλεις αὐτῶν ἴδωσιν εἰς πολιορκίαν καθεστηκυίας, τὴν δ' ἡμετέραν οὕτω παρεσκευασμένην, ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν; ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν ῥᾳδίαν ἔκ τε τῆς τῶν ὑπαρχόντων κτήσεως, καὶ τῶν ἐκ τοῦ πολέμου γιγνομένων, αὐτοῖς δὲ χαλεπὴν εἶναι, διὰ τὸ μὴ ταὐτὸν εἶναι, στρατόπεδόν τε τοιοῦτο διοικεῖν, καὶ τὸν ὄχλον τὸν ἐν ταῖς πόλεσι διατρέφειν; ὃ δὲ πάντων ἐκείνοις ἀλγεινότατον, ὅταν τοὺς μὲν ἡμετέρους οἰκείους ἐν πολλαῖς ἐμπειρίαις

nullatenùs

nullatenùs curent, & quæ, si aliarum quidem rerum vacatio spectetur soliusque bellicæ rei occupatio, conductitiis militibus sint similes; si verò ad fortitudinem & instituta attendatur, sint tales quales ex universo hominum genere colligi nequeant; præterea quæ in urbe nullâ sedem habeant, sed & sub dio agere, & passim oberrare, & arma possint circumferre, & facilè quibus voluerint vicini fiant, & omnia loca bello opportuna patriam judicent. Equidem autumo si sermones hi tantùm in Græciâ spargantur, hostes nostros in maximâ perturbatione futuros, multóque magis si ea quæ nuntiata fuerint reipsâ exequi cogamur. Nam quis istorum animus futurus est; si, dùm à nobis damna patientur, nobis inferre mala non potuerint; si suas ipsorum urbes obsideri viderint, nostræ verò eam esse rationem ut ab omni oppugnationis periculo sit immunis? Ad hæc, nobis, cùm ex his quæ comparata jam suppetent, tùm ex illis quæ bellum suppeditabit, victum esse facilem; sibi verò difficilem; quòd nempè multùm differt utrùm talem alas exercitum, an oppidanam turbam sustentes. Jam quid acerbius illis accidere poterit, quàm si milites nostros audiant, non rei militaris peritiâ tantùm,

---

[l. 2.] Πρῶτον, primùm, i. e. hîc, præcipuè.

[l. 25.] Πάντων, vulg. παντός. Si servetur παντὸς, mutandum ἀλγεινότατον in ἀλγεινότερον.

καὶ εὐπορείαις πυνθάνονται γεγυμνωμένους· τοὺς δ' αὐτῶν ὁρῶσιν καθ' ἑκάστην ἡμέραν ἐνδεεῖς ὄντας τῶν ἀναγκαίων, καὶ μηδ' ἐπικουρῆσαι δύνωνται τοῖς κακοῖς· ἀλλ' ἐργαζόμενοι μὲν τὴν χώραν, τὰ σπέρματα προσαπολλύωσιν· ἀργὸν δὲ περιορῶντες, μηδένα χρόνον αὐταρκεῖν οἷοί τε ὦσιν.

Ἀλλὰ γὰρ ἴσως ἀθροισθέντες, καὶ κοινὸν ποιησάμενοι στρατόπεδον, παρακολουθήσουσιν ἡμῖν, καὶ κωλύσουσιν ἡμᾶς κακῶς ποιεῖν αὐτούς. Καὶ τί ἂν δεξαίμεθα μᾶλλον ἢ λαβεῖν πλησιάζοντας, καὶ παρατεταγμένους, καὶ περὶ τὰς αὐτὰς δυσχερείας ἡμῖν ἀντιστρατοπεδεύοντας, ἀνθρώπους ἀτάκτους, καὶ μιγάδας, καὶ πολλοῖς ἄρχουσι χρωμένους; οὐδὲ γὰρ ἂν πολλῆς πραγματείας δεηθείημεν, ἀλλὰ ταχέως μὲν αὐτοὺς ἀναγκάσαιμεν ἐν τοῖς ἡμετέροις, ἀλλὰ μὴ ἐν τοῖς ἑαυτῶν, ποιήσασθαι τοὺς κινδύνους.

Ἐπιλείποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ τὰς πλεονεξίας τὰς ἡμετέρας λέγειν ἐπιχειρήσαιμεν. Ἐκεῖνο δ' αὖ φανερὸν, ὅτι τῶν Ἑλλήνων διενηνόχαμεν οὐ τῷ μεγέθει τῆς πόλεως, οὐδὲ τῷ πλήθει τῶν ἀνδρῶν, ἀλλ' ὅτι τὴν πολιτείαν ὁμοίαν κατεστησάμεθα στρατοπέδῳ καλῶς

[l. 11 & 12.] Ἡμῖν construe cum τὰς αὐτάς. Περὶ τὰς αὐτὰς, i. e. ἐν ταῖς αὐταῖς....

ſed & opibus florere; ſuos autem quotidie videant rebus neceſſariis indigere, neque malis poſſint mederi; ſed ſi agros coluerint, etiam ſementem amittant; ſin incultos neglexerint, nullo tempore vitam ipſi ſuam ſuſtentare queant.

At enim fortaſsè coactis in unum copiis, & communi expeditione ſuſceptâ, nos perſequentur, & nocere ſibi prohibebunt. Et quid optabilius nobis eſſe queat quàm ut congreſſi cominùs in aciem deſcendant; & iiſdem quibus nos circumventi difficultatibus caſtra adversùs nos locent, homines incompoſiti, & conflati ex colluvione quâdam, & multis utentes imperatoribus? Nullo ſcilicet labore nobis opus erit, ſed quamprimùm cogemus eos, non quum illis at quum nobis opportunum erit, dimicare.

Dies me defecerit ſi quantò melior futura ſit noſtra conditio explicare aggrediar. Illud certè conſtat, nos reliquis Græcis antecellere non magnitudine urbis, nec multitudine virorum, ſed eò quòd noſtra reſpublica exercitui ſimilis eſt benè inſtituto, &

[l. 15.] Pro μὲν rectè velit Volfius legi ἂν quia non eſt δὲ reſpondens.

[l. 16.] Ἐν τοῖς ἡμετέροις, ſubaudi συμφέρουσι vel καίροις, quando noſtra utilitas poſtulabit.

διοικουμένῳ, καὶ πειθαρχεῖν θέλοντι τοῖς ἄρχουσιν. Ἢν οὖν εἰλικρινὲς τοῦτο ποιησώμεθα, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν, οὐκ ἄδηλον ὅτι τῶν πολεμίων ἐπικρατήσομεν.

Ἴσμεν δὲ καὶ τοὺς ἐπικρατεῖς ταύτης τῆς πόλεως γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόννησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγάλων ἐκράτησαν. Καλὸν οὖν μιμήσασθαι τοὺς προγόνους, καὶ πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας, ἐπειδὴ προσεπταίκαμεν, πειραθῆναι τὰς τιμὰς ἀναλαβεῖν ἃς πρότερον ἐτυγχάνομεν ἔχοντες. Πάντων δ᾽ ἂν δεινότατον ποιήσαιμεν, εἰ συνειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν χώραν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, ἡμεῖς μηδὲ ὑπὲρ τῆς ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς πόλεως τολμήσαιμεν· ἀλλὰ δέον ἡμᾶς παραδείγματα τοιούτων ἔργων καὶ ἄλλοις παρέχειν, μηδὲ μιμεῖσθαι τὰς ἐκείνων πράξεις ἐθελήσαιμεν. Ἔτι δὲ τοῦτο καταγελαστότερον, εἰ Φωκαεῖς μὲν φεύγοντες τὴν βασιλέως τοῦ μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν, εἰς Μασσαλίαν ἀπῴκησαν· ἡμεῖς δὲ εἰς τοῦτο μικροψυχίας ἔλθοιμεν, ὥστε τὰ προστάγματα τούτων ὑπομεῖναι, ὧν ἄρχοντες ἅπαντα τὸν χρόνον διετελέσαμεν.

[l. 12 & 13.] Συνειδότες Ἀθηναίοις ἐκλιποῦσι, i. e.

parere ducibus volenti. Si igitur id repræsentabimus cujus simulacrum quoddam adeò nobis profuit, quis dubitet quin hostes superaverimus?

2°. Nimirùm non ignoramus eos etiam qui hujusce urbis compotes facti sunt, exiguo in Peloponnesum ducto exercitu, multa & magna obtinuisse. Præclarum igitur fuerit nos majorum nostrorum vestigia sequi, & ad principium regressos, quoniam res nobis malè cesserunt, dare operam ut pristinam dignitatem recuperemus. Omnium profectò faceremus indignissimum, si, quum sciamus Athenienses pro libertate aliorum Græcorum regionem suam deseruisse, nos ne pro nostrâ quidem ipsorum salute urbem deserere auderemus; sed, quum oporteat nosmet hujusmodi factorum aliis exempla præbere, ne velimus quidem illorum res gestas imitari. Quin & hoc sit magis ridiculum, quum Phocæenses regis magni dominationem fugientes, relicta Asiâ, Massiliam se contulerint, nos tàm abjectis esse animis ut sustineamus iis ipsis parere quibus antehac semper imperavimus.

εἰδότες ὅτι Ἀθηναῖοι ἐξέλιπον.

[l. 19.] Non confundendi sunt Φωκαεῖς cum Φωκεῖς. Hi habitabant regionem Phocidem propè Delphos, illi urbem Phocæam in Asiâ.

Χρὴ δὲ μηδὲ περὶ τὴν ἡμέραν ταύτην ταῖς ψυχαῖς διατρίβειν ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειοτάτους εὐθὺς ἀφ᾽ ἡμῶν αὐτῶν· ἀλλ᾽ ἐκείνους τοὺς χρόνους ἀφορᾶν, ἐν οἷς περιγενόμενοι τῶν ἐχθρῶν, ἐπανορθωσόμεθα τὴν πόλιν, κομιούμεθα δὲ τοὺς ἡμετέρους αὐτῶν οἰκείους, ἐπιδειξόμεθα δὲ πᾶσιν, ὅτι νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ παρεληλυθότα χρόνον δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν. Ἔχει δ᾽ οὕτως. Ἐγὼ γὰρ τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα πράττειν, οὐδ᾽ ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς πράγμασι σωτηρίας· ἀλλὰ βουλόμενος ὑμῶν προπαρασκευάσαι τὰς γνώμας, ὡς καὶ ταύτας, καὶ πολὺ τούτων δεινοτέρας συμφορὰς ὑπομενετέον ἡμῖν, πρὶν περὶ Μεσήνης ποιήσασθαι συνθήκας οἵας κελεύουσιν ἡμᾶς.

Οὐχ οὕτω δ᾽ ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων, ἐξ ὧν μὲν ἐγὼ λέγω καλὴν καὶ βεβαίαν γενησομένην· ἐξ ὧν δ᾽ ἔνιοι συμβουλεύουσιν, αἰσχρὰν ἐσομένην, ἀλλ᾽ οὐδὲ χρόνον οὐδένα παραμενοῦσαν. Ἐὰν γὰρ παρακατοικήσωμεν ταύτην αὐξηθεῖσαν, τίς οὐκ οἶδεν ὅτι τὸν πάντα χρόνον ἐν ταραχαῖς καὶ κινδύνοις διατελέσομεν ὄντες; ὥστ᾽ οἱ περὶ ἀσφα-

[l. 22.] Παρακαλοικήσωμεν ταύτην, resolve, κα-

Neque verò debemus in hanc diem animis immorari quâ cariſſimi quique ſtatim à nobis ſegregandi erunt; ſed in illa tempora proſpicere, quum, hoſtibus devictis, urbem in integrum reſtituemus, liberos recipiemus & cognatos, & oſtendemus univerſis nos & nunc nullo noſtro merito fuiſſe calamitoſos, & ſuperiori tempore non immeritò principatum nobis vendicaſſe. Sic autem ſe res habet: hæc quæ dixi non ſic accipienda ſunt quaſi ea mox fieri velim, aut nulla alia ſit ſalutis ratio; ſed ut animos veſtros quaſi præpararem, ut ſentiretis & has & longè acerbiores calamitates vobis potiùs ſuſtinendas eſſe, quàm ad talem de Meſſenâ conditionem, qualem iſti præſcribunt, deſcendendum.

Varias adhibet rationes Archidamus quibus cives ſuos diſſuadeat à Meſſenâ dimittendâ.

I. Neque verò ad bellum tanto ſtudio vos hortarer, niſi pacem viderem, ex his quæ ego dico, præclaram & firmam futuram eſſe; at ex iis quæ nonnulli ſuadent, ut cum turpitudine conjunctam, ità per minimum temporis ſpatium duraturam. Etenim ſi potentem factam urbem vicinam habuerimus, quis non intelligit nos in perpetuis tumultibus & periculis eſſe verſaturos? qui igitur de ſecu-

---

τοιχήσωμεν παρὰ ταύτην, nempè Μεσήνην.

λείας διαλεγόμενοι; λελήθασιν αὐτοὺς τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς πάντα τὸν χρόνον κατασκευάζοντες.

Ἡδέως δ᾽ ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴονται χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν· οὐχ ὅταν οἱ πολέμιοι προστάττωσι παρὰ τὸ δίκαιον; καὶ τῆς χώρας ἀποτέμνωνται; καὶ τοὺς οἰκέτας ἐλευθερῶσι; καὶ τοὺς μὲν εἰς ταύτην κατάγωσιν, ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ἡμᾶς δὲ μὴ μόνον τῶν ὄντων ἀποστερῶσιν, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ εἰς ὀνείδη καθιστῶσιν; Ἐγὼ μὲν γὰρ ὑπὲρ τούτων οὐ μόνον πόλεμον, ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἶμαι προσήκειν ἡμῖν ὑπομένειν. Πολὺ γὰρ κρεῖττον ἐν ταῖς δόξαις αἷς ἔχομεν, τελευτῆσαι τὸν βίον, μᾶλλον ἢ ζῆν ἐν πάσαις ἀτιμίαις, ποιήσαντας ἃ προστάττουσιν ἡμῖν. Εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν τὸ φαινόμενον, αἱρετώτερον ἡμῖν ἀναστάτους γενέσθαι, μᾶλλον ἢ καταγελάστους ὑπὸ τῶν ἐχθρῶν· τοὺς γὰρ ἐν ἀξιώμασι καὶ φρονήμασι τοιούτοις βεβιωκότας, δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν ἀναιρεῖσθαι μηδὲν ταπεινὸν διαπραξαμένους.

Ἃ χρὴ λογιζομένους μὴ φιλοψυχεῖν, μηδ᾽ ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις, ὧν ἡγεῖσθαι πρότερον ἠξιοῦμεν· ἀλλ᾽ αὐτοὺς σκεψαμένους, ἑλέσθαι μὴ τὸ τούτοις ῥᾷστον, ἀλλὰ τὸ πρέ-

ritate disputant, illi non animadvertunt se, dùm pacem paucorum dierum faciunt, bellum in omne tempus parare.

II. Libenter autem istos interrogare velim, pro quibus rebus censeant debere nos pugnantes occumbere? Annon quum præter jus nobis hostes imperant, quum nobis agrum eripiunt, quum servos nostros manumittunt, illosque in eâ terrâ collocant quæ à patribus nobis relicta sit; quum nos non tantùm nostris opibus spoliant, sed & contumeliis afficiunt? Ego verò harum causâ non bella solùm, sed & exilia & mortes nobis esse perpetiendas arbitror. Longè enim satius est in eâ existimatione quâ floremus emori, quàm cum omni dedecore vivere si ea fecerimus quæ imperantur. Quòd si nihil est dissimulandum, at planè dicendum quod sentio, nos aboleri prorsùs præstiterit quàm ab hostibus derideri. Qui enim cum tantâ dignitate tantisque animis vixerunt, eos necesse est aut inter Græcos principatum tenere, aut omninò deleri ex hominum cœtu quum nihil humile fecerint.

Hæc animis reputantes, non oportet nos vitæ nimis studere, neque sententias sequi sociorum quos anteà ducebamus; sed re per nosmetipsos consideratâ, non id eligere quod illis erit expeditissimum, at

πον εἶναι τῇ Λακεδαίμονι, καὶ τοῖς πεπραγμένοις ἡμῖν. Περὶ γὰρ τῶν αὐτῶν οὐχ ὁμοίως ἅπασι βουλευτέον· ἀλλ' ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι ποιήσωνται τούτου τὴν ὑπόθεσιν. Ἐπιδαυρίοις μὲν οὖν καὶ Φλιασίοις καὶ Κορινθίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντίζοιεν, ἢ τοῦ διαγενέσθαι, καὶ περιποιῆσαι σφᾶς αὐτούς. Λακεδαιμονίους δ' οὐχ οἷόν τ' ἐστὶν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν· ἀλλ' ἂν μὴ ᾖ πρὸς τῷ καλῷ σώζεσθαι, θάνατον ἡμῖν αἱρετέον ἐστίν. Τοῖς γὰρ περὶ ἀρετῆς ἀμφισβητοῦσιν, ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον ὡς ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν πράττοντας φανῆναι. Εἰσὶ δὲ τῶν πόλεων κακίαι καταφανεῖς οὐχ ἧττον ἐν τοῖς τοιούτοις βουλεύμασιν, ἢ τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. Τῶν μὲν γὰρ ἐκεῖ γιγνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι· τὸ δ' ἐνθάδε γνωσθὲν, αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν. Ὥσθ' ὁμοίως ἡμῖν φιλονεικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφιζομένων, ὡς ὑπὲρ τῶν ἐν τοῖς πολέμοις ἀγώνων.

Θαυμάζω δὲ τῶν ὑπὲρ τῆς ἰδίας χώρας ἀποθνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώμην ἐχόντων. Ὑπὲρ ἧς ὁτιοῦν πάσχειν ἄξιον, καὶ μὴ καταισχύνειν τὴν πόλιν, μηδὲ περιϊδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν, εἰς ἣν οἱ πα-

[l. 4.] Τούτου, hujus rei, i. e. deliberationum.

quod Lacedæmone & egregiis noſtris facinoribus dignum fuerit. Nam de rebus iiſdem non eodem modo omnibus deliberandum eſt, ſed prout quique ſuam vivendi rationem ab initio inſtituerunt. Epidaurios quidem & Phliaſios & Corinthios nemo reprehenderit, ſi de nullâ aliâ re ſolliciti ſint niſi de vitâ conſervandâ & propagandâ. Lacedæmoniis autem non fas eſt quocumque modo ſalutem quærere; verùm ſi fieri non poſſit ut cum honeſtate ſervemur, mors nobis eligenda eſt. Nam qui virtutem profeſſi ſunt, iis nihil æque providendum eſt quàm ne quid turpe admiſiſſe videantur. Civitatum porrò ignavia è talibus conſiliis non minùs elucet quàm è periculis bellicis. In illis enim eorum quæ fiunt maximam partem ſibi fortuna vendicat: quæ verò hîc deliberantur, ipſorum animorum certa eſſe indicia dixerim. Itaque civitatis conſiliorum non minor habenda eſt ratio quàm belli certaminum.

Equidem miror eſſe qui, quum ad privatos agros tuendos mori non dubitent, de communibus non eodem modo ſentiant: pro quibus nihil non pati æquum erat, & non committere ut reſpublica aliquod ſuſciperet dedecus, aut præſidium in quo à

[1. 9.] Πρὸς τοῦ καλοῦ, malim μετὰ τοῦ καλοῦ.

τέρες κατέστησαν αὐτήν. Πολλῶν δὲ πραγμάτων καὶ δεινῶν ἡμῖν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα φυλακτέον ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι, μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. Αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας, ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας, καὶ τοσοῦτον ἀπολειφθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν, ὑπὲρ τοῦ τοῖς ἄλλοις ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δὲ ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον μὴ τολμᾶν κινδυνεύειν.

Ἄξιον δὲ καὶ τὴν Ὀλυμπίαν, καὶ τὰς ἄλλας αἰσχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος ἦν καὶ θαυμαστότερος τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι τὰς νίκας ἀναιρουμένων. Εἰς ἃς τίνας ἂν τολμήσειν ἡμῶν οἴεσθε ἐλθεῖν; ἀντὶ μὲν τοῦ τιμᾶσθαι, καταφρονηθησομένους, ἀντὶ δὲ τοῦ περιόπτους ὑπὸ πάντων δι᾽ ἀρετὴν εἶναι, περιβλέπτους ὑπὸ τῶν αὐτῶν ἐπὶ κακίᾳ γενησομένους· ἔτι δὲ πρὸς τούτοις ὀψομένους μὲν τοὺς οἰκέτας ἐκ τῆς χώρας, ἣν οἱ πατέρες ἡμῖν κατέλιπον, ἀπαρχὰς καὶ θυσίας μείζους ἡμῶν ποιουμένους, ἀκουσομένους δ᾽ αὐτῶν τοιαύταις βλασφημίαις χρωμένων, οἵαισπερ εἰκὸς τοὺς χαλεπώτερον μὲν τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένους· ἐφ᾽ αἷς ἕκαστον ἡμῶν οὕτως

patribus locata est desereret. Quum res multæ & graves nos urgeant, quas fugere oportet, illud maximè cavendum est ne quid videamur effeminatè facere, aut hostibus de jure nostro cedere. Turpe enim fuerit eos qui Græcis imperandi sibi jus vindicârunt, imperata facientes conspici; & tantùm degenerasse à majoribus ut, dùm illi mortem oppetere non recusârunt quò aliis imperarent, nos ut ne imperata faciamus adire pericula non audere.

III. Pudere nos etiam debet & Olympiorum, & aliorum celebrium conventuum, in quibus nostrûm unusquisque præclarior & admirabilior est habitus, quàm pugiles in certaminibus victores. Qui nostrûm, quæso, ausuri sunt ad illas celebritates accedere, ità nunc contemnendi ut anteà honorati, ità nunc futuri conspicui ob ignaviam ut anteà ob virtutem illustres; quin & visuri servos nostros ex regione nobis relictâ à patribus, majores quàm nos primitias & victimas offerre; eosdemque audituri talibus in nos uti conviciis, qualibus verisimile est istos usuros, qui, quum duriorem quàm alii servierint servitutem, nunc æquo jure cum dominis pacta fecerint. Quibus pactis ità nos urgebunt insolenter,

---

[l. 26.] Ἐφ' αἷς refer ad συνθήκας non ad βλασφημίαις.

ἀναγκάσειαν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγων δηλώσαι. Ὑπὲρ ὧν χρὴ βουλεύεσθαι, καὶ μὴ τότ' ἀγανακτεῖν, ὅτ' οὐδὲν ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν σκοπεῖν ὅπως μηδὲν συμβήσεται τοιοῦτο. Ὡς ἔστιν ἓν τῶν αἰσχρῶν, πρότερον μὲν μηδὲ τὰς τῶν ἐλευθέρων ἰσηγορίας ἀνασχέσθαι, νῦν δὲ καὶ τὴν τῶν δούλων παῤῥησίαν ὑπομένοντας φαίνεσθαι. Δόξομεν γὰρ τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν μὲν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δ' αὐθαδείαις καὶ ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς, ἀλλὰ πεπλασμέναις κεχρῆσθαι. Μηδὲν οὖν ἐνδῶμεν τοῖς εἰθισμένοις ἡμᾶς κακολογεῖν, ἀλλὰ τοὺς μὲν λόγους ἐξελέγξαι πειραθῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προγόνων ἔργοις.

Ἀναμνήσθητε δὲ τῶν προγόνων τῶν πρὸς τοὺς Ἀρκάδας ἠγωνισμένων, οὕς φασιν ἐπὶ μιᾶς ἀσπίδος παραταξαμένους, τρόπαιον στῆσαι πολλῶν μυριάδων· καὶ τῶν τριακοσίων τῶν ἐν Θυρέαις ἅπαντας Ἀργείους μάχῃ νικησάντων· καὶ τῶν χιλίων τῶν εἰς Θερμοπύλας ἀπαντησάντων, οἳ πρὸς ἑβδομήκοντα μυριάδας τῶν βαρβάρων συμβαλόντες, οὐκ ἔφυγον, οὐδ' ἡττήθησαν, ἀλλ' ἐνταῦθα τὸν βίον

[l. 2.] Δηλῶσαι in tertiâ perſonâ optativi aoriſti primi.

[l. 11.] Ἐνδοῦναι, vulgò, cedere & vinci ſe pati; hîc idem ac ἀφορμὴν δοῦναι, anſam præbere. Hinc ἐνδόσιμον idem ac λαβή.

ut nemo mortalium id oratione conſequi poſſit. Hiſce de rebus hodie conſultare decet, & non tunc graviter ferre quum nobis nihil profuerit, ſed nunc curare ut nihil tale eveniat. Nam turpiſſimum eſt nos, quum antehac ne liberos quidem homines exæquari nobiſcum paſſi fuerimus, nunc & ſervorum in loquendo licentiam tolerare. Videbimur enim ſuperiori tempore valuiſſe tantùm inſolentiâ; & quum ingeniis nihil alios antecelleremus, arrogantiâ & faſtu, non verâ gravitate, uſi fuiſſe. Ne quam igitur præbeamus anſam noſtris obtrectatoribus, ſed veſtigiis majorum religiosè inſiſtentes, malevolorum dicta factis refutare enitamur.

IV. Recordamini autem & majorum noſtrorum qui adversùs Arcadas dimicârunt; quos aiunt perparvâ militum manu, multa hoſtium millia profligaſſe: & trecentorum illorum qui ad Thyreas Argivos univerſos ſuperârunt: & mille virorum qui in Thermopylis cum ſepties centenis Barbarorum millibus congreſſi, neque terga verterunt, neque victi ſunt, ſed ibi occubuerunt ubi collocati

[l. 16 & 17.] Quid fuerit apud Græcos ἐπὶ μιᾶς ἀσπίδος παραταττέσθαι prorsùs ignoro: ſed hîc patet hanc fuiſſe oratoris mentem ut diceret Lacedæmonios fuiſſe perquàm paucos, & ità paucos ut ſub unâ aſpide, ſi ità loqui fas eſt, occultari potuiſſent. Sic dicimus gallicè, une poignée de ſoldats.

ἐτελεύτησαν οὗ ἐτάχθησαν, τοιούτους σφᾶς αὐτοὺς παρασχόντες, ὥστε τοὺς μετὰ τέχνης ἐγκωμιάζοντας, μὴ δύνασθαι τοὺς ἐπαίνους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς. Ἁπάντων οὖν τούτων μνησθέντες, ἐρρωμένως ἀντιλαβώμεθα τοῦ πολεμεῖν, καὶ μὴ περιμένωμεν ὡς ἄλλων τινῶν τὰς παρούσας ἀτυχίας ἰασομένων· ἀλλ᾽, ἐπειδήπερ ἐφ᾽ ἡμῶν γεγόνασιν, ἡμεῖς αὐτὰς διαλῦσαι πειραθῶμεν. Χρὴ γὰρ τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοιούτοις καιροῖς φαίνεσθαι διαφέροντας. Αἱ μὲν γὰρ εὐτυχίαι, καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν· αἱ δὲ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν οἷοίπερ ἕκαστοι τυγχάνουσιν ὄντες. Ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστὶν ὅτι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.

Ἔστι δ᾽ οὐδὲν ἀνέλπιστον, ἐκ τῶν νυνὶ παρόντων συμβῆναί τι τῶν μὴ παρόντων ἡμῖν. Οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν, ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφοράς, καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. Καὶ τί δεῖ τὰ πόῤῥω λέγειν; ἀλλὰ νῦν τὰς πόλεις τὰς πρωτευούσας, λέγω δὴ τὴν Ἀθηναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης μεγάλην ἐπίδοσιν λαμβανούσας, ἀλλ᾽ ἐξ ὧν τῷ πολέμῳ δυστυχή-

fuerant,

fuerant, & tales se præstiterunt, ut qui res gestas verbis ornare profitentur, nullas illorum virtutibus laudes æquare possint. Hæc igitur omnia recordati, fortiter bellum geramus, neque expectemus dùm alii malis nostris medicinam adhibeant; sed quæ nobis ipsis evenere, eadem ipsi propulsare studeamus. In duris præsertìm temporibus magnos viros decet optimæ indolis specimen dare. Nam secundæ res, etiam ignavorum hominum vitia contegunt; adversæ, quales quique sint statìm ostendunt. In quibus nobis demonstrandum est, nos aliis rectiùs educatos esse & instructos ad virtutem.

V. Neque verò desperandum est, ex iis quæ nunc adsunt malis, fore ut aliqua contingant bona quæ non adsunt. Arbitror enim non ignorare vos multa jam talia accidisse quæ primò in infortuniis omnes numerarent, & eorum quibus illa contigerant vicem dolerent; sed ea ipsa post intellexerunt maximorum bonorum causas extitisse. Et quid opus est exemplis longè accersitis? Civitates videmus nunc principes, Atheniensium, inquam, & Thebanorum, non pace ad tantam pervenisse magnitudinem, sed ex belli calamitatibus pristinam digni-

[l. 17.] Συμβῆναι hìc idem valet ac συμβήσεσθαι, nam apud Græcos aoristi non pro præsenti tantùm, sed pro futuro etiam tempore sæpè usurpantur.

στασαι, πάλιν ἀνέλαβον αὐτάς. Ἐκ δὲ τούτων τὴν μὲν ἡγεμόνα κατέστησαν, τὴν δὲ ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην, ὅσην οὐδεὶς ἔσεσθαι πώποτε προσεδόκησεν. Αἱ γὰρ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ᾽ ἐκ τῶν ἀγώνων γίνεσθαι φιλοῦσιν. Ὧν ἡμᾶς ὀρέγεσθαι προσήκει, μήτε τῶν σωμάτων, μήτε τῆς ψυχῆς, μήτε τῶν ἄλλων ὧν ἔχομεν μηδενὸς φειδομένους. Ἐὰν γὰρ κατορθώσωμεν, καὶ τὴν πόλιν εἰς ταυτὸ καταστῆσαι δυνηθῶμεν ἐξ ὥνπερ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων μᾶλλον ἐγκωμιασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας ὑπολείψομεν· ἀλλὰ καὶ τοὺς βουλομένους ἡμᾶς εὐλογεῖν, ἀπορεῖν ποιήσομεν τί τῶν πεπραγμένων ἡμῖν ἀξίως ἐροῦσι. Δεῖ δὲ μὴ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλλόγῳ τούτῳ, καὶ τοῖς γνωσθησομένοις ὑφ᾽ ἡμῶν, προσέξουσι τὸν νοῦν. Ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν Ἑλλήνων, διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὐτοῦ φύσεως, οὕτω διακείσθω τὴν γνώμην.

Ἔστι δ᾽ ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι περὶ τούτων. Ἐὰν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν. Εἰ δὲ φοβηθησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. Παρακαλέσαντες

tatem recuperaſſe: indè autem alteram principatum tenere; alteram tantam in præſentiâ factam eſſe, quantam eam fore nemo unquam crediſſet. Neque enim celebritas & ſplendor ex otio, ſed è certaminibus, oriri ſolent. Quæ expetere nos decet, neque corporibus, neque vitæ, neque ceterarum rerum omnium quas poſſidemus ulli parcentes. Nam ſi, noſtræ virtuti fortunâ favente, rempublicam in priſtinum dignitatis gradum reſtituamus ex quo decidit, tùm magis quàm veteres laudabimur, tùm poſteris nihil reliqui faciemus quo nos gloriâ fortitudinis antecellant, tùm pro dignitate rerum geſtarum nemo nos poterit celebrare. Sed nec illud vos lateat, omnes huic concilio attendere, atque erectos expectare quid nunc à nobis ſtatuetur. Proindè unusquiſque veſtrûm eo ſit mentis habitu, quaſi in communi Græciæ theatro ſpecimen animi ſui præbiturus.

VI. Simplex autem eſt & facilis his de rebus recta deliberandi ratio. Nam ſi ob noſtrum jus tuendum mortem oppetere voluerimus, non tantùm laude & gloriâ, ſed etiam ſecuritate, in poſterum fruemur. Sin pericula metuerimus, multis turbis nos ipſos implicabimus. Alii igitur alios co-

[l. 10.] Hîc nota ἐξ ὧνπερ licet εἰς ταὐτὸ præceſſerit. Quod quidem non eſt juxtà grammaticæ regulas, ſed ſpiritui eloquentiæ non adverſatur.

οὖν ἀλλήλους, ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα, καὶ καταφρονηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος ποιούμενοι τὸ ζῆν, προδόται φανῶμεν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν· ἐνθυμηθέντες ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι· καὶ ψυχῆς, ἧς οὐκ εὐπορήσομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην εὔκλειαν ἣ πάντα τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γιγνομένοις παραμενεῖ. Πολὺ γὰρ μᾶλλον κρεῖττον μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι, ἢ μικροῦ χρόνου μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν. Ἡγοῦμαι δ' ἂν ὑμᾶς οὕτω μάλιστα παροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις, ὥσπερ παρεστῶτας ἴδοιτε τοὺς γονέας, καὶ τοὺς παῖδας τοὺς ὑμετέρους, τοὺς μὲν παρακελευομένους μὴ καταισχῦναι τὸ τῆς Σπάρτης ὄνομα, μηδὲ τοὺς νόμους ἐν οἷς ἐπαιδεύθημεν, μηδὲ τὰς μάχας τὰς ἐφ' ἑαυτῶν γενομένας· τοὺς δ' ἀπαιτοῦντας τὴν χώραν, ἣν οἱ πρόγονοι κατέλιπον, καὶ τὴν δυναστείαν τὴν ἐν τοῖς Ἕλλησι, καὶ τὴν ἡγεμονίαν ἣν παρ

[l. 8 & 9.] Καὶ ψυχῆς . . . . πρίασθαι. Ad verbum : & vitâ quâ non fruemur per paucos annos ; emere. . . .

[l. 12.] Καιροῦ, hîc καιρὸς pro OCCASIONE ſimul & pro TEMPORE ſumitur. Itaque μεγάλου καιροῦ τιμὴν inter-

hortati, debitam nutritionis mercedem patriæ persolvamus; neque sinamus Lacedæmonem contumeliâ affici, & contemni; neque spem eorum qui nobis benevoli sunt frustremur; neque vitæ plus æquo cupidi, hujus existimationis fiamus proditores quâ apud universos homines floremus. Cogitate quàm præclarum sit mortale & fragile corpus cum immortali gloriâ commutare; & paucis duntaxat annis qui vitæ defuerint, eam emere celebritatem quâ omnis nostra posteritas perfruatur. Longè enim præstat honorem qui ex magnâ occasione veniet, & per multum tempus durabit, commutatione tali vobis parare, quàm exiguo temporis spatio in magnum dedecus prolabi. Arbitror autem ità potissimùm vos ad bellum fore concitatos, si animis vestris tanquam præsentes intueamini parentes liberosque vestros; quorum illi hortentur ne nomini Spartano, aut legibus in quibus educati sumus, aut præliis suâ ætate commissis, turpem notam inuratis; hi verò regionem reposcant quam majores reliquerunt, & principatum inter Græcos, & imperium

---

pretatus sum : honorem qui ex magnâ occasione veniet, & per multum tempus durabit. Ad ἀντιλλάξασθαι sub. τῆς ψυχῆς vel aliud quid.

[l. 21 & 22.] Καὶ τὴν δυναστείαν, τὴν ἐν τοῖς .... vulg. καὶ δυναστείαν τὴν ἐν τοῖς .... quod nullum sensum exhibet.

αὐτοὶ παρὰ τῶν πατέρων παρελάβομεν· πρὸς οὓς οὐκ ἂν ἔχοιμεν εἰπεῖν ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι λέγοντες.

Οὐκ οἶδ' ὅτι δεῖ μακρολογεῖν· πλὴν τοσοῦτον, ὡς πολλῶν τῇ πόλει πολέμων καὶ κινδύνων γεγενημένων, οὐδὲ πώποθ' οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας. Ἔστι δὲ νοῦν ἐχόντων ἀνδρῶν, οἷσπερ ἐν ταῖς μάχαις ἡγεμόσι χρώμενοι κατορθοῦσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι.



quod ipſi à patribus accepimus. Quibus utriſque reſpondere non poſſitis, & ipſos æqua dicere non fateri.

VII. Quid pluribus opus eſt? hoc unum dicam: quum multa bella & pericula civitati noſtræ contigerint, nunquam hoſtes de nobis tropæum erexerunt, duce rege è noſtrâ familiâ. Prudentium autem virorum eſt, quibus ducibus in præliis victoriâ potiuntur, iis etiam, quum de futuris bellis deliberatur, potiùs quàm aliis obtemperare.



ANALYSIS ORATIONIS AREOPAGITICÆ.

PROPOSITUM.

ORATIONIS propoſitum hoc eſt, emendare præſentem reipublicæ ſtatum, & rempublicam veterem revocare. Dicitur Areopagitica ob nihil aliud quàm quòd ibi multa mentio fit Areopagitici ſenatûs.

Non conſtat certis partibus quæ definiri queant. Per totum decurſum, nonnullis præmiſſis, laudatur reſpublica vetus collata cum præſenti: fiunt excurſus aliqui quos notabimus.

Præmiſſa.

I. Seipſum orator interrogari facit cur accedat de ſalute publicâ dicturus, quaſi periclitetur civitas, quum è contrà hæc in proſpero ſtatu verſetur.

II. Reſpondet ſe hâc ipsâ ſecuritate terreri quam civibus dant proſperæ res, ſiquidem hæ ſæpiùs tàm noxiæ ſint quàm res adverſæ ſunt utiles.

III. Utrumque probat exemplo Atheniensium & Lacedæmoniorum.

IV. Ostendit non itâ felicem esse civitatis statum ut nonnulli existimant, & mala ipsius indè oriri quòd non rectè administretur. Hinc laudat optimam administrationem, & sinsim accedit ad propositum suum.

V. Laudat paucis democratiam veterem; & præsentem vituperat.

His præmissis declarat se res singulatim jam expensurum.

Enuntiat quæ sit vera democratia, & deindè laudat democratiam veterem collatam in omnibus cum præsenti.

I. Ab eo modo quo magistratus eligebantur; & indè caussas exponit cur olim à civibus non ambirentur publica munia.

II. Ab eâ pietate quâ sacra administrabantur.

III. Ab eâ ratione quâ inter se cives se gererent.

IV. A diligenti attentione quâ moribus invigilabatur; & indè excursus in Senatum Areopagiticum qui his invigilandis præerat, & locus communis, leges sine moribus nihil proficere.

V. Pergit orator, docet quomodo in veteri republicâ, pueri, adolescentes, cives denique universi, instituerentur ad

virtutem, optimos optimæ institutionis effectus enumerat, eaque omnia ascribit Senatui Areopagitico.

Objicient nonnulli: Laudabitur respublica vetus, sed retinebitur præsens; imò periculum est ne orator, dùm præsentem statum vituperat, oligarchiæ & novarum rerum videatur esse cupidus.

Respondet se nihil novi proponere, sed eam rempublicam quæ à viris maximè popularibus instituta fuit: ut oligarchiæ suspicionem removeat, laudat democratiam benè ordinatam.

Per digressionem comparare aggreditur præsentem rempublicam cum eâ quæ fuit sub triginta tyrannis; comparationem hanc explicat pluribus articulis.

Occupat objectionem, cur igitur reprehendit præsentem democratiam quam mox laudavit?

Responsio. Viri benè nati & educati se debent æquiparare viris non sceleratis, sed maximâ virtute præditis.

Laudatur optima Atheniensium indoles quam pravis cupiditatibus corruperunt.

Adhortatio ad mutandam præsentem reipublicæ gerendæ rationem, & reditus ad collationem per effectus veteris & præsentis administrationis.

Conclusio. Ideò orator dicturus accessit ut imitatione majorum civitas à præsentibus malis liberetur.

Videtur oratio hæc scripta fuisse anno antè Christum 348, Isocratis ætatis 88.



ὙΠΟΘΕΣΙΣ

ΤΟΥ ἈΡΕΙΟΠΑΓΙΤΙΚΟΥ ΛΟΓΟΥ,

Ἐκ τῶν Διονυσίου Ἁλικαρνασσέως.

Τίς τὸν Ἀρειοπαγιτικὸν ἀναγνοὺς λόγον, οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς τῶν δημαγωγῶν οὐδεὶς ἐπεχείρει λέγειν· θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον ὅ,τι καθ' ἡδονὴν αὐτῷ γίγνοιτο καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὴν ἄκαιρον παῤῥησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνος καὶ Κλεισθένους κατασταθεῖσαν πολιτείαν. Ἧς τὴν προαίρεσιν καὶ τὰ ἔθη διεξιὼν, δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δὲ αὐτοὺς νομίζειν, οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δὲ ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν, τίθεσθαι· ἐξουσίαν τε οὐδενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχὰς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνον-

(lineâ 4.) Μεταθέσθαι μέν. Huic μὲν respondet δὲ l. 11. ἀνασώσασθαι δέ.

ARGUMENTUM

AREOPAGITICÆ ORATIONIS,

è Dionyſio Halicarnaſſeo.

Quis lectâ oratione Areopagiticâ non fieret modeſtior vel quis incœptum oratoris non laudet? qui apud Athenienſes de reipublicæ formâ diſſerere non dubitârit, & autor eſſe ut democratia tunc conſtituta mutaretur, tanquam civitati perniciosa: de quâ nullus populi dux dicere auſus eſt. Hanc autem videbat Iſocrates in eam perturbationem prolapſam eſſe, ut jam ne à magiſtratibus quidem privati poſſent coerceri, ſed unusquiſque cùm diceret tùm faceret quidquid eſſet collibitum, omnesque intempeſtivam licentiam libertatem popularem eſſe ducerent. Talem igitur adminiſtrandi rationem mutandam eſſe cenſebat, & illam revocandam quæ à Solone & Cliſthene conſtituta erat. Cujus naturam & inſtituta dùm recenſet, gravius exiſtimaſſe dicit illius ætatis homines, majoribus natu contradicere quàm ordines deſerere: democratiam judicaſſe non in petulantiâ conſiſtere, ſed in modeſtiâ: libertatem poſuiſſe non in contemptu magiſtratuum, ſed in faciendis imperatis: poteſtatem nemini improbo permiſiſſe, ſed ſpectatiſſimis viris mandaſſe magiſtratus; quòd arbitrarentur tales fore ceteros cives, quales eſſent

(l. 14.) Pro λύειν fortè legendum λιπεῖν.

τας, οἵοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγῆσαι· χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο· ἐνθυμουμένους ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν, καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ,τι ἂν οἱ νόμοι κωλύωσι, καρτερεῖν δὲ τὰ δεινά, καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

(l. 10 & 11.) Pro ἕκαστον ἐπιτηδεύειν velim legi ἕκαστος ἐπιτηδεύσαι.



gubernatores civitatis : tantùm verò eoſdem viros abfuiſſe ut rem familiarem ex pecuniis publicis amplificarent, ut privatas opes effunderent in publicam utilitatem : præterea patribus majori curæ fuiſſe filios jam adultos quàm pueros ; quòd putarent adoleſcentiæ modeſtiam plus prodeſſe reipublicæ quàm pueritiæ inſtitutionem : denique priſcos homines autumaſſe recta ſtudia præſtare accuratæ legum conſtitutioni, ideóque ipſos elaboraſſe non ut ſuppliciis delinquentes coercerent, ſed ut ne quid pœnâ dignum ab ullo committeretur, & id impenſiùs curaſſe ut patria quidem magnâ potentiâ floreret, privatis autem liceret nihil quod legibus eſſet interdictum, ſed hi & pericula ſubirent alacriter, & res adverſas infractis animis perferrent.





ἈΡΕΙΟΠΑΓΙΤΙΚῸΣ *

ΛΌΓΟΣ.

ΠΟΛΛΟῪΣ ὑμῶν οἶμαι θαυμάζειν, ἥν τινά ποτε γνώμην ἔχων, περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης, ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστηκότων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης· εἰρήνην δὲ καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ θάλατταν ἀρχούσης· ἔτι δὲ συμμάχους ἐχούσης, πολλοὺς μὲν, τοὺς ἑτοίμους ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας· πολὺ δὲ πλείους, τοὺς τὰς συντάξεις ὑποτελοῦντας, καὶ τὸ προσταττόμενον ποιοῦντας. Ὧν ὑπαρχόντων, ὑμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν, ὡς πόρρω τῶν κινδύνων ὄντας· τοῖς δὲ ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ σωτηρίας.

---

* Non aliam ob causam, ut jam dixi, mihi videtur hæc oratio dicta fuisse Ἀρειοπαγιτικὸς, quòd ibi multa mentio fit Areopagitici Senatûs.

[lineâ 2 & 3.] Πρόσοδον ποιεῖσθαι est propriè accessum facere, accedere ad loquendum; ego verti ex Volsio, concionem indicere.

AREOPAGITICA



AREOPAGITICA ORATIO.

PRÆMISSA.

I. Multos ego vestrûm mirari arbitror quânam mente concionem indixerim de salute publicâ dicturus, quasi nostra civitas vel bellis urgeatur, vel rebus dubiis conflictetur; quum & triremes ducentas ampliùs possideat, & agrum pacatum habeat, & maris imperium teneat, & societatibus munita sit, cùm multorum qui, si res postulet, alacriter nos adjuvent, tùm longè plurium, qui & tributa pendant, & imperata exequantur. Quæ quum ità sint, vos quidem aliquis dixerit non immeritò magnis esse animis, utpote ab omni discrimine procul positos, vestris verò hostibus timendum esse, & de salute suâ consultandum.

[I. 10.] Τὰς συντάξεις. Quum Athenienses, post profligatos Persas, autores fuissent Græcis tributi ad communis libertatis defensionem contrà Persarum injurias conferendi, Græci repudiârunt vocem, tributum, tanquam servilem, χαλεπῶς ἔφερον, ait Suidas, οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα: sed non recusârunt dare συντάξεις, ordinatam pecuniæ contributionem.

Ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ, καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε, καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχήσειν. Ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. Ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας, τὰ κάκιστα βουλευομένας· καὶ τὰς μάλιστα θαρρούσας, εἰς πλείστους κινδύνους καθισταμένας. Αἴτιον δὲ τούτων ἐστὶν ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίγνεται τοῖς ἀνθρώποις· ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ, τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια, καὶ μετὰ ταύτης ἀκολασία· ταῖς δ' ἐνδείαις, καὶ ταῖς ταπεινότησι, σωφροσύνη καὶ μετριότης. Ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων, τοῖς παισὶ τοῖς αὐτοῦ καταλιπεῖν. Ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας εἶναι δοκούσης, ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας· ἐκ δὲ τῆς κρείττονος φαινομένης, ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν. Καὶ τούτων ἐνεγκεῖν ἐστὶ παραδείγματα, πλεῖστα μὲν ἐκ τῶν ἰδιωτικῶν πραγμάτων (πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολάς)· μείζω δὲ καὶ φανερώτερα τοῖς ἀκούουσιν, ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων.

Ἡμεῖς τε γὰρ ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων γενομένης, διὰ τὸ δεδιέναι, καὶ προσ-

II. Tametſi autem non ignoro vos iſta cogitantes, & meam concionis indictionem contemnere, & ſperare his adjutos præſidiis totius Græciæ potituros; mihi tamen hæc ipſa metum incutiunt, quippè qui videam eas civitates quæ ſe putant florentiſſimas peſſimis uti conſiliis, & eas quæ ſecuriſſimæ ſunt plurimis periculis circumveniri. Horum autem iſta cauſa eſt, quòd neque ſecundæ neque adverſæ res ullæ mortalibus ſolæ contingunt; ſed ità evenit ut opes & potentiam dementia ſimul & licentia comitentur; inopiam autem & humilitatem, prudentia & moderatio. Ità ut judicari vix poſſit utrùm ſit ſatius liberis ſuis relinqui inopiamne an opulentiam. Siquidem ex eâ quæ deterior habetur, res videmus plerumque creſcere in melius; ex eâ verò quæ præſtantior exiſtimatur, relabi ſolere in pejus. Quarum rerum plurima exempla cùm ex rebus privatis, quæ frequentiſſimas habent vices; tùm majora & evidentiora ex iis quæ nobis & Lacedæmoniis evenere, ſuppetunt.

III. Nam & nos, everſâ urbe à Barbaris, ob cautam & diligentem rerum adminiſtrationem

---

[l. 6.] Pro συμβουλευομένας quod eſt in vulgatâ, dedi βουλευομένας quod dat Cod. K.

ἔχειν τὸν νῦν τοῖς πράγμασιν; ἐπρωτεύσαμεν τῶν Ἑλλήνων. Ἐπειδὴ δ' ἀνυπέρβλητον ᾠήθημεν ἔχειν τὴν δύναμιν, παρὰ μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι. Λακεδαιμόνιοί τε τὸ μὲν παλαιὸν ἐκ φαύλων τε καὶ μικρῶν πόλεων ὁρμηθέντες, διὰ τὸ σωφρόνως ζῆν καὶ στρατιωτικῶς, κατέσχον Πελοπόννησον. Μετὰ δὲ ταῦτα μεῖζον φρονήσαντες τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλασσαν ἀρχήν, εἰς τοὺς αὐτοὺς ἡμῖν κινδύνους κατέστησαν. Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας, καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας, πιστεύει τοῖς παροῦσιν, ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης, ἢ κατ' ἐκεῖνον τὸν χρόνον· τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων καὶ τῆς ἔχθρας τῆς πρὸς τὸν βασιλέα πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων, ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ' ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς εἰς ὅσην ταραχὴν ἡ πόλις ἡμῶν καθέστηκεν. Ἐοίκατε γὰρ οὕτω διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς τοὺς ξένους ἀπανηλωκότες, πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι, καὶ τῷ βαρβάρῳ πο-

principes Græcorum evaſimus : at ubi rati ſumus potentiam noſtram eſſe inſuperabilem, parùm abfuit quin urbs noſtra excideretur. Et Lacedæmonii, ex obſcuris & parvis oppidis olim progreſſi, vitæ modeſtiâ & diſciplinâ militari Peloponneſum ſubegerunt : poſt autem, faſtu & ſuperbiâ elati, quum terræ marisque imperium adepti eſſent, eadem quæ nos diſcrimina ſubierunt. Quiſquis igitur hujuſmodi mutationes non ignorat, tantasque opes videt tàm ſubitò everſàs, præſentibus tamen confidit, inſipiens eſt ; præſertìm quum Attica civitas deteriore conditione ſit quàm illo tempore, Græcorum nempè odiis, & regis Perſarum inimicitiis renovatis, quæ tùm nos debellârunt.

IV. Sum equidem animi dubius utrùm exiſtimem nullâ vos affici reipublicæ curâ, an quum eam curatis, non animadvertere in quantis turbis civitas noſtra verſetur. Ii autem nos mihi videmur eſſe qui quum urbes Thracias omnes amiſerimus, & ultrà mille talenta in ſtipendia militum profuderimus, qui quum Græcis ſimus ſuſpecti, hoſtes

[l. 17.] Ἃ in nominativo plurali refertur ad μίσους & ἔχθρας.

λέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκασμένοι, τοὺς δ' ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες· ἐπὶ τοσαύταις πράξεσιν εὐαγγέλια μὲν δὶς ἤδη τεθύκαμεν, ῥαθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν, τῶν πάντα τὰ δέοντα πραττόντων. Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν καὶ πάσχομεν· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον, τοῖς μὴ καλῶς περὶ τῆς διοικήσεως ὅλης βεβουλευμένοις. Ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας πράξεις, ἢ διὰ τύχην, ἢ δι' ἀνδρὸς ἀρετὴν, μικρὸν διαλιπόντες, πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. Καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γενομένων.

Ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης, καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν, καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα καὶ διελύσαμεν αὐτάς. Πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησομένην, οὔτ' ἔχομεν, οὔτε λαβεῖν αἰτοῦμεν. Καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν, καὶ παραγινομέ-

---

[l. 2.] Pro ἡμετέρους fortè legendum ὑμετέρους. Videtur tamen hîc tranſitionem fieri à ſecundâ perſonâ plurali ad primam perſonam pluralem, ut patet ex ſequentibus. Ego ità interpretatus ſum quaſi ſuprà pro ἐοίκατε legeretur ἐοίκαμεν.

facti Barbaro, Thebanorum amicos coacti servare, & nostris ipsorum sociis destituti, ob hæc facta tamen, bis jam, quasi re bene gestâ, supplicationes decreverimus, ac negligentiùs pro concione deliberemus, quàm ii quibus omnia secundissima acciderunt. Et meritò quidem hæc & facimus & patimur. Nihil enim prosperè ab ullis peragi potest, nisi de summâ reipublicæ rectè deliberârint. Etsi enim iis nonnulla benè cedant, seu fortuitò, seu virtute viri alicujus, paulò post eos videas in easdem difficultates incurrere. Id quod ex nostris casibus facilè intelligitur.

Quum enim universa Græcia, post navale Cononis prælium & Timothei imperium, in nostram potestatem cecidisset, res nostrûm prosperas diutiùs retinere non potuimus, sed eas celeriter dissolvimus & dissipavimus. Optimam enim administrandi rationem quâ rebus uti sicut oportet possimus, nec habemus nec consequi studemus. Atqui scimus omnes felicitatem potissimùm &

[l. 4.] Εὐαγγέλια τεθύκαμεν, bona nuntia sacrificavimus, i. e. tanquam ob rei benè gestæ nuncios sacrificavimus.

[l. 18.] Διασκαρίφέω, propriè dicitur de avibus qui unguibus terram scalpunt. Ità Hesychius. Aliter Harpocratio in hoc idem verbum: quem vide.

νας, καὶ παραμενούσας, οὐ τοῖς τείχη μέγιστα καὶ κάλλιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον ἠθροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὐτῶν διοικοῦσιν. Ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν ἄλλο ἢ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν, ὅσηνπερ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα. Ταύτῃ καὶ τοὺς νόμους, καὶ τοὺς ῥήτορας, καὶ τοὺς ἰδιώτας, ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι, καὶ πράττειν οὕτως ἑκάστους, οἵανπερ ἂν αὐτὴν ἔχωσιν. Ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσομεν αὐτήν· ἀλλ' ἐπὶ μὲν τῶν δικαστηρίων τῶν κατεστηκότων κατηγοροῦμεν, καὶ λέγομεν ὡς οὐδέποτε ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν· ἐν δὲ τοῖς πράγμασι, καὶ ταῖς διανοίαις αἷς ἔχομεν, μᾶλλον αὐτὴν ἀγαπῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. Ὑπὲρ ἧς ἐγὼ καὶ τὸν λόγον μέλλω ποιεῖσθαι, καὶ τὴν πρόσοδον ἀπεγραψάμην.

Εὑρίσκω γὰρ ταύτην ἂν μόνην γιγνομένην, καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν, καὶ τῶν παρόντων κακῶν ἀπαλλαγὴν, ἢν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ δημο-

[l. 20.] Dicitur πρόσοδον ἀπεγραψάμην, quia

parare & retinere, non eos qui maxima & pulcherrima ſibi mœnia circumdederunt, aut qui maximam hominum turbam in eundem locum conduxerunt, ſed eos qui ſuam civitatem optimè ac ſapientiſſimè gubernant. Nec alia civitatis anima eſt quàm forma reipublicæ, quæ idem valet ac in corpore intelligentiæ vis. Siquidem hæc eſt quæ de rebus omnibus deliberet, quæ & res ſecundas ſervet, & vitet adverſas. Ad hanc & leges & oratores & homines privatos ſemet accommodare, & ea quosque fortunâ uti neceſſe eſt, qualem habuerint civitatem. Quæ quum nobis depravata ſit, nihil nos movet, neque de eâ emendandâ cogitamus: ſed in judiciis quidem ſtatum hunc accuſamus, dictitantes nunquam pejorem fuiſſe noſtram democratiam; at verò ſi res ipſa noſtrique animi ſpectentur, magis hâc delectamur quàm illâ quæ nobis à majoribus fuit relicta. De quâ ego verba faciam, propterea que hanc nunc concionem indixi.

V. Iſtam quidem unam rationem invenio, quâ & imminentia pericula declinentur, & mala urgentia removeantur, ſi eam democratiam revocare voluerimus, quam & Solon, quo nemo fuit po-

---

nempè ſcripto orator indicebat concionem ad quam accederet dicturus.

τικώτατος γενόμενος ἐνομοθέτησε, Κλεισθένης δ', ὁ τοὺς τυράννους ἐκβαλὼν, καὶ τὸν δῆμον καταγαγὼν, πάλιν ἐξ ἀρχῆς κατέστησεν. Ἧς οὐκ ἂν εὕροιμεν οὔτε δημοτικωτέραν, οὔτε μᾶλλον τῇ πόλει συμφέρουσαν. Τεκμήριον δὲ μέγιστον· οἱ μὲν γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι, καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες, παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον· οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες, καὶ πολλάκις δεινὰ παθόντες, μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Καίτοι πῶς χρὴ ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν, τὴν τοσούτων μὲν κακῶν πρότερον αἰτίαν γενομένην, νῦν δὲ καθ' ἕκαστον ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον ἀεὶ φερομένην; Πῶς δ' οὐ δεῖ δεδιέναι, μὴ τοσαύτης ἐπιδόσεως γιγνομένης, τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε γενομένων ἐξοκείλωμεν;

Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες, ἀλλ' ἀκριβῶς εἰδότες, ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν περὶ αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ἐγὼ δ' ὡς ἂν δύνωμαι συντομώτατα, πειράσομαι περὶ ἀμφοτέρων τούτων διελθεῖν πρὸς ὑμᾶς.

Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοι-

puli ſtudioſior, legibus ſuis conſtituit, & Cliſthenes, tyrannis ejectis populoque in urbem reducto, in integrum reſtituit: quâ nec populariorem, nec reipublicæ utiliorem, reperiemus. Cujus illud argumentum eſt maximum, quòd qui eâ uſi ſunt, rebus multis præclarè geſtis, & apud omnes maximam adepti gloriam, imperium à Græcis ultrò delatum acceperunt. Qui autem hanc amplexi ſunt, inviſi omnibus & acerba multa perpeſſi, excidium & internecionem vix evitavêre. Quis autem eam adminiſtrationem laudet aut amplectatur, quæ & antehac tot malorum fons & origo fuit, & nunc quotannis præceps ſubindè fertur in deterius. Annon metuendum eſt ne his calamitatum incrementis, tandem in acerbiores quàm olim clades incidamus?

Ne verò ſummatìm tantùm hæc audientes, ſed ſingula expendentes, rectiùs his de rebus judicetis, & potiora eligatis, veſtri quidem officii eſt me dicentem attentè audire, ego conabor quàm potero breviſſimè de utraque adminiſtrandi formâ apud vos diſſerere.

Poſt Præmiſſa orator enuntiat quæ ſit vera democratia, & deindè laudat democratiam veterem collatam in omnibus cum præſenti.

I. Qui rempublicam illis temporibus tenuere,

κοῦντες, κατεστήσαντο πολιτείαν, οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πρᾳοτάτῳ προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην· οὐδὲ τὸν τρόπον τοῦτον ἐπαίδευον τοὺς πολίτας, ὥσθ᾽ ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν, δημοκρατίαν· τὴν δὲ παρανομίαν, ἐλευθερίαν· τὴν δὲ παῤῥησίαν, ἰσονομίαν· τὴν δ᾽ ἐξουσίαν τοῦ ταῦτα ποιεῖν, εὐδαιμονίαν· ἀλλὰ καὶ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους, βελτίους μὲν καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησε. Μέγιστον δ᾽ αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ τῆς μὲν ταυτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ πρὸς τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τούτων τὴν χρησιμωτέραν· ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ πονηροὺς, ἀπεδοκίμαζον ὡς οὐ δικαίαν οὖσαν· τὴν δὲ κατ᾽ ἀξίαν ἕκαστον τιμῶσαν, καὶ κολάζουσαν, προῃροῦντο. Καὶ διὰ ταύτης ᾤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους, καὶ τοὺς ἱκανωτάτους, ἐφ᾽ ἕκαστον τῶν ἔργων προκρίναντες. Τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοίπερ

[l. 8.] Ταῦτα ποιεῖν, facere hæc, i. e. ea quæ nunc fiunt. Pro ταῦτα fortè legendum πάντα, quod malim.

[l. 8 & 9.] Μισοῦσα καὶ κολάζουσα, nempè ἡ πολιτεία,

illud adminiſtrationis genus inſtituerunt, non quod nomine quidem humaniſſimo & leniſſimo appellaretur, reipsâ verò experientibus aliud videretur; neque ſic erudiebant cives, ut in petulantiâ democratiam; in legum neglectu libertatem; in audaciâ quidvis loquendi æqualitatem, & in hodiernâ hâc licentiâ felicitatem eſſe poſitam exiſtimarent: ſed quum ejuſmodi homines & odiſſent & punirent, cives univerſos meliores & modeſtiores effecerunt. Plurimùm autem ad ſtatum felicem civitatis illud eis conferebat, quòd, quum duo putentur æqualitatis eſſe genera, quorum altera idem omnibus, altera ſingulis pro dignitate tribuit, non ignorârunt utra eſſet utilior; ſed hâc æqualitate quæ nullum diſcrimen facit inter bonos & improbos, ut iniquâ, repudiatâ, illam delegerunt & in gerendâ republicâ ſunt ſecuti, quæ pro ſuo quemque merito remunerat & punit. Nec omnes promiſcuè ad ſortitionem magiſtratuum vocârunt, ſed optimum quemque, & ſingulis muneribus obeundis aptiſſimum, adhibito judicio, prætulerunt. Nam & ceteros tales fore ſperabant qualés forent ii penes

---

nam orator tranſit abruptè ab inſtitutoribus veteris politiæ ad ipſam politiam, & rurſùs ad illos redit.

[l. 20.] Vulg. βελτίυς, dedi βελτίςυς quod dat etiam cod. K.

ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. Ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον ταύτην εἶναι τὴν κατάστασιν, τῆς διὰ τοῦ λαγχάνειν γινομένης. Ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύειν, καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας· ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους, τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν.

Αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν, καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμελετηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν· μηδ' ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν, ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δεήσειε, καὶ τοῖς κοινοῖς ἐπαρκεῖν· μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσόδους, ἢ τὰς ἐκ τῶν ἰδίων γινομένας αὐτοῖς. Οὕτω δὲ ἀπείχοντο τῶν τῆς πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν, ἢ νῦν τοὺς μηδὲν δεομένους. Οὐ γὰρ ἐμπορείαν, ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν. Οὐδὲ ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκόπουν εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον, εἴ τινος πράγματος κατημελήκασι τῶν τέλος ἔχειν κατεπειγόντων. Ὡς δὲ συντόμως εἰπεῖν,

quos summa rerum esset. Deindè populariorem existimârunt hanc administrandi rationem eâ quæ sorte magistratus creat. Etenim putabant sortitionis gubernatricem esse fortunam, & sortiendo fore ut sæpè magistratus oligarchiæ studiosis contingerent; quum autem integerrimi quique delectu habito vocarentur ad rempublicam, in populi potestate futurum esse eos eligere qui præsentem statum maximè conservatum volunt.

Ut autem hæc multitudini placerent, nullæque de magistratibus contentiones orirentur, ista causa erat, quòd laboribus & frugalitati assueverant, neque sua negligentes alienis inhiabant, nec è publico rem privatam stabiliebant, sed de suo quisque, quum res postularet, etiam rempublicam juvabat, nec accuratiùs noverant quantùm sibi è publicis functionibus, quàm quid è privatis possessionibus, esset rediturum. Jam verò à publicâ pecuniâ sic abstinebant, ut illâ ætate difficilius esset reperire qui cuperent magistratus, quàm nunc qui his carere possint. Nec enim reipublicæ curam negotiationem existimabant, sed occupationem, neque computabant à primo die an antecessores lucelli aliquid sordidi reliquissent, sed multò magis an aliquid neglexissent quod primo quoque tempore conficiendum esset. Denique, ut paucis ab-

[l. 20.] Τὺς μηδὲν δεομένυς, sub. τῦ ἄρχειν.

ἐκεῖνοι διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον, ὥσπερ τύραννον, καθιστάναι τὰς ἀρχὰς, καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας, καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμένων· τοὺς δὲ σχολὴν ἄγειν δυναμένους, καὶ βίον ἱκανὸν κεκτημένους, ἐπιμελεῖσθαι τῶν κοινῶν, ὥσπερ οἰκειοτάτων· καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι, καὶ στέργειν ταύτην τὴν τιμὴν, κακῶς δὲ διοικήσαντας, μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. Καίτοι πῶς ἄν τις ταύτης ἢ βεβαιοτέραν ἢ δικαιοτέραν δημοκρατίαν εὕροι, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης;

Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς. Ῥᾴδιον δ' ἐκ τούτων καταμανθάνειν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. Ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένοις, καὶ τὰ κατὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.

Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς Θεοὺς (ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιόν μοι δοκεῖ) οὐκ ἀνωμάλως, οὐδὲ ἀτάκτως, οὔτε ἐθεράπευον, οὔτε ὠργίαζον· οὐδὲ, εἴποτε μὲν δόξειεν αὐτοῖς, τριακοσίους

solvam,

ſolvam, ſtatuebant oportere populum, tanquam dominum, conſtituere magiſtratus, & punire delinquentes, & de controverſis judicare; iis autem qui otium poſſent agere, & haberent undè viverent, ità curandam eſſe publicam rem ut res maximè ſuas; & debere quidem laudari & huic pretio acquieſcere, ſi munus ſuum rectè adminiſtraſſent; ſin malè ſe geſſiſſent, nullam eis veniam tribuendam, ſed mulctas maximas irrogandas. At enim quænam aut firmior aut juſtior democratia invenietur eâ quæ ditiſſimos quoſque ſummæ rerum præficit, & eorum ipſorum dominum populum conſtituit.

Ac reſpublica majorum hoc modo fuit ordinata; undè facilè intelligitur eos etiam in quotidianæ vitæ ratione honeſtatis ac legum perpetuò fuiſſe ſtudioſos. Neceſſe eſt enim ut ii qui ſummæ rerum fundamenta ritè jecerunt, ſingulas quoque partes rectè quaſi exædificent.

II. Ac primùm quidem, quod ad Deos immortales pertinet (hinc enim ordiri mihi jure videor), non temerè, neque perturbatè, vel ipſos colebant, vel eorum feſta celebrabant; nec, ſi quandò collibuiſſet, taurorum trecentorum pompam inſtitue-

---

[l. 5.] Ἐπιμελεῖσθαι hunc infinitivum & ſequentes refer ad δεῖ.

βοῦς ἔπεμπον· ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλιπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτάς, αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν, ἀπὸ μισθωμάτων ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσωσι, μήτ' ἔξω τῶν νομιζομένων προσθήσωσιν. Οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. Τοιγάρτοι καὶ τὰ παρὰ τῶν Θεῶν οὐκ ἐμπλήκτως, οὐδὲ ταραχωδῶς, αὐτοῖς συνέβαινεν· ἀλλ' εὐκαίρως, καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας, καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

Παραπλησίως δὲ τοῖς προειρημένοις, καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. Οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων, ὅσηνπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πατρίδος κοινωνοῦντας. Οἵ τε γὰρ πενέστεροι τῶν πολιτῶν, τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥσθ' ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων, ὥσπερ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὐτοῖς εὐπορίαν ὑπάρχειν·

[l. 1.] Dicitur ἔπεμπον quia in pompâ ducebantur immolandæ victimæ.

[l. 2.] Τὰς μὲν ἐπιθέτους ἑορτάς = Τὰς μὴ πατρίους,

bant, rursusque, si fors ità accideret, patria etiam sacra omittebant; neque peregrinas ferias, quibus epulæ adhibentur, splendidè agitabant, in templis autem religiosissimis ex locationis reditibus sacrificabant: sed illud observabant accuratè ne patriorum quid sacrorum abrogarent, vel eis ultrà consueta adjicerent. Nec enim sumptuum magnitudine religionem metiebantur, sed eorumdem rituum observatione quos ipsis majores tradidissent. Quapropter condicta anni tempora tunc à Diis nec tumultuosè, nec inordinatè, solebant contingere; sed ut ad agros colendos, ità & ad fruges percipiendas, erant maximè accommodata.

III. Nec absona his quæ diximus ipsorum inter se ratio fuit. Nec enim consentiebant de republicâ tantùm; sed in privatâ quoque vitâ sic alios alii curabant, ut cordatos viros decet, & communitate patriæ devinctos. Nam & pauperiores cives adeò non invidebant ditioribus, ut æquè solliciti essent de magnis familiis ac de suis, rati scilicet illorum divitias sibi esse bono: & locupletes tantùm

---

ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν, inquit Harpocratio; festa adscititia, quæ patria non erant, sed alioqui à populo comprobata, ἐπιθέτους appellabant.

[l. 4.] Ἀπὸ μισθωμάτων, interpretatus sum ex locationis reditibus. Locationis, nempè, agrorum sacrorum qui templis & fanis addicti essent. Vide Harpocrationem in hæc ipsa verba ἀπὸ μισθωμάτων.

οἵ τε τὰς οὐσίας ἔχοντες, οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὑτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δὲ εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν παρέχοντες. Οὐδὲ γὰρ ἐδεδίεσαν μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ πολλὰ πράγματα σχόντες, μέρος τι κομίσαιντο τῶν πρόσθεν ὄντων· ἀλλ' ὁμοίως ἐθάρρουν περὶ τῶν ἔξω διδομένων, ὥσπερ περὶ τῶν ἔνδον ἀποκειμένων. Ἑώρων γὰρ τοὺς περὶ τῶν τοιούτων κρίνοντας, οὐ ταῖς ἐπιεικείαις καταχρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους· οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὑτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν, αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας, μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γὰρ, ἢν παύσωνται προσποιούμενοι, μικρῶν προσόδων ἀποστερήσεσθαι· τοὺς δὲ, ἂν ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν καταστήσεσθαι. Καίγάρτοι διὰ ταύτην τὴν γνώμην, οὔτε ἀπεκρύπτετο τὴν οὐσίαν, οὔτε ὤκνει συμβάλλειν οὐδεὶς, ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους, ἢ τοὺς ἀποδιδόντας. Ἀμφό-

aberat ut eos despicerent quibus res minùs lauta esset, ut, civium inopiam sibi dedecori ducentes, illorum necessitatibus subvenirent, aliis agros colendos mediocri mercede locando, alios ad negotiationem ablegando, aliis pecuniam ad alios quæstus suppeditando. Nec enim metuebant ne alterutrum sibi usuveniret, ut vel totius summæ jacturam facerent, vel magnis molestiis partem aliquam commodatæ pecuniæ recuperarent; sed non minùs tutos putabant nummos aliis mutuò datos, quàm domi repositos. Videbant enim in ejusmodi rebus judices non lenitate abuti, sed legibus obtemperare; neque sibi in aliorum periculis delinquendi securitatem præparare, sed magis irasci fraudantibus, quàm eos ipsos quibus fiebat injuria. Nam qui fidem contractuum violarent, eos pauperibus censebant plus nocere quàm divitibus. Hos enim, si desinerent pecuniam fœnori dare, parvis reditibus spoliatum iri; illos, si deessent qui opem ferrent, extremâ inopiâ laboraturos. Hæc quum esset communis universorum opinio, neque opes suas celabat quisquam, neque contrahere cum aliis recusabat; imò libentiùs videbant eos qui mutuum peterent quàm qui redderent. Utrumque enim illis accide-

---

[l. 7.] Ἀφορμὴ intelligo adjumentum pecuniæ quâ quis quæstum faciat, dicimus gallicè, des fonds.

[l. 20 & 21.] Hîc προςποιεῖσθαι, pecuniam fœnori dare.

πέρα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν, καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθίστασαν. Κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν οἷσπερ κατὰ τὸ δίκαιον ὑπῆρχον· αἱ δὲ χρήσεις, ἐπίσης κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

Ἴσως ἂν οὖν τινὲς ἐπιτιμήσειαν τοῖς εἰρημένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δὲ αἰτίας οὐ φράζω δι' ἃς οὕτω καλῶς καὶ πρὸς σφᾶς αὐτοὺς εἶχον, καὶ τὴν πόλιν διῴκουν. Ἐγὼ δὲ οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον· οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδίαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον· ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ,τι βουληθεῖεν· ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον, ἢ παῖδες ὄντες. Οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας. Ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν, πλὴν τοῖς καλῶς γεγονόσι, καὶ

[l. 15.] Vulg. παιδείαις, admisi παιδίαις quod dat Battie. Ἐν ταῖς παιδίαις, in ipsâ ætate puerili.

[l. 16 & 17.] Εἰς ἄνδρας δοκιμάζεσθαι, inter viros

bat, quod ſani homines expetendum cenſeant, ut ſimul & civibus prodeſſent, & ſuâ re familiari quæſtum facerent. Ac, quod ſummum eſt, & ad civilem neceſſitudinem aptiſſimum, poſſeſſiones tutæ erant quibuscumque jure contigiſſent, & earum uſus communis paratusque erat iis quicumque indigerent.

IV. Reprehenderit fortaſsè orationem hanc meam aliquis, quòd facta illorum temporum laudibus efferam, cauſas autem non ſubjiciam propter quas & inter ſe tàm pacatè vixerint, & civitatem ſuam tàm præclarè gubernârint. Ego verò etſi tale quiddam eſſe à me dictum autumo, plura tamen & dilucidiùs his de rebus diſſerere conabor.

Nam illi quidem non ut multos qui puerilem ipſorum ætatem inſtituerent habebant magiſtros, ſic poſtquam in viros numerari cœperant ipſis licebat facere quæcumque vellent; ſed qui jam integrâ ætate erant, diligentiùs obſervabantur quàm in pueritiâ. Majores enim noſtri modeſtiæ tantam rationem habuerunt, ut Senatum Areopagiticum cenſuræ morum præfecerint: in quem ordinem admitti nefas erat, niſi & honeſto loco natos, &

---

cooptari, propriè, in viros explorari, quia nempè exploratio quædam, quoddam examen fiebat juvenum, priusquam inter viros cenſerentur.

πολλὴν ἀρετὴν καὶ σωφροσύνην ἐν τῷ βίῳ ἐνδεδειγμένοις, ὥστε πάντων αὐτὴν εἰκότως διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων.

Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις. Ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων, ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι, καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις, ἢ ταῖς αὐτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐναπειργάσαντο, καὶ τοσοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς ἑαυτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας. Οἳ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζον. Οὐδὲν γὰρ κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας, ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα λαβεῖν παρ' ἀλλήλων. Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. Τοὺς γὰρ πολλοὺς τοῖς ἤθεσιν

[l. 6 & 7.] Αἵρεσις, ordo, collegium; δοκιμασία,

virtute ac vitæ modeſtiâ ſpectatiſſimos. Quare non mirum eſt hunc ſenatum univerſis totius Græciæ conciliis antecelluiſſe.

Quæ autem olim hujus ſenatûs ratio fuerit, ex his quæ etiam hodie fiunt, intelligitur. Etenim etiamnunc delectos in hoc concilium videas, licet ceteris in rebus minùs ſint tolerabiles, ubi in Areopagum aſcenderint, non audere naturæ ſuæ indulgere, ſed illius loci inſtitutis uti potiùs quàm pravitati ſuæ immorari. Tantum illi metum improbis incuſſerunt, ac tàm firma & manſura ſuæ virtutis & modeſtiæ monumenta ipſo in loco reliquerunt.

Hunc igitur talem, ut dixi, ſenatum, morum cenſuræ præfecerant. Et quidem quiſquis autumat ibi præſtantiſſimos viros fore, ubi leges accuratiſſimè latæ erunt, eum ſententiâ falli arbitrabantur. Nihil enim, ſi ità eſſet, prohibere quominùs omnes Græci æquales eſſent, quum in promptu ſit leges alios ab aliis exſcriptas mutuari; verùm non eam rem virtutis afferre incrementa, ſed quotidianæ vitæ conſuetudinem. Et ſanè pleroſque iis

---

tribunal quod de moribus judicat.

[l. 11.] Ἐκεῖνοι, nempè *πρόγονοι ἡμέτεροι.*

[l. 19.] Ἀγνοεῖν abſolutè ſumitur, ignorantiâ laborare, in errore verſari.

[Ibid.] *κωλύειν*, hunc infinitivum & alios ſequentes refer ad *ἐνόμιζον.*

ἀποβαίνειν ὁμοίους ἀνάγκη, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν· ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων, σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν αὐτήν· ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. Δεῖ δὲ τοὺς εὖ πολιτευομένους, οὐ τὰς στοὰς ἐμπιπλάναι γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. Οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις. Καὶ τοὺς μὲν κακῶς τεθραμμένους, καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους, τολμήσειν παραβαίνειν· τοὺς δ' ἀσφαλῶς πεπαιδευμένους, καὶ τοῖς καλῶς κειμένοις θελήσειν ἐμμένειν. Ταῦτα δὲ διανοηθέντες, οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν ἂν κατασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἁμαρτάνειν. Ἡγοῦντο γὰρ τοῦτο μὲν αὐτῶν ἔργον εἶναι· τὸ δὲ, περὶ τὰς τιμωρίας σπουδάζειν, τοῖς ἐχθροῖς προσήκειν.

Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεωτέρων. Ἑώρων γὰρ τοὺς τηλικούτους

[l. 4.] Αὐτοὺς, nempè τοὺς παλαίους νομοθέτας.

[l. 5.] Pro γίγνεσθαι quod habet vulg. conjeceram primò legendum esse ποιεῖσθαι, sed legi in cod. K τίθεσθαι quod admisi. Cæterùm ità construe totam hanc phrasim,

moribus ſimiles evadere neceſſe eſt, quibus ſinguli educati fuerint: multitudo autem & accuratior legum ratio nihil aliud eſt quàm ſignum mali ſtatûs reipublicæ. Nam dùm delicta quaſi aggeribus objectis conantur coercere, neceſſariò leges cumulantur. Decet autem viros optimè gubernatos non porticus implere legibus, ſed efficere ut ſuis animis inſitum habeant juſtitiæ ſtudium. Non enim ſenatusconſultis aut plebiſcitis, ſed moribus, rectè adminiſtrantur civitates. Quippè homines malè inſtituti leges etiam exquiſitiſſimas negligere non dubitant; qui autem probè educati ſint, ii demùm bonis legibus volunt obtemperare. Hæc illi cogitantes non illud primùm ſpectabant quibus pœnis afficerent immodeſtos, ſed quâ ratione cives adduci poſſent ut ne quid vellent pœnâ dignum admittere. Hoc enim ad ſe pertinere exiſtimabant; ſuppliciis verò infligendis occupari, hoſtium eſſe.

V. Omnes igitur cives ipſis curæ erant, ſed imprimis adoleſcentes. Videbant enim eam ætatem

---

αὐτοὺς γὰρ ποιουμένους ἐμφράγματα τῶν ἁμαρτημάτων, ἀναγκάζεσθαι τίθεσθαι πολλοὺς τοὺς νόμους.

[l. 6.] Pro δεῖ malim δεῖν referendo ad ἐνόμιζον.

[l. 7.] Οὐ τὰς στοὰς .... Leges, apud Athenienſes, publicè proponebantur deſcriptæ in tabulis, quas ἄξονας vocabant, & in publicis locis ſuſpendebant ut ab omnibus legerentur.

ταραχωδέστατα διακειμένους, καὶ πλείστων γέμοντας ἐπιθυμιῶν· καὶ τὰς ψυχὰς αὐτῶν παιδευθῆναι μάλιστα δεομένας ἐν ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ πόνοις ἡδονὰς ἔχουσιν· μόνους γὰρ ἂν ἐν τούτοις ἐμμένειν τοὺς ἐλευθέρως τεθραμμένους, καὶ μεγαλοφρονεῖν εἰθισμένους. Ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς, οὐχ οἷόν τ' ἦν ἀνωμάλως τὰ περὶ τὸν βίον ἔχοντας. Ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέταττον. Τοὺς μὲν γὰρ ὑποδεέστερον πράττοντας, ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον· εἰδότες, τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν, ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνων γιγνομένων. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους, περί τε ἱππικὴν καὶ τὰ γυμνάσια, καὶ τὰ κυνηγέσια, καὶ τὴν φιλοσοφίαν, ἠνάγκασαν διατρίβειν· ὁρῶντες ἐκ τούτων, τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ, τῶν πλείστων κακῶν ἀπεχομένους.

Καὶ ταῦτα νομοθετήσαντες οὐ τὸν λοιπὸν χρόνον ὠλιγώρουν· ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν

[l. 4 & 5.] Vulg. habet, ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμένειν αὐτοὺς .... ego emendavi ut legitur.

[l. 14.] Ἀπαλλάξειν subaudi vel τοὺς νεωτέρους, vel

turbulentissimis affectibus agitari & plurimis circumagi cupiditatibus, eamque maximè ad honesta studia & jucundos labores institui debere: eos quippè solos qui liberaliter educati essent, & magna sentire assuefacti, his in rebus perseveraturos. Universis porrò eadem exercitia, in tantâ fortunarum inæqualitate, quum prescribere non possent, præcepere singulis pro singulorum facultatibus. Nam tenuiores ad agriculturam & negotiationem convertebant, non ignari & inopiæ causam esse pigritiam, & ad omne facinus inopiâ plerosque impelli. Fonte igitur malorum sublato, cetera etiam tolli delicta censebant quæ indè emanarent. Locupletes autem animum ad rem equestrem, ad gymnasia, ad venationes, ad scientiarum litterarumque studium, cogebant adjungere, quum perspicerent hinc alios virtute excellentes fieri, alios saltem plurimis abstinere flagitiis.

Neque quum hæc de pueris diligenter statuissent, per reliquum deindè tempus negligebant: sed urbe

---

τὺς πολίτας, vel meliùs etiam ἑαυτὺς. Ad verbum ἀπαλλάττω solet subaudiri accusativus aliquis. Ἀπαλλάττω τύτυ, nempè ἐμαυτὸν, hoc me libero, hoc vito, hoc præcaveo.

[l. 21.] Vulg. καὶ ταῦτα ὐ νομοθετησάντες τὸν .... transposui οὖ.

κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας εἰς τὴν βουλὴν ἦγον. Ἡ δὲ, τοὺς μὲν ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν· ἠπίσταντο γὰρ ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες, οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηριῶν. Παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ, μήτε ζημία τῶν τοιούτων καθέστηκε, μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας. Ἅπερ ἐκεῖνοι γινώσκοντες, ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Τοσούτου γὰρ ἐδέοντο αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαι προῃσθάνοντο. Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφίοις οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν· ἀλλ' ἐν τοῖς

[l. 1.] Κώμας, interpretatus sum quasi legeretur φύλας tribus. Athenis decem fuerunt tribus, quæ in oratione funebri Demostheni attributâ recensentur.

[Ibid.] Κατὰ δήμους, in pagos. Singuli cives Athenienses ab aliquo pago vel municipio cognomen habebant. Sic Demosthenes Pæaniensis, Æschines Cothocides, Iso-

in tribus divisâ, agro in pagos, ſpectabant uniuſcujusque vitam, & parùm modeſtè ſe gerentes in Senatum reos ducebant. Is autem monebat alios, aliis minitabatur, alios, ut par erat, puniebat. Duas quippe ſciebant eſſe rationes, quæ & ad injurias incitarent, & à ſceleribus revocarent. Apud quos enim nullum ſtudium eſt flagitia vel cavendi vel puniendi, apud quos nulla ſevera jùdicia exercentur, apud eos etiam bona ingenia corrumpi. Ubi verò delinquentes neque facilè deliteſcant, neque convicti ſpem veniæ habeant, ibi demùm naturæ morumque pravitatem paulatìm aboleri. His itaque cognitis, pœnâ ſimul & diligentiâ cives in officio continebant. Tantùm enim aberat ut laterent ipſos ii qui peccaſſent, ut antè animadverterent quoſnam veriſimile eſſet peccaturos eſſe. Quamobrem non in tabernis luſoriis adoleſcentes verſabantur, nec apud tibicinas, nec in hujuſmodi conventiculis, in quibus nunc totos dies conterunt;

---

crates Erchienſis cognominatur. Hujus rei cauſa fuit, quòd olim plerique Athenienſes extrà urbem habitârunt, donec ab Ericthonio primùm, deindè à Theſeo, in urbem ſunt coacti: in cujus rei memoriam parva & magna Panathenæa fuerunt inſtituta; & tamen cives veteris patriæ cognomina retinuerunt.

[l. 18.] Τὰ σκιραφία, tabernæ luſoriæ, à σκιροὶ fruſtula quædam marmoris quibus ludebant.

ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν· θαυμάζοντες καὶ ὁμιλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας. Οὕτω δ' ἔφευγον τὴν ἀγορὰν, ὥστε εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. Ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις, ἢ λοιδορήσασθαι, δεινότερον ἐνόμιζον εἶναι, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν. Ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν, οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε· σεμνύνεσθαι δ' ἐμελέτων, καὶ οὐ βωμολοχεύεσθαι· καὶ τοὺς εὐτραπέλους δὲ, καὶ σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.

Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων· σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς, ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστε οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴην· ἀλλὰ πολὺ ἂν δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν. Ἐκεῖνοι γὰρ ἦσαν οἱ τὴν ἀρχὴν προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας, καὶ καταλύσαντες τὴν τῆς βουλῆς δύναμιν.

Ἧς ἐπιστατούσης, οὐ δικῶν, οὐδὲ ἐγκλη-

sed

ſed iis ſtudiis immorabantur ad quæ erant informati, & qui in illis primas tenerent, eos admirati ſectabantur. Forum autem ità fugiebant, ut ſi quandò illâc tranſire cogerentur, id eos magnâ cum verecundiâ & modeſtiâ facere appareret. Senioribus verò adverſari aut maledicere, gravius eſſe ducebant quàm nunc parentes violare. Jam in cauponâ edere aut bibere, nemo ne ſervus quidem paulo frugalior auſus eſſet. Gravitati ſtudebant non ſcurrilitati; facetos autem iſtos & dicaces, quos nunc elegantes vocant & ingenioſos, illi miſeros & viles judicabant.

Neque verò me quiſquam exiſtimet iratum eſſe iſti ætati. Nec enim quidquam harum rerum adoleſcentibus eſt imputandum, & plurimos illorum ſcio iſtâ ratione minimè delectari, quâ impunè licet tàm petulanter agere. Quare iis haud immeritò ſuccenſeremus, ſed illi multò juſtiùs ſunt accuſandi qui paulò antè nos rempublicam geſſerunt. Iſti ſunt qui primi hanc adduxerunt licentiam, diſſolutâ Areopagi autoritate.

Qui quum moribus præficeretur, non accuſa-

[l. 2.] Ὁμιλέω vulgò conſtruitur cum dativo, non cum accuſativo.

[l. 10.] Βωμολοχεύεσθαι, ſcurram agere. Vide Harpocrationem in hoc verbum.

[l. 22.] Τὴν ἀρχὴν, ſubaudi κατὰ, initio.

μάτων, οὐδὲ εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων, ἡ πόλις ἔγεμεν. ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς, τοῖς μὲν Ἕλλησι πιστοὺς, τοῖς δὲ βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες, ὥστ' ἀγαπᾶν ἐκείνους εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. Τοιγάρτοι διὰ ταῦτα μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις καὶ τὰς ἐπισκευὰς τὰς ἐπὶ τῶν ἀγρῶν, ἢ τὰς ἐντὸς τείχους· καὶ πολλοὺς τῶν πολιτῶν μηδὲ εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλὰ αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον ἢ τῶν κοινῶν ἀπολαύειν· οὐδὲ γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελγῶς οὐδ' ὑπερηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. Οὐ γὰρ ἐκ τῶν πομπῶν, οὐδὲ ἐκ τῶν περὶ τὰς χορηγίας φιλονεικιῶν, οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν, καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. Ἐξ ὧνπερ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας, καὶ μὴ φορτικῶς πολιτευομένους. Ἐπεὶ νῦν γε τίς οὐκ

[l. 16.] Post ἕνεκα addidi ἂν quod deest in vulg.

tionibus, non criminationibus, non exactionibus, non paupertate, neque bellis, referta erat civitas; sed cives & inter se concordi animo, & cum aliis universis pacato, vivebant: siquidem præbebant se & Græcis fideles & Barbaris formidabiles. Etenim illos conservârant, hos autem sic erant ulti ut benè secum agi putarent si nullis præterea malis afficerentur. Itaque tunc eâ degebant securitate, ut pulchriùs & sumptuosiùs in agris quàm in urbe & tecta ædificarentur & festa celebrarentur, multique civium nec in festis quidem solemnibus urbem inviserent, sed privatis oblectamentis frui mallent quàm publicis spectaculis. Nec enim hæc quorum gratiâ quis venisset, luxuriosè aut superbè, sed cordatè, celebrabant; neque felicitatem, pomparum aut ædilitiorum munerum contentionibus, aut simili quâdam fastûs insolentiâ, metiebantur, sed quotidianæ vitæ modestiâ, & tali rerum necessariarum copiâ ut ne qui cives egerent. Quibus è rebus æstimare licet qui sint verè felices, nec importunâ tantùm luxûs ostentatione commendandi. Nam, ut nunc quidem se res habet, quis sanæ

[l. 24.] Φορτικῶς πολιτευομένους, importunè se gerentes, id est, ut interpretatus sum, importunâ luxûs ostentatione commendandos. Ceterùm πολιτεύω & πολιτεύομαι, interdùm significant, rempublicam administro, in-

ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγήσειεν; ὅταν ἴδῃ τινὰς τῶν πολιτῶν, αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων εἴθ' ἕξουσιν εἴτε μή, πρὸ τῶν δικαστηρίων κληρουμένους, τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους, τρέφειν ἀξιοῦντας· καὶ χορεύοντας μὲν ἐν χρυσοῖς ἱματίοις, χειμάζοντας δὲ ἐν τούτοις ἐν οἷς οὐ βούλομαι λέγειν· καὶ τοιαύτας ἄλλας ἐναντιώσεις περὶ τὴν τοιαύτην διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην περιποιοῦσι τῇ πόλει.

Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς. Ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀπορειῶν, ταῖς ἐργασίαις καὶ ταῖς ὠφελείαις παρὰ τῶν ἐχόντων· τοὺς δὲ νεωτέρους τῶν ἀκολασιῶν, τοῖς ἐπιτηδεύμασι, καὶ ταῖς αὑτῶν ἐπιμελείαις· τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν, ταῖς τιμωρίαις, καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας· τοὺς δὲ πρεσβυτέρους τῶν ῥᾳθυμιῶν, ταῖς τιμαῖς ταῖς πολιτικαῖς, καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καίτοι πῶς ἂν γένοιτο ταύτης πλείονος

---

terdùm, civis ſum reipublicæ, vel ſimpliciter, vivo, dego, me gero, nempè, verſans in republicâ. Hîc in poſteriori ſenſu ſumitur, ſumetur mox in priori, p. 132, l. 16.

[l. 2, 3 & 4.] Αὐτοὺς μὲν .... κληρομένους. Quum magiſtratus ſorte ducerentur, & ex magiſtratibus emolu-

mentis non indoleat, quum viderit civium quosdam incertos an victum necessarium habituri sint, antè prætoria sortem ducere, & è Græcis eos qui remos agere voluerint, ali jubere; in aureis vestimentis saltare, & in iis hybernare locis quæ dicere me pudeat: quum viderit alia multa quæ in hoc administrationis statu absurdè secum pugnant, & magnum reipublicæ inurunt dedecus?

Quarum rerum sub illo senatu nihil erat. Levabat enim is inopiâ tenuiores, beneficiis locupletum & adjumentis; magistratuum autem avaritiæ fræños injiciebat severis nocentium pœnis, & solerti eorum indagatione: juventutis intemperantiam honestis institutis & acri vigilantiâ coercebat; senibus verò torporem excutiebat civilium munerum honoribus. Atenim quæ respublica meliùs

---

menta fierent, multi cives egeni maximè optabant ut eis sors faveret.

[l. 13.] Transposui ὠφελείαις quod in vulg. est post ἐχόντων.

[l. 14 & seq.] Τὰς δὲ .... ἐπιμελείαις .... hæc phrasis mihi videtur transponenda, & interpretando transposui post ἀδικοῦντας, l. 17.

[l. 15.] Αὐτῶν, ipsorum, nempè, juvenum. Καὶ ταῖς αὐτῶν ἐπιμελείαις, & diligentiâ quâ juvenes observabantur.

ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης;

Καὶ περὶ μὲν τῶν τότε καθεστώτων, τὰ μὲν πλεῖστα διεληλύθαμεν· ὅσα δὲ παραλελοίπαμεν, ἐκ τῶν εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐτὸν τρόπον εἶχε τούτοις, ῥᾴδιον ἐστι καταμαθεῖν.

Ἤδη δέ τινες ἀκούσαντές μου ταῦτα ἐπεξιόντος, ἐπῄνεσάν με ὡς οἷόν τε μάλιστα, καὶ τοὺς προγόνους ἐμακάρισαν, ὅτι τὸν τρόπον τοῦτον τὴν πόλιν διῴκουν· οὐ μὴν ὑμᾶς ᾤοντο πειθήσεσθαι χρῆσθαι τούτοις, ἀλλ' αἱρήσεσθαι διὰ τὴν συνήθειαν ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπαθεῖν μᾶλλον, ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν βίον διάγειν. Εἶναι δ' ἔφασάν μοι καὶ κίνδυνον μὴ τὰ βέλτιστα συμβουλεύων, μισόδημος εἶναι δόξω, καὶ τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμβαλεῖν.

Ἐγὼ δ' εἰ μὲν περὶ πραγμάτων ἀγνοουμένων καὶ καινῶν τοὺς λόγους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς ἑλέσθαι συνέδρους ἢ συγγραφέας, δι' ὧν ὁ δῆμος κατελύθη τὸ πρότερον, εἰκότως ἂν ἔχον τὴν αἰτίαν ταύτην· νῦν δ' οὐδὲν εἴρηκα τοιοῦτον, ἀλλὰ διείλεγμαι περὶ διοικήσεως, οὐκ

[l. 20.] Per *συνέδρους* & *συγγραφέας* intellige decemviros & ſcribas à Piſandro conſtitutos, qui, deletâ demo-

conſtitui queat eâ quæ rerum omnium curam tàm diligentem ſuſcepit?

Ac inſtituta quidem illius ætatis pleraque recenſuimus; ſi quæ verò prætermiſimus, illorum quoque conſimilem fuiſſe rationem ex hiſce facilè intelligitur.

Objectio.

Non defuerunt autem qui, auditâ hâc oratione, tùm me laudibus extulerint quàm maximis, tùm majorum noſtrorum felicitatem prædicârint, qui hanc gerendæ reipublicæ rationem eſſent ſecuti: non tamen exiſtimabant vos in hâc re mihi obtemperaturos ut tales amplecti mores velitis, ſed fore ut per conſuetudinem malitis in hoc rerum ſtatu multa acerba perpeti, quàm ſub emendatiore reipublicæ formâ vitam degere feliciorem. Addebant etiam eſſe mihi periculum, ne, dùm optima conſulerem, inſenſus plebi, & oligarchiæ inſtituendæ cupidus, viderer.

Reſponſio.

Ego verò, ſi de rebus ignotis & novis verba facerem, & ad iſtas res conſtituendas vos juberem conſeſſores aut ſcribas deligere, per quos antehac popularis ſtatus abrogatus eſt, jure hoc nomine accuſarer: nunc autem nihil tale dixi, ſed de adminiſ-

---

cratiâ, novam oligarchiam ordinarent.

ἀποκεκρυμμένης, ἀλλὰ φανερᾶς, ἣν ἅπαντες ἴστε, καὶ πάτριον ἡμῖν οὖσαν, καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν γεγενημένην, πρὸς δὲ τούτοις, ὑπὸ τοιούτων ἀνδρῶν νομοθετηθεῖσαν, καὶ κατασταθεῖσαν, οὓς οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν πολιτῶν. Ὥστε πάντων ἄν μοι συμβαίη δεινότατον, εἰ τοιαύτην πολιτείαν εἰσηγούμενος, νεωτέρων δόξαιμι πραγμάτων ἐπιθυμεῖν. Ἔπειτα κἀκεῖθεν ῥᾴδιον τὴν διάνοιαν διαγνῶναι τὴν ἐμήν. Ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων τῶν εἰρημένων ὑπ᾽ ἐμοῦ, φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις καὶ πλεονεξίαις ἐπιτιμῶν· τὰς δ᾽ ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας, οὐδ᾽ ὡς ἔτυχον, ἀλλὰ δικαίως καὶ νουνεχόντως. Οἶδα γὰρ τούς τε προγόνους τοὺς ἡμετέρους ταύτῃ τῇ καταστάσει πολὺ τῶν ἄλλων διενεγκόντας, καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν. Ἐν γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει, καὶ τῷ βίῳ τῷ καθ᾽ ἡμέραν, καὶ τοῖς ἄλλοις τοῖς ἐπιτηδεύμασιν, ἴδοιμεν ἂν παρ᾽ αὐτοῖς τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις ἰσχυούσας. Αἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν, οἱ δὲ καλῶς δημοκρατούμενοι χρώμενοι διατελοῦσι.

ratione disserui non occultâ, sed manifestâ, quam scitis omnes & patriam vobis esse, & cùm reipublicæ nostræ, tùm ceteris Græcis, plurimas peperisse utilitates, atque insuper ab iis viris sancitam & constitutam, quos nemo est quin inficias ierit omnium civium maximè fuisse populares. Quare mecum iniquissimè ageretur, si talis reipublicæ quum suasor sim, novarum rerum cupidus existimarer. Deindè ex eo etiam mea mens facilè perspicitur, quòd in plerisque meis orationibus pateat oligarchiam & injustam dominationem à me vituperatas, æqualitatem verò & democratiam laudatas esse, non quidem omnes, sed rectè ordinatas, neque id à me factum esse temerè aut fortuitò, sed jure atque prudenter. Nam & majores nostros novi eâ administrandi ratione longè aliis præstitisse, & Lacedæmoniorum ob hoc præsertìm rempublicam florere quòd populari statu potissimùm utantur. Nam & in magistratuum creatione, & in quotidianæ vitæ consuetudine, ceterisque studiis, æquitatem & æqualitatem plus valere apud eos videmus quàm apud ceteros. Quæ quidem instituta ut sunt oligarchiis prorsùs contraria, sic in bonis democratiis maximè usitata.

[l. 24.] Αἷς, vulg. οἷς.

Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις, καὶ μεγάλαις, ἢν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφερούσας. Ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ᾗ πάντες ἐπιτιμῶσιν, ἢν παραβάλωμεν αὐτὴν μὴ πρὸς τὴν ὑπ᾽ ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ἐπὶ τῶν τριάκοντα καταστᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

Βούλομαι δ᾽ εἰ καί τι με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν ὅσον αὕτη τῆς τότε διέστηκεν· ἵνα μηδεὶς οἴηταί με τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν· εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα παραλιπεῖν. Ἔσται δὲ ὁ λόγος, οὔτε μακρὸς, οὔτ᾽ ἀνωφελὴς τοῖς ἀκούουσιν.

Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ τὸν Ἑλλήσποντον ἀπωλέσαμεν, καὶ ταῖς ἀτυχίαις ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων, τοὺς μὲν δημοτικοὺς καλουμένους, ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴτις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν, ὑφ᾽ ἑτέροις οὖσαν, καὶ τούτους μὲν ἐκπόνδους γενομένους· τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας, ἑτοίμως καὶ τὰ τείχη

Comparatio, per digressionem, præsentis reipublicæ cum eâ quæ fuit sub triginta tyrannis.

Quòd si rem accuratè perpenderimus, claris & magnis civitatibus democratiam oligarchiæ utiliorem esse inveniemus. Etenim vel nostram hanc rempublicam, quæ ab omnibus reprehendi solet, si conferatur, non cum eâ quam modò recensui, sed cum illâ quæ triginta tyrannorum temporibus extitit, nemo erit quin eam cœlitùs demissam esse arbitretur.

Ceterùm lubet, quamvis ab instituto alienum videri queat, ostendere & enarrare quantùm inter hanc nostram & illam intersit; ne me quis existimet in populi delicta quidem severiùs inquirere, at si quid pulchrè ab eo præclaréque gestum sit, præterire. Erit autem meus hâc de re sermo neque nimis longus, neque iis qui audiunt inutilis.

Nam quum amissis ad Hellespontum navibus illas clades civitas nostra accepisset, quis è natu majoribus ignorat eos qui populares vocabantur, quidvis perpeti ne imperata fierent fuisse paratos, atque indignissimum judicasse eam civitatem quæ Græcis imperasset aliis servire; & hos quidem è fœderibus fuisse exclusos: oligarchiæ autem studiosos

καθαιροῦντας, καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μὲν ὅτε τὸ πλῆθος κύριον ἦν τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας· ἐπειδὴ δὲ οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους· ἐπειδὴ δὲ οἱ φεύγοντες κατελθόντες πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ' αὐτῶν, καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τῆς θαλάσσης; Καὶ μὴν δὴ καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν; τὴν μὲν γὰρ δημοκρατίαν οὕτω κοσμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, ὥστ' ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· τοὺς δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τὰ δὲ συλήσαντας, τοὺς δὲ νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀποδομένους, εἰς οὓς ἡ πόλις ἀνήλωσεν οὐκ ἐλάττω χιλίων ταλάντων; Ἀλλὰ μὴν, οὐδὲ τὴν πραότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον ἢ τὴν τῆς δημοκρατίας. Οἱ μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν, πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φεύγειν πλείονας ἢ πεντακισχιλίους

[l. 13.] Vulgata habet θυσίαις pro ὁσίοις. Harpo-

non recusasse quominùs & mœnia diruerent & servitutem subirent? Atque tùm quum rerum summa penes multitudinem esset, nos aliorum arcibus præsidia imposuisse; quum autem triginta illi rempublicam gererent, ab hostibus nostram arcem occupatam? Illis denique temporibus Lacedæmonios nostrûm fuisse dominos; postquam verò exules reversi, pro libertate pugnare ausi fuerunt, & Conon prælio navali vicit, legatos ab ipsis venisse qui nostræ civitati imperium ultrò offerrent? Jam quis meorum æqualium non meminit, in democratiâ urbem sic exornatam fuisse ædificiis sacris & profanis, ut qui etiamnum huc adveniunt, eàm esse dignam censeant non Græciæ tantùm, sed totius orbis imperio? Triginta verò tyrannos alia neglexisse, alia expilasse, & navalia tribus talentis destruenda locasse, quæ reipublicæ non minùs mille talentis constiterunt? Atque illorum mansuetudinem non quisquam laudârit magis quàm democratiæ. Nam illi quidem ex senatusconsulto summâ rerum potiti, quingentos & mille cives indictâ causâ occiderunt; & in Piræum ampliùs quinque

---

cratio ad verbum ὅσιον ità legit: Ἰσοκράτης Ἀρεοπαγιτικῷ, ἐν τοῖς ἱεροῖς ἐν τοῖς ὁσίοις. Idemque animadvertit verba ἱερὰ & ὅσια sæpiùs opponi apud Hyperidem & Demosthenem. Videatur ipse Harpocratio. Hoc notavit Valkenaer.

[l. 16.] Τὰ δὲ, vulg. τοὺς δέ.

ἠνάγκασαν· οἱ δὲ κρατήσαντες, καὶ μεθ' ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνελόντες, οὕτω τὰ πρὸς ἄλλους καλῶς καὶ νομίμως διῴκησαν, ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων.

Ὃ δὲ πάντων κάλλιστον τεκμήριον καὶ μέγιστον τῆς ἐπιεικείας τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας γιγνομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς τοὺς Λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν, καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν ἡμῖν προστάττοντας, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας, καὶ δεησομένους μὴ περιιδεῖν σφᾶς αὐτοὺς ἀναστάτους ὑπὸ Θηβαίων γιγνομένους. Τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας, τοιοῦτον ἦν. Οἱ μὲν γὰρ ἠξίουν, τῶν μὲν

[l. 3.] Vulg. ἀλλήλους, dedi ἄλλους quod habent Codd. K, M.

millia fugere coegerunt. Hi autem consecuti victoriam, & armis recuperatâ patriâ, præcipuis duntaxat malorum autoribus è medio sublatis, ergà reliquos mansuetè adeò ac civiliter egere, ut non pejore essent conditione qui ejecerant quàm ejecti.

Illud verò maximum est & pulcherrimum æquitatis & mansuetudinis populi argumentum: nam quum ii qui in urbe remanserant, talenta centum à Lacedæmoniis, ad eos obsidendos qui Piræum occupârant, mutuati essent, indictâ de reddendâ pecuniâ concione, multisque æquum esse dicentibus ut Lacedæmoniis satisfacerent non ii qui tolerassent obsidionem, sed qui pecuniam mutuò sumpsissent, solutionem ab omnibus communiter faciendam esse populus decrevit. Porrò quum his animis essent, ad tantam nos adduxerunt concordiam, & sic rempublicam auxerunt, ut Lacedæmonii, qui in oligarchiâ singulis ferè diebus nobis aliquid imperabant, in democratiâ supplices oraverint ne se à Thebanis funditùs exscindi pateremur. Ad summam, utrisque hoc propositum fuit ac deliberatum, ut alteri civibus imperare, hosti-

---

[l. 22.] Ἑκατέρων utrorumque, i. e. sectatorum tùm democratiæ, tùm oligarchiæ.

πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν· οἱ δὲ, τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκεν· πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος, οὐκ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας. Ἔπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας, ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας· τάς τε καλῶς πολιτευομένας, προεχούσας, τῷ δικαιοτέρας εἶναι, καὶ κοινοτέρας, καὶ τοῖς χρωμένοις ἡδίους.

Τάχ᾽ οὖν ἄν τινες θαυμάσειαν, τί βουλόμενος, ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης, ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν· καὶ τίνος ἕνεκα, νῦν μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρατίαν, ὅτ᾽ ἂν δὲ τύχω, πάλιν μεταβαλὼν, ἐπιτιμῶ καὶ κατηγορῶ τῶν καθεστηκότων.

Ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας, πολλὰ δ᾽ ἐξαμαρτάνοντας, μέμφομαι, καὶ νομίζω φαυλοτέρους εἶναι τοῦ δέοντος. Καὶ πρός τε τούτοις, τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόντων ταῖς πονηρίαις, πολὺ δὲ χείρους

[l. 17.] Vel accipe μεταβαλὼν passivè quasi μεταβε-

bus

bus servire, vellent; alteri aliis imperare, cum civibus pari & æquo jure vivere, studerent.

Hæc ego duabus de causis recensui, primùm ut ostenderem me nec oligarchiæ nec ullius injustæ dominationis suasorem esse, sed administrationem justam & modestam desiderare: deindè ut perspiceretur democratias etiam malè constitutas pauciores gignere calamitates, & eas quæ rectè administrantur, hoc ipso excellere quòd & justiores sint, & humaniores, & civibus jucundiores.

Altera objectio.

Sed aliqui fortassè mirabuntur, quonam consilio pro hoc civitatis statu, ex quo tanta & tàm multa extiterint commoda, alterum vos adhorter suscipere, quamve nunc ob causam democratiam tantopere laudaverim, rursusque, mutatâ sententiâ, præsentem rempublicam reprehendam temerè & increpem.

Responsio.

Ego verò etiam privatos homines, qui pauca rectè agunt, delinquunt autem plurima, accuso, & deteriores existimo quàm deceat. Itemque eos qui, ex integerrimis viris nati, hominibus nequissimis & improbissimis paulò quidem probiores sunt, sed à parentum virtute longè degeneres vitupero,

---

ϛλήμενος, vel subaudi ἐμαυτόν.

τῶν πατρῴων λοιδορεῖν, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι τοιούτοις οὖσι. Τὴν αὐτὴν οὖν γνώμην ἔχων καὶ περὶ τῶν κοινῶν, ἡγοῦμαι δεῖν ἡμᾶς μὴ μεγαλοφρονεῖν, μηδ' ἀγαπᾶν, εἰ κακοδαιμονησάντων καὶ μανέντων ἀνθρώπων νομιμώτεροι γεγόναμεν· ἀλλὰ πολὺ μᾶλλον ἀγανακτεῖν, καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγόνων τυγχάνομεν ὄντες. Πρὸς γὰρ τὴν ἐκείνων ἀρετὴν, ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν, ἁμιλλητέον ἡμῖν ἐστιν· ἄλλως τε καὶ προσῆκον ἡμῖν, βελτίστοις ἁπάντων ἀνθρώπων εἶναι.

Καὶ τοῦτον εἴρηκα τὸν λόγον, οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη, καὶ πρὸς πολλούς. Ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις, φύσεις ἐγγινομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας ἐν ἑκάστοις, καὶ πολὺ τῶν ἄλλων διαφερούσας. Τὴν δ' ἡμετέραν χώραν ἄνδρας καὶ τρέφειν καὶ φέρειν δυναμένην, οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις εὐφυεστάτους, ἀλλὰ καὶ πρὸς ἀνδρίαν καὶ πρὸς ἀρετὴν διαφέροντας. Τεκμαίρεσθαι δὲ δίκαιόν ἐστι τοῖς τε παλαιοῖς ἀγῶσιν οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας, καὶ Θρᾷκας, καὶ Πελοποννησίους ἅπαντας· καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ Περσικὰ γενομένοις· ἐν οἷς καὶ μόνοι, καὶ μετὰ Πελοποννησίων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, νικήσαντες τοὺς βαρβάρους, ἀριστείων ἠξιώθησαν. Ὧν οὐδὲν

eosque monitos velim ut tales præbere se desistant. Eadem & de publico statu sentio, ac nullam nobis causam esse arbitror cur superbiamus, & præclarè nobiscum agi putemus, si paulò major sit apud nos legum reverentia quàm apud insanos & perditissimos; sed indignandum potiùs nobis ac ægerrimè ferendum, quòd majoribus nostris ità simus deteriores. Nec enim cum triginta tyrannorum improbitate, sed cum illorum virtute certare nos oportet; præsertim quum omnium mortalium optimos esse nos conveniat.

Atque ad hunc modum non nunc primùm ego, sed sæpè jam & apud multos disserui. Nam in singulis aliis locis, fructuum, arborum & animantium genera innasci haud ignoro quæ longè aliis præstent; nostram autem tellurem viros & gignere & educare posse, tùm ad artes & negotia navos ac industrios, tùm fortitudine & reliquis virtutibus præstantissimos. Idque & ex veteribus præliis judicandum est quæ cum Amazonibus, & Thracibus, & Peloponnensibus universis commiserunt, & è periculis quæ contrà Persas adierunt; in quibus & soli & à Peloponnensibus adjuti, & mari & terrâ, Barbaris superatis, eximium fortitudinis præmium adepti sunt. Neque verò quidquam fecissent ejus-

---

[l. 10.] Post τε addidi ϗ quod deest in vulg.

ἂν ἔπραξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν.

Καὶ μηδεὶς οἰέσθω τὴν δυσλογίαν ταύτην προσήκειν ἡμῖν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναντίον. Εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων, ἔπαινοι μὲν τῶν ἀξίων σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόντων· κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥαθυμίαις καὶ κακίαις καταισχυνόντων. Ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές. Τοιαύτης φύσεως ὑπαρχούσης, οὐ διεφυλάξαμεν αὐτὴν, ἀλλ' ἐμπεπτώκαμεν εἰς ἄγνοιαν καὶ ταραχὴν, καὶ πονηρῶν πραγμάτων ἐπιθυμίαν. Ἀλλὰ γὰρ ἢν ἐπακολουθῶν τοῖς ἐνοῦσιν, ἐπιτιμήσω, καὶ κατηγορήσω τῶν καθεστώτων πραγμάτων, δέδοικα μὴ πόῤῥω λίαν τῆς ὑποθέσεως ἀποπλανηθῶ.

Περὶ μὲν οὖν τούτων, καὶ πρότερον εἰρήκαμεν, καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς παύσασθαι τοιαῦτα ἐξαμαρτάνοντας. Περὶ δ' ὧν ἐξ ἀρχῆς τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθεὶς, παραχωρήσομαι τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων.

Ἡμεῖς γὰρ, ἢν μὲν οὕτως οἰκῶμεν τὴν πόλιν,

[l. 5.] Ἀξίων in genitivo per attractionem ut dicunt, nam deberet legi ἀξίους.—l. 9, post τοιαύτης vid. add. γάρ.

[l. 10.] Pro ἄγνοιαν forte legendum ἄνοιαν.

[l. 12.] Αἰνοῦσιν quod habet vulgata mutaveram in

modi, nisi egregiâ indole longè aliis præstitissent.

Ceterùm nemo putet laudationem hanc pertinere ad nos qui nunc urbem tenemus. Longè aliter se res habet. Nam tales orationes ut iis laudi sunt qui se dignos virtute majorum præbent, sic eos accusant vehementer qui ignaviâ & flagitiis nobilitati suæ dedecus afferunt. Id quod nos facimus; nec enim dissimulanda veritas est. Siquidem quum tàm præclara nobis natura esset, eam non servavimus, sed in stultitiam, & insanas malarum rerum cupiditates, incidimus. Verùm si, ea omnia quæ dici possunt persequens, præsentem statum reprehendero & accusârò, vereor ne longiùs ab instituto aberrem.

Ac de illis quidem rebus & antè dixi & iterùm dicam, nisi vobis persuasero ut talia delinquere tandem desinatis. De his autem quæ ab initio instituti ubi pauca disseruero, locum dabo aliis, si qui præterea dare consilium volent.

Adhortatio ad mutandam præsentem reipublicæ gerendæ rationem, & reditus ad collationem per effectus veteris & præsentis administrationis.

Nos quidem si ità geremus rempublicam ut nunc

ἐνοῦσιν; quam emendationem mihi confirmavit Cod. K. Τὰ ἔνοντα intellige, ea omnia quæ possunt dici.

[l. 13.] Καθεστώτων, vulg. ἐνεστώτων.

[l. 15.] Ald. & Med. habent, ἀποπλανῶ quod potuisset servari.

ὥσπερ νῦν οἰκοῦμεν, οὐκ ἔστιν ὅπως οὐκ ἂν βουλευσόμεθα, καὶ πολεμήσομεν, καὶ βιωσόμεθα, καὶ σχεδὸν ἅπαντα κακὰ πεισόμεθα καὶ πράξομεν, ἅπερ ἐν τῷ παρόντι, καὶ τοῖς παρελθοῦσι χρόνοις. Ἢν δὲ μεταβάλωμεν τὴν πολιτείαν, δηλονότι κατὰ τὸν αὐτὸν λόγον, οἷάπερ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτα ἔσται καὶ περὶ ἡμᾶς. Ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων, καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας ἀποβαίνειν.

Δεῖ δὲ τὰς μεγίστας αὐτῶν παρ' ἀλλήλας τιθέντας, βουλεύσασθαι ποτέρας ἡμῖν αἱρετέον εἶναι. Καὶ πρῶτον σκεψώμεθα τοὺς Ἕλληνας, καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέκειντο, καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς. Οὐ γὰρ ἐλάχιστον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν.

Οἱ μὲν τοίνυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ' ἐκεῖνον τὸν χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστ' οὔτε μακροῖς πλοίοις ἔγγιστα Φασήλιδος ἔπλεον, οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος

[l. 11.] Τὰς μεγίστας, nempè πράξεις, maximos

gerimus, aliter fieri non poterit quin consimilem ad modum & consultemus, & belligeremus, & vivamus, & ferè omnia mala tùm patiamur tùm faciamus quæ & hodie & olim acciderunt. Sin verò rempublicam emendaverimus, eâdem ratione consentaneum est tales nostras quoque res fore, quales majorum nostrorum fuerunt. Ex eodem enim administrandi modo, emolumenta etiam æqualia & consimilia semper existere necesse est.

Maximorum autem utriusque administrationis effectuum comparatione factâ, deliberandum utri nobis sint eligendi. Ac primùm videamus quomodo tùm Græci, tùm Barbari, ergà veterem rempublicam affecti fuerint, & qui nunc illorum animi sint ergà nos. Nec enim hæc duo hominum genera minimam partem conferunt ad felicitatem nostram, prout de nobis senserint.

Illo quidem tempore sic Græci nostris magistratibus fidebant, ut eorum plurimi civitati nostræ ultrò se traderent. Barbari verò tantùm aberant ut se admiscerent rebus Græcorum, ut, neque longis navibus proximè Phaselidem accederent, neque cum exercitu descenderent intrà Halyn amnem,

---

effectus. Αὐτῶν; scilicet τῶν πολιτευμάτων, administrationis majorum & nostræ.

ποταμοῦ κατέβαινον, ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. Νῦν δ' εἰς τοῦτο τὰ πράγματα καθέστηκεν, ὥστε οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. Καὶ περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων, αὐτῶν ἀκηκόατε τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει τὰ πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν, ὧν ἔπεμψεν, ἐδήλωσεν.

Ἔτι δὲ πρὸς τούτοις, ὑπὸ μὲν ἐκείνης τῆς εὐταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετὴν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ κινεῖν· τοὺς δ' εἰς τὴν χώραν εἰσβάλλοντας, ἅπαντας μαχόμενοι νικᾶν. Ἡμεῖς δὲ τοὐναντίον· ἀλλήλοις μὲν γὰρ κακὰ παρέχειν οὐδεμίαν ἡμέραν διαλείπομεν· τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήσαμεν, ὥστε οὐδ' εἰς ἐξετάσεις ἰέναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. Τὸ δὲ μέγιστον, τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ προσαιτῶν τοὺς ἐντυγχάνοντας τὴν πόλιν κατῄσχυνε. Νῦν δὲ πλείους εἰσὶν οἱ σπανιζόμενοι τῶν ἐχόντων. Οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν, εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν ὁπόθεν ἀεὶ τὴν παροῦσαν ἡμέραν δυνήσονται διαγαγεῖν.

Ἡγούμενος μὲν οὖν ἐγὼ ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι, καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως, ἀλλὰ

[l. 13 & 14.] Ἐξέτασις est recensio militum. Εἰς

ſed in ſummo otio ſe continerent. Nunc eò res redierunt, ut alteri oderint noſtram civitatem, alteri nos contemnant. Ac de Græcorum quidem odio ipſos duces audiviſtis: quo ſit autem in nos animo rex Perſarum, miſſis epiſtolis abundè declaravit.

Hùc etiam accedit quòd, dùm ille præclarus ordo in republicâ exiſteret, ità cives ad virtutem conformarentur, ut pacati inter ſe mutuò & quieti, omnes eos qui in Atticam feciſſent impetum, pugnando ſuperarent. Nos contrà nullum intermittimus diem quin alios alii laceſſamus; res verò militaris ità à nobis negligitur, ut nec militiæ dare nomina animus ſit, niſi acceptâ pecuniâ. Et, quod maximum eſt, nemo tunc civis, ob rerum neceſſariarum penuriam, ab obviis mendicans civitatem probro afficiebat: nunc plures ſunt qui egeant quàm qui rem habeant. Quibus profectò ignoſcendum eſt ſi rempublicam nihil omninò curent, ſed ſemper in hoc unum ſint intenti quibus rationibus urgentem quotidie famem depellere liceat.

Concluſio.

Ego itaque, quum nos putarem, ſi majores noſtros imitaremur, & his malis liberandos eſſe, nec noſtræ civitati tantùm, ſed univerſis etiam

---

ἐξετάσεις ἰέναι, ire in recenſiones.

καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην, καὶ τοὺς λόγους εἴρηκα τούτους. Ὑμεῖς δὲ ταῦτα πάντα λογισάμενοι, χειροτονεῖτε ὅ,τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.



Græcis, saluti futuros, hùc accessi dicturus, & hanc orationem habui. Vos autem, his omnibus consideratis, ea decernitote quæ è republicâ fore maximè videantur.



ANALYSIS ORATIONIS DE PACE.

PROPOSITUM.

Quum civitates Chio, Cos, Rhodus, & Byzantium, defecissent ab Athenis, sub quarum potestate erant, & bellum movissent dictum *bellum sociale*, permanente adhuc bello, Isocrates scripsit orationem ut Atheniensibus persuaderet pacem faciendam esse.

Divisio.

Oratio constat duabus partibus, nempè, faciendam esse pacem, & ineundas rationes quibus firma reddatur.

Exordium.

Exorditur orator exponendo quanti momenti sit res de quâ est dicturus, exprobrando Atheniensibus quòd eos solos oratores libenter audiant qui ipsorum cupiditatibus morem gerunt, & prædicendo se liberè & non dissimulanter locuturum.

Expositio argumenti, & divisio orationis; pacem faciendam esse, & firmiter faciendam.

Pars prior.

Prior pars breviùs absolvitur. Pax facienda est quæ mede-

bitur belli incommodis, & ex quâ multa existent commoda.

Altera pars.

Non solùm pax facienda est, sed rationes ineundæ sunt quibus conservetur. Hæc pars fusiùs & per plura conficitur.

I. Exordium quoddam quo Isocrates prænunciat se de rebus dicturum de quibus nullus adhuc ausus est dicere orator, & rem per plura confecturum.

II. Locus communis: plerosque homines non videre quid sibi verè utile sit. Atheniensium exemplum affertur.

III. Alter locus communis longior: justitiam solam verè quæstuosam esse.

IV. Impetuntur oratores qui populum Atheniensem in plurima delicta conjiciunt: de quibus delictis orator præfatur se liberè dicturum.

Invehitur in delicta;

1°. In ea quæ ad res bellicas & administrationem externam pertinent.

2°. In ea quæ spectant ad internam administrationem.

Objectio. Cur civitas Atheniensis, si talia delinquit, nullâ civitate opibus est inferior?

Responsio. Atheniensium hostes non meliùs quàm ipsi suis rebus consulunt.

Transitio à delictis ad eam rationem quâ possint emendari & præcaveri; nempè, omittendum esse Atheniensibus maris

imperium, quod est injustum, quod ab ipsis non potest acquiri, quod ipsis non est utile.

1°. Injustum est. Probatur ex iis quæ ipsi Athenienses conquesti sunt de Lacedæmoniis, & ex eâ reipublicæ formâ quam amplexi sunt.

2°. Acquiri non potest, scilicet ob præsentem pecuniæ inopiam.

3°. Non est utile. Antequam id probet orator, duriorem excusat loquendi modum.

Reditus ad rem. Probatur maris imperium non esse utile. Enumerantur omnia delicta & mala in quæ civitatem Atheniensem illud adduxit, & ostenditur qui fuerint Athenienses antequam illud obtinerent, & qui, postquam adepti sunt.

Idem maris imperium Lacedæmonios corrupit, & ingentibus afflixit cladibus.

Concluditur; aversandum esse imperium quod duas primarias civitates in tot ac tanta peccata & mala impulit.

Ignorantia & temeritas humana cùm in vitâ quotidianâ, tùm in appetitione principatûs & tyrannicæ autoritatis.

Maris imperium esse verè tyrannicum: fugiendam esse superbiam, & sapientiam colendam, præsertìm civitatibus.

Pravorum demagogorum reprehensio vehemens, & admonitio paulò fusior iis non esse auscultandum.

Peroratio. Ea indicantur per quæ civitas in optimum statum possit restitui.

Ex sapienti & moderatâ ratione secutura commoda.

Concludit totam orationem orator. Hortatur Athenienses ad imitandos Lacedæmoniorum reges, & æmulandam ipsorum felicitatem. Hortatur & juniores oratores ut idem argumentum retractent.

Videtur scripta fuisse oratio anno antè Christum 337, & Isocratis ætatis 79.



ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΛΟΓΟΥ

ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ,

ἀδήλου τοῦ γράψαντος.

Πεμφθεὶς ὁ Χάρης καταδουλώσασθαι τὴν Ἀμφίπολιν, αὐτονομουμένην κατ' ἐκεῖνον τὸν χρόνον, καὶ καθ' ἑαυτὴν γενομένην, ὡς τῶν Λακεδαιμονίων μὲν κακῶς διακειμένων μετὰ τὰ Λευκτρικὰ, καὶ τῶν Ἀθηναίων δὲ ἀσθενῶν ὄντων, οὗτος νομίζων εὐχερῶς αὐτὴν ὅτε δή ποτε λαβεῖν, καὶ μᾶλλον βουλόμενος τὴν ἀρχαίαν δύναμιν περιποιῆσαι τοῖς Ἀθηναίοις, ἐπεχείρησε Χίοις, καὶ Ῥοδίοις, καὶ τοῖς λοιποῖς συμμάχοις. Εἶτα ἐκεῖνοι ἀντέστησαν, καὶ ἡττήθη ὁ Χάρης οὕτως, ὥστε λοιπὸν αὐτὸν ἀπορεῖν τί δεῖ ποιῆσαι. Καὶ γὰρ εἰ ἀνεχώρησεν ἐξ αὐτῶν, καὶ ἦλθεν εἰς Ἀμφίπολιν, αὐτοὶ ἂν ἀμυνόμενοι ἤρχοντο εἰς τὴν Ἀττικήν. Ταῦτα δὲ οἱ Ἀθηναῖοι ἀκούσαντες, ᾔτησαν σπονδὰς, καὶ εὐθὺς οἱ Χῖοι καὶ Ῥόδιοι σὺν ἄλλοις συνέθεντο. Καὶ οὗτός ἐστιν ὁ συμμαχικὸς πόλεμος. Νῦν οὖν πρόκειται ἐκκλησία περὶ τοῦ καταθέσθαι τὸν πόλεμον, καὶ ἀνίσταται ὁ Ἰσοκράτης συμβουλεύων, ὡς δεῖ μὴ πολυπραγμονεῖν, ἀλλ' ἡσυχάζειν.

Καὶ μερίζει τὸν λόγον εἰς δύο· ἓν μὲν, τὸ καὶ τοὺς Χίους καὶ τοὺς ἄλλους ἐᾶσαι αὐτονόμους· ἓν δὲ, τὸ ἐᾶσαι τὴν ἡγεμονίαν τὴν κατὰ θάλατταν. Κατὰ τοῦτο δὲ τὸ μέρος λέγε-

(lineâ 5.) Ὅτι δή ποτε, intellige, *quovis tempore*, sicut interpretati sumus, vel *quandò vellet*.

ARGUMENTUM

ARGUMENTUM

ORATIONIS DE PACE,

incerto autore.

Missus Chares ad Amphipolim ſubigendam quæ tùm libera ſuique juris erat (quippè poſt cladem Leuctricam Lacedæmoniorum res erant afflictæ, & Athenienſium infirmæ), quum exiſtimaret illam urbem quovis tempore ſe facilè capturum, ac veteris potentiæ Athenienſibus reſtituendæ cupidior eſſet, Chios & Rhodios, ceterosque ſocios bello adortus, illis reſiſtentibus ità victus eſt, ut neſciret quid deindè conſilii caperet. Nam ſi illos omitteret, & peteret Amphipolim, ipſi Atticam invaſuri erant ad ulciſcendas injurias. Hæc quum audiviſſent Athenienſes, inducias petierunt, quas Chii & Rhodii ceterique dederunt ſtatìm. Et hoc bellum eſt quod dicitur *ſociale.* Quum igitur indictâ concione, de bello componendo deliberaretur, Iſocrates in medium progreſſus, ſuadet omittenda eſſe inquieta conſilia & otium amplectendum.

Orationem dividit in duas partes; quarum una agit ut Chiis ceterisque ſociis liceat ſui juris eſſe, in alterâ ut maris imperio abſtineant Athenienſes. Contrà poſteriorem hanc

(l. 15.) Καὶ ἀνίσταται ὁ Ἰσοκράτης .... Hæc ſunt contrà hiſtoriam; nam conſtat Iſocratem nunquam in publico concionatum fuiſſe.

ται Ἀριστείδης ἐπαφεῖναι τὸν ἀντιῤῥητικὸν τῆς εἰρήνης. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη. Κεφάλαιον δὲ τοῦ λόγου, τὸ συμφέρον. Ἡ δὲ στάσις, πραγματικὴ· συμβουλὴ γὰρ περὶ τῆς εἰρήνης.

Ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτοῦ ἰδίαν πρόσαγε, ὡς ἐν τῷ δὲ τῷ περὶ εἰρήνης Ἰσοκράτους ἡ κατασκευὴ ἰδία προσετέθη, ὅπου φησί· περὶ μεγάλων ἥκομεν· περὶ γὰρ πολέμου καὶ εἰρήνης. Κάλλιστον δὲ ἐν τούτοις καὶ τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπισημαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

ἌΛΛΗ ὙΠΌΘΕΣΙΣ

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασέως.

ΤΙΣ ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προτρέψαιτο, καθ' ἕκαστόν τε ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις ὅλας, τοῦ περὶ τῆς εἰρήνης λόγου; ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους, τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν· καὶ τῶν μὲν μικρῶν πόλεων ὥσπερανεὶ κτημάτων φείδεσθαι· τοὺς δὲ συμμάχους εὐνοίᾳ τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγ-

---

(l. 1.) Ἐπαφεῖναι propriè, *immisisse*, pro ἐκδεδωκέναι *edidisse*.

partem Ariſtides fertur edidiſſe orationem quâ huic *de pace* contradicit. Hoc eſt orationis argumentum. Hujus ſummâ ducitur ab utili. Eſt in genere deliberativo quum de pace ſuadendâ agatur.

Quòd ſi quandò communi exordio uti cogeris, peculiarem adhibeto tractationem, ut fecit Iſocrates in ſuâ *de pace* oratione. Tractatio enim peculiaris ab ipſo appoſita eſt, quum dicit, *de magnis rebus convenimus; nam de bello & pace.* Optima autem in his methodus eſt, ſi methodo utentes illud adſcribimus, *tametſi omnes hoc modo exordiri ſolent.*

ALIUD ARGUMENTUM

EJUSDEM ORATIONIS,

è Dionyſio Halicarnaſſeo.

QUÆNAM oratio magis ad colendam juſtitiam & pietatem, cùm ſingulos privatìm, tùm publicè totas civitates adhortari queat, quàm ea quæ de pace ſcripta eſt? In hâc enim Athenienſibus ſuadet orator ne aliena appetant, ſed præſentibus bonis contenti ſint; & ut parvis civitatibus tanquam ſuis fundis parcant, ac ſocios conentur in officio continere

---

(l. 5.) Rectè obſervat Volfius hanc concluſionem hujus argumenti ſubtilem & ſophiſticam affectationem redolere.

καις, μηδὲ ταῖς βίαις· τῶν δὲ προγόνων μιμεῖσθαι μὴ τοὺς πρὸ τῶν Δεκελεικῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν· ἀλλὰ τοὺς πρὸ τῶν Περσικῶν, οἳ καλοκαγαθίαν ἀσκοῦντες διετέλεσαν. Ἐπιδείκνυταί τε ὡς οὐχ αἱ πολλαὶ τριήρεις, οὐδ᾽ οἱ μετὰ βίας ἀρχόμενοι Ἕλληνες μεγάλην ποιοῦσι τὴν πόλιν· ἀλλ᾽ αἱ δίκαιαί τε προαιρέσεις, καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. Παρακαλεῖ τε τὴν τῶν Ἑλλήνων εὔνοιαν, οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμενος πρὸς εὐδαιμονίαν, καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν· διδάσκων, ὡς οὔτε πρὸς πλοῦτον, οὔτε πρὸς δόξαν, οὔθ᾽ ὅλως πρὸς εὐδαιμονίαν, οὐθὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη ταύτης· καὶ τοῖς μὴ ταῦτα ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερδαλέαν ἡγοῦνται, καὶ πρὸς τὸν βίον τὸν καθ᾽ ἡμέραν συμφέρουσαν· τὴν δὲ δικαιοσύνην ἀλυσιτελῆ, καὶ μᾶλλον ἑτέροις ἢ τοῖς ἔχουσιν ὠφέλιμον. Τούτων γὰρ οὐκ οἶδ᾽ εἴ τις ἂν βελτίους, ἢ ἀληθεστέρους, ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ, δύναιτο λόγους εἰπεῖν.

ἌΛΛΗ ὙΠΌΘΕΣΙΣ ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΛΌΓΟΥ,

ἐξ αὐτοῦ τοῦ Ἰσοκράτους, ἐν τῷ περὶ τῆς ἀντιδόσεως.

Ἀλλ᾽ ὅμως τούτων οὕτως ἐχόντων, φανήσονταί τινες τῶν εὑρεῖν μὲν οὐδὲν οὐδ᾽ εἰπεῖν ἄξιον λόγου δυναμένων, ἐπι-

benevolentiâ & beneficiis, non vi & necessitate, majoresque imitentur non eos qui antè bellum Decelicum civitatem propè everterunt, sed illos qui antè bella Persica virtutis studium habere non destiterunt. Ostendit non multitudine triremium, aut imperio in Græcos per vim exercendo, rempublicam augeri, sed justa potiùs abhibendo consilia & injuriâ læsis auxiliando. Hortatur ut civitati concilient benevolentiam Græcorum, quam censet plurimùm valere ad felicitatem, & ut bellicosi sint apparatu & rei militaris exercitatione, pacis verò studiosi dùm neminem injuriis afficiunt; quòd scilicet neque ad parandas opes, neque ad gloriam, nec denique ad felicitatem nihil omninò tantam vim conferat quantam virtus ejusque partes. Eos autem reprehendit qui aliter sentiunt, & existimant injustitiam quæstuosam esse & ad quotidianam vitam utilem, justitiam verò incommodam, & aliis conducibiliorem quàm ipsâ præditis. Equidem ignoro an quisquam orationes vel meliores, vel veriores, vel philosophiæ magis consentaneas, habere possit.

ALIUD ARGUMENTUM

EJUSDEM ORATIONIS,

ex ipsius Isocratis oratione de permutatione.

QUÆ quamvis ità sint, reperientur aliqui ex istis qui, dùm ipsi nihil possunt excogitare aut dicere quod audire sit

τιμᾷν δὲ καὶ βασκαίνειν τὰ τῶν ἄλλων μεμελετηκότων, οἳ χαριέντως μὲν εἰρῆσθαι ταῦτα φήσουσιν (τοῦτο γὰρ οὐ φθονήσουσιν εἰπεῖν), πολὺ μέντοι χρησιμωτέρους εἶναι τῶν λόγων καὶ κρείττους, τοὺς ἐπιπλήττοντας τοῖς νῦν ἁμαρτανομένοις, ἢ τοὺς τὰ πεπραγμένα πρότερον ἐπαινοῦντας· καὶ τοὺς περὶ ὧν δεῖ πράττειν συμβουλεύοντας, ἢ τοὺς τὰ παλαιὰ τῶν ἔργων διεξιόντας.

Ἵν' οὖν μηδὲ ταῦτ' ἔχωσιν εἰπεῖν, ἀφέμενος τοῦ βοηθεῖν τοῖς εἰρημένοις, πειράσομαι μέρος ἑτέρου λόγου τοσοῦτον, ὅσονπερ ἄρτι, διελθεῖν ὑμῖν, ἐν ᾧ φανήσομαι περὶ τούτων ἁπάντων πολλὴν ἐπιμέλειαν πεποιημένος. Ἔστι δὲ τὰ μὲν ἐν ἀρχῇ λεγόμενα, περὶ τῆς εἰρήνης τῆς πρὸς Χίους, καὶ Ῥοδίους, καὶ Βυζαντίους. Ἐπιδείξας δ' ὡς συμφέρει διαλύσασθαι τῇ πόλει τὸν πόλεμον, κατηγορῶ τῆς δυναστείας τῆς ἐν τοῖς Ἕλλησι, καὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἀποφαίνων αὐτὴν οὐδὲν διαφέρουσαν οὔτε ταῖς πράξεσιν, οὔτε τοῖς πάθεσιν τῶν μοναρχιῶν. Ἀναμιμνήσκω δὲ καὶ τὰ συμβάντα δι' αὐτὴν τῇ πόλει, καὶ Λακεδαιμονίοις, καὶ τοῖς ἄλλοις ἅπασι. Διαλεχθεὶς δὲ περὶ τούτων καὶ τὰς τῆς Ἑλλάδος συμφορὰς ὀδυράμενος, καὶ τῇ πόλει παραινέσας, ὡς χρὴ μὴ περιορᾷν αὐτὴν οὕτω πράττουσαν, ἐπὶ τελευτῆς, ἐπί τε τὴν δικαιοσύνην παρακαλῶ, καὶ τοῖς ἁμαρτανομένοις ἐπιπλήττω, καὶ περὶ τῶν μελλόντων συμβουλεύω.

(l. 3 & 4.) Τῶν λόγων refer non ad χρησιμωτέρους neque ad



operæ pretium, huic rei studuerunt ut ab aliis dicta cavillentur & exagitent: qui eleganter quidem hæc scripta esse fateantur (hoc enim mihi non invidebunt); verùm eas orationes dictitent esse longè utiliores, quæ ea quæ nunc pravè geruntur reprehendant, quàm quæ res olim gestas laudent; & eas quæ quid agendum suadeant, quàm quæ vetera facinora commemorent.

Ut igitur neque hæc possint objicere, omissâ defensione superiorum, tantam vobis alterius orationis partem recitare conabor, quanta modò recitata est: ex quâ me harum rerum omnium maximam curam habuisse constabit. Agitur autem in hujus orationis principio de pace faciendâ cum Chiis, Rhodiis & Byzantiis. Postquam verò ostendi è republicâ esse ut bellum deponatur, incuso dominatum in Græcos usurpatum, & damno maris imperium, ostendoque nihil differre à tyrannide, sive actiones sive clades spectemus quæ indè oriuntur. Commemoro etiam quid ex eodem civitati nostræ, quid Lacedæmoniis, quid aliis omnibus, contigerit. Postquam de his disserui, & deploravi Græciæ calamitates, & cives admonui ut tantis malis remedium aliquod invenire studeant, in fine ipsos ad colendam justitiam adhortor, & errata vitupero, & de futuris do consilium.

κρείττους, sed ad τούς. Τῶν λόγων τοὺς, i. e. τοὺς λόγους τούς.

(l. 13.) Oratio de pace addit ἐ Κώους.





ΠΕΡῚ ΕἸΡΉΝΗΣ

ΛΌΓΟΣ,

Ἢ ΣΥΜΜΑΧΙΚΌΣ.

ἍΠΑΝΤΕΣ μὲν εἰώθασιν, οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν. Οὐ μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοζε τοιαῦτα προειπεῖν, δοκεῖν μοι πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων πραγμάτων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. Ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον τῶν ἄλλων πράττειν. Τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν· ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δὲ οὐδὲ τὴν φωνὴν ἀνεχομένους. Καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε. Καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε πάντας τοὺς ἄλλους ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις



DE PACE ORATIO, VEL SOCIALIS.

EXORDIUM.

SOLENT omnes qui ad concionandum hùc accedunt, ea maxima esse dicere, & maximè digna quæ curet civitas, de quibus ipsi consilium sunt daturi. Verùm si de ullis aliis rebus talia præfari decet, mihi videtur etiam de præsentibus negotiis hinc sumendum esse exordium. Convenimus enim de bello & pace deliberaturi; quæ duæ res maximam vim habent in vitâ mortalium, & de quibus qui rectè consulunt, eos ceteris feliciores esse necessariò contingit. Horum igitur de quibus deliberamus magnitudo tanta est; vos autem video non studio pari eos omnes audire qui loquuntur, sed aliis attentam aurem præbere, aliorum ne vocem quidem tolerare. Id quod sanè non mirum accidit. Siquidem superiori etiam tempore soliti fuistis ceteros omnes ejicere, præter eos qui vestris cupidi-

[lineâ 12.] Post μέγεθος subaudi τούτων.

ἐπιθυμίαις. Ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειεν· ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν γνώμην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς· ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων, καὶ χαιρόντων τοῖς τοιούτοις, αὐτοὶ φαίνεσθε μᾶλλον τούτοις πιστεύοντες, ἢ τοῖς ἄλλοις πολίταις. Καὶ γὰρ αὐτοὶ πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν συνερρύηκεν. Ἅπασι γάρ ἐστι φανερὸν, ὅτι μᾶλλον ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον, ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. Οἱ μὲν γὰρ, προσδοκίαν ἐμποιοῦσιν, ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν καὶ πρότερον ἐτυγχάνομεν ἔχοντες. Οἱ δ' οὐδὲν τοιοῦτο προτείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ, καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν· ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. Οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων, καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας

[l. 10.] Φιλοσοφεῖν idem ac πονεῖσθαι juxta Harpocrationem, laborando exquirere: φιλοσοφεῖν ὅπως, labora-

tatibus obſequuntur. Quâ de causâ jure aliquis vos reprehenderit, quòd, quum ſciatis multas & magnas familias ab adulatoribus ſubverſas eſſe, & in privatis rebus eos oderitis qui hoc animo ſunt, in republicâ ergà eoſdem non eodem modo ſitis animati; ſed quum reprehendatis iſtos qui viros ejuſmodi admittunt, eorumque conſuetudine delectantur, vos ipſos appareat plus illis credere quàm reliquis civibus. Etenim ipſi effeciſtis ut oratores non ea meditentur & exquirant quæ reipublicæ ſint profutura, ſed ut orationes habeant vobis placituras: ad quas etiam nunc habendas iſtorum multa turba confluxit. Omnibus quippè manifeſtum eſt vos iis ſtudere magis qui ad bellum adhortentur, quàm his qui pacem ſuadeant. Nam illi quidem ſpem faciunt nos eas poſſeſſiones recepturos quæ ſunt in urbibus Græcis, & eam potentiam recuperaturos quam priùs tenuimus: hi verò nihil ejuſmodi oſtentant, ſed dicunt quòd quietos eſſe oporteat, nec res magnas præter jus appetere, at iis contentos eſſe quæ adſunt; quod pleriſque hominibus omnium factu difficillimum eſt. Sic enim à ſpe plerique pendemus, & inſatiabili cupiditate

---

re, ſtudere ut.

[l. 24.] Pro πλεμμελείας quod habet vulg. conjecerat Voſſius legendum eſſe πλεονεξίας; hanc conjecturam vidi confirmatam in cod. K.

ἀπλήστως ἔχομεν, ὥστ' οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους, μένειν ἐπὶ τούτοις ἐθέλουσιν· ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι, καὶ περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. Ὅπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις. Λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλ' ὡς τῶν θεῶν ἀκηκοότες, ὅτι καὶ κατορθώσομεν ἅπαντα, καὶ ῥᾳδίως τῶν ἐχθρῶν ἐπικρατήσομεν.

Χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι, μὴ βουλεύεσθαι (περίεργον γάρ), ἀλλὰ πράττειν ὡς ἐγνώκασι· περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ,τι ἂν τύχῃ δὲ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. Ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. Συνεληλύθατε μὲν γάρ, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον· ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστὶν, οὐκ ἐθέλετε ἀκούειν, πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. Καί τοι προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώ-

---

[l. 12.] Vulg. ὧν, dedi ὡς quod habent etiam Codd. K,

eorum quæ videntur lucra esse incendimur, ut ne ii quidem qui maximas possident divitias, iis contenti manere velint; sed dùm semper majora habere cupiunt, etiam de his quæ habent periclitentur. Et quidem metuendum est ne in similem nos quoque amentiam incidamus. Nimis enim mihi quidam ad bellum videntur incitati, non quasi audirent consultores nequam, sed quasi diis ipsis docentibus præscirent nos omnia feliciter acturos esse, & de hostibus facilè triumphaturos.

Oportet autem viros egregiè cordatos, non de iis deliberare quæ sciunt (hoc enim fuerit supervacaneum), sed ea agere quæ decreverint: eorum verò de quibus consultant, eventum se scire non arbitrari, sed quasi conjecturâ utentes, & hoc sit eventurum quodcumque sorti libuerit, ità de rebus sentire. Quorum vos neutrum facitis, sed estis affecti modo quàm maximè perturbato. Convenistis enim quasi ex omnibus quæ dicuntur id elegi debeat quod sit optimum; tanquam verò clarè noveritis quid faciendum sit, nonnisi eos vultis audire qui ad gratiam concionantur. Atqui decebat vos, si publicam spectaretis utilitatem, ad eos potiùs animum attendere qui voluntatibus vestris ad-

---

N, X. Med. = Cod. K post ὡς habet ἂν quod non approbo.
[l. 24.] Vulg. ἡμέτεραις, legi ὑμετέραις cum Battie.

μους προσέχειν τὸν νοῦν, ἢ τοῖς καταχαριζομένοις· εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων, οἱ μὲν ἃ βούλεσθε λέγοντες, ῥᾳδίως ἐξαπατᾷν δύνανται. Τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾷν ὑμᾶς τὸ βέλτιστον. Ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων, οὐδὲν ἂν πάθοιτε τοιοῦτον. Οὐ γάρ ἐστιν ὅπως ἂν μεταπείσαι δυνηθεῖεν ὑμᾶς μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες. Χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενημένων, ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δὲ αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παρέχοιεν;

Θαυμάζω δὲ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης, οὐδὲν πώποτε κακὸν ἐπάθομεν· διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον ἀναιρουμένους, πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν. Ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν, μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν, καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι, καὶ βοηθεῖν καὶ πολεμεῖν οἷς ἂν τύ-

[l. 11 & 12.] Hîc forsan legendum, εἰ μὴ τῶν μὲν λόγων τοὺς ἐναντιουμένους παραλλήλους ἐξετάζοιεν, nisi di-

versantur, quàm ad eos qui assentantur: quum sciatis quòd inter hos qui hùc accedunt concionaturi, illi quidem qui ea dicunt quæ vultis, vos facilè possint decipere (quod enim ad gratiam dictum est, oculis vestris ne quod optimum est videant, tenebras offundit); ab iis verò qui non ad voluptatem consilia dant, nihil tale vobis evenerit. Non potest enim fieri ut vos abducant à sententiâ, nisi quid expediat evidentissimè demonstrârint. Præterea quî poterunt homines rectè vel de præteritis judicare, vel de futuris deliberare, nisi conferant oratorum inter se adversantium rationes, & æquos utrisque auditores se præbeant?

Miror equidem neque senes ampliùs meminisse, neque juniores è quoquam audivisse, quòd per eos qui pacem retinendam monuerunt, nihil unquam nobis mali acciderit, per eos autem qui bella temerè suscipiunt, multis jam & magnis cladibus inciderimus. Quas nos minimè revocamus in memoriam; sed de futuro prorsùs securi, parati sumus & implere triremes, & tributa conferre, & auxilia mittere, & bella inferre quibuslibet, quasi

---

catur τῶν ἐναντιουμένων referri ad oratores inter se adversantes, juxtà eam quam dedi interpretationem.

[l. 21 & 22.] Μηδὲν ε. τ. π. α. πράττοντες, nihil facientes nobismetipsis in anteriora, i. e. juxtà me, de futuro securi, non solliciti.

χρῶμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. Τούτων δ' αἴτιόν ἐστιν, ὅτι προσῆκεν ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν, ὥσπερ ὑπὲρ τῶν ἰδίων, σπουδάζειν· ὑμεῖς δ' οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν· ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν· ὅταν δ' ὑπὲρ τῶν τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων ἐπαινεῖτε· καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων, καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων, καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. Ὥστε ἄξιον θαυμάζειν, εἴτις ἐλπίζει τὴν πόλιν, τοιούτοις συμβούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν.

Ἐγὼ δ' οἶδα μὲν ὅτι προσάντες ἐστὶν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι, δημοκρατίας οὔσης, οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις, καὶ μηδὲν ὑμῶν φροντίζουσιν· ἐν δὲ τῷ θεάτρῳ, τοῖς κωμῳδοδιδασκάλοις. Ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα, τοσαύτην ἔχετε χάριν,

[l. 2.] Post προσῆκεν velim ego addi μὲν ob inse-

alienæ

alienæ urbis periculo dimicemus. Horum porrò causa hæc est, quòd dùm publicam rem non minori curæ vobis esse decuit quàm privatam, vos ergà illam non eodem estis animo: sed quum de privatis rebus deliberatis, in consilium adhibetis eos qui vobismetipsis prudentiores sunt; quum autem de republicâ convenistis, talibus quidem diffiditis & invidetis, eorum verò qui suggestum conscendunt improbissimos laudatis, & populariores esse ducitis ebrios quàm sobrios, amentes quàm benè sanos, & eos qui pecunias publicas inter se dividunt quàm eos qui de suâ re familiari munera publica vobis obeunt. Quare mirum est quemquam esse qui speret urbem, dùm talibus utitur consultoribus, in melius unquam provehendam fore.

Ego verò, quàm arduum sit vestris sententiis adversari haud ignoro; & quòd, quum in democratiâ simus, non concedatur loquendi libertas, nisi hîc stolidissimis, iisque qui vos nequaquam curant, in theatro autem comœdiarum actoribus. Id proindè omnium acerbissimum est, vos iis qui delicta urbis nostræ foras ad alios Græcos efferunt, tantam habere gratiam, quantam ne iis quidem qui de vobis bene merentur;

quens ὑμεῖς δ'. Cod. I. habet προσῆκον.

ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι· πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διάκεισθε δυσκόλως, ὥσπερ τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. Ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. Παρελήλυθα γὰρ, οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ᾽ ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων· πρῶτον μὲν, περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν· ἔπειτα καὶ περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων. Οὐδὲν γὰρ ὄφελος ἔσται τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα.

Φημὶ δ᾽ οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην, μὴ μόνον πρὸς Χίους, καὶ Ῥοδίους, καὶ Βυζαντίους, καὶ Κῴους, ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους· καὶ χρῆσθαι ταῖς συνθήκαις, μὴ ταύταις αἷς νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι, καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι, καὶ τὴν αὑτῶν

[l. 6.] Χειροτονίαν suffragia, i. e. magistratus qui dabantur per suffragia populi, διὰ χειροτονίαν.

[l. 8.] Πρυτάνεις, præsides senatûs quingentorum, qui ad populum referebant id de quo deliberandum esset.

[l. 10.] Vulg. ἐστι, dedi ἔσται cum edit. Bas. & Battie.

his autem qui objurgant & monent, itâ infensos & iniquos esse, ut iis essetis qui civitati malum aliquod apportant. Attamen, licet hæc itâ sint, non ab instituto meo recedam. Prodii enim hùc non vobis gratificaturus, neque suffragia vestra ambiturus, sed ea declaraturus quæ sentio, primùm de iis de quibus Prytanes retulerunt, deindè & de ceteris reipublicæ negotiis. Nec enim ulla erit decretæ pacis utilitas, nisi de reliquis etiam rebus rectè consuluerimus.

Expositio argumenti, & divisio orationis; pacem faciendam esse, & firmiter faciendam.

Pacem igitur faciendam esse censeo, non solùm cum Chiis, & Rhodiis, & Byzantiis, & Cois, verùm & cum universis hominibus; & pactionibus utendum non his quas nunc quidam scripserunt, sed illis quæ factæ sunt cum rege Persarum & Lacedæmoniis, quæ jubent Græcos sui juris esse, & præsidia ex alienis urbibus deduci, & suam regio-

[l. 14 & 15.] Καὶ Κώους desunt in Ald. Med. & cod. X. Κώους etiam omittit oratio de permutatione ubi analysis datur orationis hujus socialis.

[l. 17 & 18.] *Γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους.* Agitur hîc de pace ab Antalcidâ Lacedæmonio factâ cùm rege Persarum, quæ Græcis quidem parùm gloriosa fuit, sed paci servandæ utilis.

ἔχειν ἑκάστους. Τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμφερούσας. Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ᾽ ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς, καὶ Πλαταιὰς, καὶ τὰς ἄλλας πόλεις, ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δὲ ἔξιμεν, μηδεμιᾶς ἀνάγκης οὔσης, ἐξ ὧν τυγχάνομεν ἔχοντες. Ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ἂν ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων, καὶ τῶν τὰς ἀλλοτρίας πόλεις κατεχόντων βίᾳ, καὶ μὴ λογιζομένων τὰς συμφορὰς, τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας. Ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειράσομαι διδάσκειν ὑμᾶς.

Περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκεψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθείημεν ἡμῖν. Ἢν γὰρ καλῶς ταῦτα ὁρισώμεθα, καὶ συνεχόντως, πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες, ἄμεινον βουλευσόμεθα καὶ περὶ τῶν ἄλλων.

Ἆρ᾽ οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφαλῶς οἰκοῖμεν, καὶ τὰ πρὸς τὸν βίον εὐπορώτεροι γιγνοίμεθα, καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖμεν; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι τούτων ὑπαρ-

nem singulos tenere. His enim neque justiores reperiemus, nec civitati nostræ utiliores. Quòd si hîc dicendi finem fecero, scio me visum iri rempublicam imminuere; si Thebani quidem Thespias & Platæas tenuerint, ceterasque urbes quas contrà jusjurandum occupârunt; nos autem, nullâ coacti necessitate, ex iis quas possidemus exierimus. Sed si me ad finem usque attento animo audieritis, summæ, ut opinor, amentiæ & insaniæ eos condemnabitis qui injustitiam lucrum esse putant, quique alienas urbes vi tenent, nec animadvertunt calamitates quæ ex ejusmodi factis oriuntur. Et hæc sunt quæ per totam orationem vobis ostendere conabor.

PARS PRIOR.

Ac primùm de pace disputemus, & dispiciamus quidnam illud sit quod in præsentiâ cuperemus nobis evenire. Quo rectè prudenterque constituto, in hunc quasi terminum intuentes, de aliis quoque meliùs consultabimus.

An verò nobis hoc non sufficeret, si & in urbe securè habitaremus, & iis rebus quæ ad vitam necessariæ sunt essemus instructiores, & maximâ tùm inter nos concordiâ, tùm apud ceteros Græcos existimatione. Ego certè arbitror, si hæc con-

ξάντων, τελέως τὴν πόλιν πάλιν εὐδαιμονήσειν. Ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκε· καὶ γάρ τοι πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε, καὶ πάντα τρόπον τεταλαιπώρηκεν ἡμᾶς. Ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν, οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων, καὶ κινδύνων, καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους κατέστημεν· καθ' ἑκάστην δὲ τὴν ἡμέραν εἰς εὐπορίαν ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν, καὶ τῶν τριηραρχιῶν, καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς δὲ γεωργοῦντες, καὶ τὴν θάλατταν πλέοντες, καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦντες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν· ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν δὲ γιγνομένην ἐμπόρων, καὶ ξένων, καὶ μετοίκων, ὧν νῦν ἔρημος καθέστηκε. Τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βεβιασμένους, ἀλλὰ πεπεισμένους· οὐδ' ἐν μὲν ταῖς ἀσφαλείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεξομένους, ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους· ἀλλ' οὕτω διακειμένους, ὥσπερ χρὴ τοὺς ἀληθῶς συμμάχους καὶ φίλους ὄντας. Πρὸς δὲ

rigerint, urbem nostram denuò fore felicissimam. At bellum prædictis omnibus bonis nos spoliavit: pauperiores quippè nos effecit, & pericula multa adire coegit, & apud Græcos in odium adduxit, omnibus deniquè modis afflixit. Si verò pacem fecerimus, & nosmet tales præstiterimus, quales ut simus præcipiunt communia fœdera, cum multâ securitate in urbe habitabimus, liberati bellis & periculis, & tumultu nunc inter nos excitato; opibus autem in dies augebimur, levati tributis, trierarchiis, aliisque belli muneribus, agros securè colentes, navigantes mare, & alia negotia tractantes quæ nunc propter bellum neglecta jacent. Urbem verò videbimus duplò plures quàm nunc reditus recipere, plenam fieri mercatoribus, hospitibus & inquilinis quibus hodie deserta est. Jam quod maximum est, socios habebimus omnes homines, non coactos, sed persuasos; nec qui in secundis quidem rebus propter potentiam nostram nos observabunt, in periculis autem deserent, sed qui eo erunt ergà nos animo, quo oportet esse eos qui verè socii & amici sunt. Ad hæc, quæ nunc bello & magnis

---

[l. 20.] Ξένοι dicebantur peregrini qui urbem invisebant, in eâ non permansuri. Μετοίκοι, peregrini qui in urbem migrârant, in eâ habitaturi.

τούτοις, ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου, καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥαδίως κομιούμεθα. Μὴ γὰρ οἴεσθε μήτε Κερσοβλέπτην ὑπὲρ Χεῤῥονήσου, μήτε Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἡμῖν πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. Νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς αὐτῶν δυναστείαις· ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας οἷς ἂν ἔχομεν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγομένους. Ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον, καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς αὐτῶν προσδώσουσι. Λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλεως, ἀσφαλῶς ἔχειν τὰς αὐτῶν βασιλείας. Καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται τοσαύτην ἀποτέμνεσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς ἄφθονον ἔχειν, ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων, καὶ δι' ἀπορίαν πλανωμένοις, ἱκανὸν δύνασθαι βίον παρασχεῖν. Ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος, ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ φυγάς, οἰκίσαι πόλεις οἷοί τε γεγόνασιν, ἦπου βουληθέντες ἡμεῖς πολλοὺς ἂν τόπους τοιούτους δυνηθείημεν κατασχεῖν. Χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας, τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον ἢ πολέμου καὶ στρατοπέ-

[l. 9.] Pro ἔχομεν habet Ald. ἔχωμεν, Med. &

impensis non possumus recuperare, ea per legatos facillimè recipiemus. Nec enim putetis vel Cersobleptem propter Chersonesum, vel Philippum de Amphipoli, bellum nobis esse facturos, quum nihil alienorum nos viderint concupiscere. Nam nunc quidem, dùm iis quæ possidemus non contentos, plura semper appetere intelligunt, non injuriâ civitatem nostram reformidant, & suis regnis vicinam esse nolunt. Si verò mores mutemus, & meliorem famam consequamur, non tantùm nostra sibi non vindicabunt, sed & de suo nobis aliquid largientur. Utile enim illis erit, civitatis nostræ potentiam colentibus, suis imperiis securè potiri. Quinetiam Thraciæ tantam partem nobis licebit abscindere, ut non nobis solùm contingat rerum omnium abundantia, sed egentibus quoque Græcis, & ob inopiam vagantibus, sufficiens victus suppeditetur. Nam quum Athenodorus & Callistratus, alter homo privatus, alter etiam exul, urbes condere potuerint, quantò nos magis, modò velimus, multa talia loca occupabimus? Eos porrò decet qui Græciæ principatum sibi vindicant, talibus operibus multò magis præesse, quàm bella

---

Battie habent ἔχοιμεν.

[l. 17.] Ἄφθονον refer ad βίον quod sequitur.

τοῦ ξενικοῦ. Ὧν νῦν ἡμεῖς ἐπιθυμοῦντες τυγχάνομεν.

Περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ ταῦθ' ἱκανὰ, καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις. Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην, ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως ἄξομεν αὐτὴν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς· μηδ' ἀναβολὴν, ἀλλ' ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων. Οὐδὲν δὲ τούτων οἷόντ' ἐστὶ γενέσθαι πρότερον πρὶν ἂν πεισθῆτε, τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης, τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. Περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ὑμῖν ἐτόλμησεν· ἐγὼ δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς. Ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ' οὐκ ἐν οἷς ἐτυγχάνομεν πράττοντες. Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν, καὶ τὰς

[l. 3.] Οἱ πρέσβεις, incertum eſt de quibus hîc legatis orator loquatur; an de legatis aliundè miſſis Athenas, vel de legatis Athenienſibus qui redierant undè miſſi fuere.

conflare & mercenarium exercitum alere; quæ nos etiam nunc appetimus.

ALTERA PARS.

I. Ac de his quæ retulerunt legati, & hæc sufficiunt, & multa fortasse aliquis his adjunxerit. Sic autem censeo non tantùm decretâ pace è concione abeundum, sed initâ etiam ratione quâ eam conservemus; neque committendum, quod soliti sumus, ut non multò post iisdem tumultibus agitemur, aut malis quæ nunc urgent moram duntaxat aliquam, & non remedium præsens inveniamus. Nihil autem horum fieri poterit, priusquam persuasi eritis, tranquillitatem inquietis consiliis utiliorem esse & magis quæstuosam, justitiam verò injustitiâ, suarum rerum curam appetitione alienarum. De quibus oratorum quidem nemo unquam apud vos verba facere ausus fuit; ego autem, orationis meæ partem maximam de his ipsis habiturus sum. Video enim felicitatem his inesse, non iis quæ nunc agimus. Atqui necesse est ut is qui præter solita quid dicere aggreditur, & à senten-

---

[l. 7.] Vulg. βȣλευσομένȣς, dedi βȣλευσαμένȣς cum edit. Bas. & Battie: habet etiam βȣλευσαμένους oratio de permutatione ubi hæc eadem repetuntur.

[l. 21.] Vulg. ἀνάγκη γὰρ, lego cum Battie ἀνάγκη δὲ. Ità quoque suprà dicta oratio.

ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον, πολλῶν πραγμάτων ἅψασθαι, καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι· καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ' ἐπαινέσαι, περὶ δὲ τῶν συμβουλεῦσαι. Μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν.

Ἔχει γὰρ οὕτως· ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπιθυμεῖν τοῦ συμφέροντος, καὶ τοῦ πλέον ἔχειν τῶν ἄλλων· οὐκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας, ἀλλὰ ταῖς δόξαις διαφέρειν ἀλλήλων. Οἱ μὲν γὰρ ἔχουσιν ἐπιεικεῖς, καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας· οἱ δ', ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας. Ὅπερ καὶ τῇ πόλει συμβέβηκεν. Ἡμεῖς γὰρ οἰόμεθα μὲν, ἢν τὴν θάλασσαν πλέωμεν πολλαῖς τριήρεσι, καὶ βιαζώμεθα τὰς πόλεις συντάξεις διδόναι, καὶ συνέδρους ἐνθάδε πέμπειν, διαπράξασθαί τι τῶν δεόντων. Πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀληθείας· ὧν μὲν γὰρ ἠλπίζομεν, οὐδὲν ἀποβέβηκεν. Ἔχθραι δ' ἡμῖν ἐξ αὐτῶν, καὶ πόλεμοι, καὶ δαπάναι πολλαὶ γεγόνασιν. Εἰκότως· καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν· ἐκ δὲ τοῦ δικαίαν τὴν

[l. 12 & seq.] Ad ἐπιεικεῖς, δυναμένας, διαμαρ-

tiâ vos ſtudet deducere, multas res attingat, & per longiora argumenta ſermones faciat, & alia quidem revocet in memoriam, alia verò accuſet, alia laudet, de aliis det conſilium. Vix enim quis per omnia hæc, ad meliorem mentem vos adducere potuerit.

II. Nam ſic ſe res habet. Mihi quidem videntur omnes utilitatem ſuam expetere, & ut plus ipſi quàm ceteri homines habeant, at neſcire quibus rebus ad hæc ducantur, ſed ſententiis inter ſe differre. Alii enim rectas habent, & quæ poſſint ad id quod utile eſt collimare; alii verò eas quæ quàm maximè ab utili aberrant: id quod etiam noſtræ civitati uſuvenit. Ità quippè arbitramur, ſi multis triremibus mare teneamus, & urbes cogamus tributa pendere, atque hùc mittere aſſeſſores, nos aliquod feciſſe operæ pretium; longè autem à veritate aberravimus. Adeò enim eorum quæ ſperabamus nihil accidit, ut è cóntra inimicitiæ, & bella, & multi ſumptus ex his orti ſint. Neque verò id mirum eſt, quum priùs etiam per inquieta hujuſmodi conſilia in extrema diſcrimina fuerimus conjecti. Dùm

---

ταγὲσας, ſubaudi δόξας.

[l. 17 & 18.] Συνέδροι aſſeſſores quos urbes ſociæ mittere cogebantur, ut deliberationibus de re communi intereſſent.

πόλιν παρέχειν, καὶ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρ᾽ ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν· ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῆ πολὺν ἤδη χρόνον καταφρονοῦμεν.

Εἰς τοῦτο γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ᾽ ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ᾽ ἡμέραν συμφέρουσαν· τὴν δὲ δικαιοσύνην, εὐδόκιμον μὲν, ἀλυσιτελῆ δὲ, καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτήν· κακῶς εἰδότες ὡς οὔτε πρὸς χρηματισμὸν, οὔτε πρὸς δόξαν, οὔτε πρὸς ἃ δεῖ πράττειν, οὔθ᾽ ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσηνπερ ἀρετὴ, καὶ τὰ μέρη ταύτης. Τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ὠφελείας ὧν δεόμενοι τυγχάνομεν· ὥσθ᾽ οἱ τῆς ἑαυτῶν διανοίας ὀλιγωροῦντες, λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον, καὶ τοῦ βέλτιον τῶν ἄλλων πράττειν ὀλιγωροῦντες. Θαυμάζω δ᾽ εἴ τις οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦντας, καὶ καρτερεῖν, καὶ μένειν ἐπὶ τούτοις ἐθέλοντας, ἔλαττον ἕξειν τῶν πονηρῶν, ἀλλ᾽ οὐχ ἡγουμένους καὶ παρὰ

[l. 11 & 12.] Κακῶς εἰδότες, resolve, κακῶς εἰδό-

verò justitiam publicè coleremus, dùm opem ferremus oppressis, dùm nihil alienum concupisceremus, Græci principatum nobis ultrò detulerunt: quos nunc sine ratione & inconsideratè nimis longo jam tempore contemnimus.

III. Quidam autem eò dementiæ venerunt, ut existiment injustitiam probrosam quidem esse, sed quæstuosam, & in vitâ quotidianâ utilem; justitiam verò laudabilem quidem, at inutilem esse, aliisque magis prodesse posse quàm ipsâ præditis. Verùm isti non intelligunt quòd, neque ad parandas opes, neque ad gloriam consequendam, neque ad rem benè gerendam, nec denique ad felicitatem, nihil omninò tantam vim conferat, quantam virtus ejusque partes. Eorum enim bonorum ope quæ habemus in animo, ea etiam paramus commoda quibus indigemus. Quare qui suam mentem negligunt, ii non animadvertunt se simul negligere quomodo & melius sentiant & feliciùs vivant quàm ceteri. Atque adeò miror esse qui arbitretur eos qui pietatem & justitiam exercent, quique volunt perseverare in iis & manere firmiter, deteriore conditione fore quàm improbos, nec in majore

---

τες, καὶ οὐκ εἰδότες ὡς....

[l. 15 & 16.] Hîc patet quod videbimus etiam in Panegyrico, virtutem à Græcis in plures partes dividi solere, quarum singulæ virtutes erant una pars.

θεοῖς, καὶ παρὰ ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων. Ἐγὼ μὲν γὰρ πέπεισμαι τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν· τοὺς δ' ἄλλους, ὧν οὐ βέλτιόν ἐστιν. Ὁρῶ μὲν γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας, καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων, μέγιστον ἀγαθὸν εἶναι νομίζοντας, ὅμοια πάσχοντας τοῖς δελεαζομένοις τῶν ζώων· καὶ κατ' ἀρχὰς μὲν ἀπολαύοντας ὧν ἂν λάβωσιν, ὀλίγῳ δ' ὕστερον ἐν τοῖς μεγίστοις κακοῖς ὄντας· τοὺς δὲ μετ' εὐσεβείας καὶ δικαιοσύνης ζῶντας, ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφαλῶς διάγοντας, καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχοντας. Καὶ ταῦτ' εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, ἀλλὰ τό γε ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίνεται τὸν τρόπον. Χρὴ δὲ τοὺς εὖ φρονοῦντας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφελοῦν τοῦτο φαίνεσθαι προαιρουμένους. Πάντων δ' ἀλογώτατον πεπόνθασιν ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον, τὴν δικαιοσύνην τῆς ἀδικίας· χεῖρον δ' οἴονται βιώσεσθαι τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν προαιρουμένων.

Ἐβουλόμην δ' ἂν, ὥσπερ πρόχειρόν ἐστιν

[3 & 4.] Supple, τοὺς δὲ ἄλλους πλεονεκτεῖν ὧν οὐ βέλτιόν ἐστι πλεονεκτεῖν. Oratio de perm. habet τοὺς δ' ἄλλους

quàm

quàm alios & deorum & hominum gratiâ futuros. Ego verò persuasus sum hos solos iis rebus abundare quas habere melius est, alios autem iis quibus carere est satius. Nam qui injustitiam pluris faciunt, & summum bonum in eo collocant ut alienis opibus potiantur, eos video eadem pati quæ feræ inescatæ, ac initio quidem his quæ arripuerint cum voluptate frui, sed paulò post in maximis esse malis; at eos qui cum pietate & justitiâ vivunt, & in præsenti tempore tutò degere, & in ævum omne reliquum spes habere jucundiores. Et hæc si non in omnibus ità soleant evenire, at plerumque hoc modo fiunt. Est autem cordatorum hominum, quoniam quid profuturum sit non semper perspicimus, id quod frequentiùs prodest palàm amplecti. Omnium verò absurdissima opinantur, qui, quum censeant justitiam pulchrius esse vitæ studium & diis acceptius injustitiâ, existimant tamen eos infeliciùs vitam acturos qui illâ utuntur, quàm qui improbitatem susceperunt.

IV. Vellem ego ut, quàm in promptu est virtu-

οὐδὲ γινώσκειν οὐδὲν ὧν βέλτιόν ἐστιν.

[l. 10.] Pro πᾶσι in vulg. dedi παροῦσι, quod habent Codd. H, I, M, N, & orat. de perm.

[l. 17.] Mihi videtur vel τοῦτο recidendum, vel legendum ὃ πολλάκις ὠφελεῖ τοῦτο. . . .

ἐπαινέσαι τὴν ἀρετήν, οὕτω καὶ ῥᾷον εἴη πεῖσαι τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. Διεφθάρμεθα γὰρ πολὺν ἤδη χρόνον ὑπὸ ἀνθρώπων οὐδὲν ἀλλ᾽ ἢ φενακίζειν δυναμένων. Οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονήκασιν, ὥσθ᾽ ὅταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες, λέγειν τολμῶσιν ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους, μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν.

Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων ὁμοίους κελεύουσι γενέσθαι· πότερον τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν. Εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ᾽ ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν· εἰ δὲ τοῖς ἐν Μαραθῶνι νικήσασι, καὶ τοῖς πρὸ αὐτῶν γεγενημένοις, πῶς οὐχ ἁπάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πεπολιτευμένους ἐπαινοῦντες, τἀναντία πράττειν ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ᾽ ἐξαμαρτάνειν περὶ ὧν καὶ ἀπορῶ τί ποιήσω; Πότερα χρήσωμαι ταῖς ἀληθείαις, ὥσπερ καὶ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν; Δοκεῖ γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ αὐ-

tem laudare, tàm facile esset auditoribus persuadere ut ipsam colerent: nunc autem metuo ne frustrà hæc dicam. Corrupti enim sumus jam longo tempore ab hominibus qui nihil aliud possunt quàm decipere; qui usque adeò populum contempserunt, ut quandò velint bellum aliquibus inferre, ipsi quum acceperint largitiones, majores esse imitandos dicere audeant, neque committendum ut ludibrio simus aliis, aut ullis mare pateat qui vobis pendere tributa nolint.

Libenter igitur eos interrogarem, quorum superioris ætatis hominum nos similes esse jubeant: illorumne qui circùm bella Persica fuerunt, an istorum qui ante obsidionem Decelicam rempublicam gesserunt? Quod si horum nos similes esse jubent, nihil suadent aliud quàm ut denuò periculum excidii adeamus. Sin illorum qui apud Marathonem vicerunt, eorumque qui antè illos fuerunt, quomodò non sint omnium impudentissimi, si, dùm eos qui tùm rempublicam gesserunt laudant, iis contraria ut agamus nosmet hortentur, & ut ea delinquamus, de quibus & ego dubito quid faciam? Utrùm veritate utar, quemadmodùm in ceteris consuevi; an taceam, vestras inimicitias veritus? Mihi verò videtur esse melius ut de iis

---

[l. 10.] Ad πλέοντας sub. περιορᾶν.

τῶν. Ὁρῶ δ' ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας, ἢ πρὸς τοὺς αἰτίους τῶν κακῶν γεγενημένους. Οὐ μὴν ἀλλ' αἰσχυνθείην ἂν εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ δόξης, ἢ τῆς κοινῆς σωτηρίας. Ἐμὸν οὖν ἔργον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους· ὑμᾶς δὲ χρή, πρῶτον μὲν τοῦτο γινώσκειν, ὅτι τῶν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται· ταῖς δὲ ψυχαῖς ταῖς νοσούσαις, καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν, οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν· ἔπειθ' ὅτι καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν· τοὺς δὲ λόγους ἀποδοκιμάζειν, πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ' ὠφελῆσαι τοὺς ἀκούοντας.

Τούτου δ' ἕνεκα ταῦτα προεῖπον ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους πρὸς ὑμᾶς. Τίς γὰρ ἄλλοθεν ἐπελθών, καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ

eloquar. Atqui video vos iis ſolere graviùs iraſci qui veſtra delicta reprehendunt, quàm iis qui veſtrorum malorum ſunt autores: ſed me puderet ſi viſus fuero meæ famæ potiùs quàm publicæ ſaluti providere. Ut igitur & meum & ceterorum qui rempublicam curant officium eſt ea dicere non quæ auditu jucundiſſima, ſed quæ utiliſſima factu, ſunt: ſic vos contrà hoc primum ſcire oportet, quum morborum corporis multæ & variæ curationes ſint à medicis inventæ, animis ægrotis & malarum cupiditatum plenis, nullum eſſe remedium aliud quàm ſermonem qui liberè delicta reprehendat; deindè abſurdum eſſe uſtiones & ſectiones medicorum tolerare, ut pluribus cruciatibus liberemur; ſermones autem improbare, antequam planè cognitum ſit an eam vim habeant ut audientibus proſint.

Invehitur Iſocrates in delicta Athenienſium.

1°. Hæc ideò præfatus ſum, quia de reliquis nihil diſſimulans, ſed prorsùs apertè verba apud vos ſum facturus. Quis enim eſt qui peregrè adveniens, & morum noſtrorum corruptelæ expers adhuc, ſi his quæ aguntur derepentè incidat, non putet inſanire nos & delirare? qui gloriamur qui-

τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἔχομεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον. Οἱ μὲν γὰρ, ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς δὲ, τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποειζομένους, ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. Κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δὲ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξοιμεν· οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις, καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας τήν τε πατρίδα τὴν αὑτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι, καὶ ναυμαχοῦντες, τοὺς βαρβάρους ἐνίκησαν· ἡμεῖς δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας, κινδυνεύειν ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ' οὐκ ἐθέλομεν· καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλὰ ἀνθρώπους τοὺς μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν ἄλλων

[l. 5 & 6.] Τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους,

dem ob res à majoribus geſtas, & civitatem noſtram propter ea quæ olim facta ſunt poſſumus laudare, nihil verò eorumdem quæ illi, ſed planè contraria, facimus? Illi enim contrà Barbaros pro Græcis pugnare non deſtiterunt; nos autem eos qui in Aſia victum quæritabant, retractos illinc, contrà Græcos duximus. Illi, dùm Græcas urbes in libertatem aſſerunt, ipſiſque opem ferunt, Græciæ principatu digni ſunt habiti: nos qui eaſdem ſervitute premimus, & omninò diverſa agimus, eumdem nobis non haberi honorem indignamur; quum adeò & factis & conſiliis ab iis ſuperati ſimus qui tunc temporis erant, ut, dùm illi pro ſalute Græcorum ſuam ipſorum patriam relinquere non dubitârunt, & terrâ marique pugnando vicerunt Barbaros, nos ne pro amplificando quidem noſtro dominatu dimicare velimus, ſed omnibus imperare ſtudeamus, iidemque nolimus militare; & bellum ſuſcipiamus ferè contrà omnes mortales, iidemque ad id gerendum noſmetipſos non exerceamus; verùm homines partìm exules, partìm transfugas, partìm eos qui omni flagitiorum genere

intellige Græcos mercenarios milites, qui inopiâ coacti in Aſiam militatum ibant, & regi Perſarum aut Satrapis illius navabant operam.

[l. 23.] Ad ἀνθρώπους ſub. ἀοκνοῦμεν; maſim tamen cum Volſio addi μισθούμεθα.

κακουργιῶν συνερρυηκότας· οἷς ὁπόταν τις πλείονα μισθὸν διδῷ, μετ' ἐκείνου ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. Ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, ἢν περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν· ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς, καὶ βίας, καὶ πλεονεξίας, μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥξειν, οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν, ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτό τι διαπεπραγμένους. Εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς ἐσμὲν τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δ' ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν λυμαινόμεθα, καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοινοῖς ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. Τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ὑμεῖς δ' εἰς τοσαύτην ἀπορίαν ἐλελυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις. Καὶ πότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξέπεμπον· νῦν δὲ

cooperti hùc confluxerunt, quique, si quis plus stipendii numeret, ejus ductu adversùs nos sunt ituri, ejusmodi, inquam, homines ità diligamus, ut si liberis nostris injuriam fecerint, nolimus ipsos pœnas subire, ob eorum verò rapinas, & vim, & avaritiam, licet nobis crimini dandum sit quod isti commiserint, adeò non indignemur, ut lætemur etiam quum eos tale aliquid perpetrasse audiverimus. Quin & eò stultitiæ progressi sumus, ut ipsi rebus indigentes ad victum quotidianum necessariis, peregrinum militem alere conemur, sociosque nostros malè mulctando tributa ab illis extorqueamus, ut communibus omnium hostibus suam exsolvamus mercedem. Tantò autem deteriores sumus majoribus nostris, non laudatis illis solùm, sed iis etiam qui in odio fuerunt, ut illi, si bellum adversùs aliquos gerere decrevissent, quamvis argento & auro refertum esset ærarium, suis tamen corporibus ob ea quæ statuerant, pugnandum censerent; nos, licet ad tantam egestatem redacti, & tot numero simus, perindè ut magnus rex, conductitiis exercitibus utamur. Atque illi tunc, si triremes implerent, peregrinos & servos navibus inscendere fecerunt ut essent nautæ, cives armis instructos emittebant: nos verò nunc & conducti-

---

[l. 8.] Οὐχ ὅπως, non solùm non.

τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν· ὥσθ' ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν.

Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα καὶ περὶ τῶν ἄλλων θαῤῥήσειεν. Ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; Οἵ τινες αὐτόχθονες μὲν εἶναι φαμὲν, καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ' ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν, τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων· καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς αὐτῶν δυσγενείας· πλείστους δὲ τιθέμενοι νόμους, οὕτως ὀλίγον αὐτῶν φροντίζομεν (ἓν γὰρ ἀκούσαντες, γνώσεσθε καὶ περὶ τῶν ἄλλων), ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης,

---

[l. 4.] Ὑπηρέσιον interpretor cum nonnullis REMUM. Alii PULVINUM intelligunt quem ſibi nautæ ſubſternebant.

[l. 7 & ſeq.] Ἀλλὰ γάρ . . . . . . eſt objectio. Ἀλλὰ οὐκ . . . . eſt reſponſio.

tios milites gravi armaturâ dignamur, & cives remigare cogimus. Undè fit ut, quandò egrediantur in hostilem agrum, illi qui sibi imperium in Græcos arrogant, prodeant è nave, remum in manibus habentes; isti autem qui indole tales sunt quales paulò antè descripsi, cum armis in acie versentur.

2°. At verò quandò quis videat domi rempublicam rectè administrari, etiam de reliquis spem bonam habuerit. Imò illud ipsum est quod maximè indignetur. Nam quum nos indigenas esse, atque hanc urbem antè ceteras esse conditam dicamus, & nos universis exemplum præbere conveniat bonæ ordinatæque reipublicæ, nostram civitatem deteriùs & perturbatiùs administramus, quàm ii qui nuperrimè urbes condiderunt. Et gloriamur quidem ac superbimus, propterea quòd ex stirpe inclytâ nati simus præ ceteris; sed faciliùs quibuslibet nobilitatem hanc nostram impertimus, quàm Triballi aut Lucani suam ipsorum ignobilitatem. Leges plurimas ferimus, sed easdem ità parvi facimus (uno enim hoc audito, etiam de aliis judicabitis), ut, licet mors pro pœnâ constituta sit, si quis

---

[l. 10.] Antè οἵ τινες subaudi, vel ἡμᾶς ἰδὼν, vel παρ' ἡμῶν.

[l. 17 & 18.] Τριβαλλοὶ καὶ Λευκανοί. Triballi, ignobiles Barbari, vicini Macedoniæ. Lucani, Italiæ populi, Apuliæ vicini, item parùm nobiles.

ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας, στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ἐμποιοῦντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους εἶναι νομίζομεν· ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γινώσκομεν, ἀλλ' ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλείποντες, τοῖς ἐνταῦθα ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις συμβούλοις χρώμεθα, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειε, καὶ τοὺς αὐτοὺς τούτους κυρίους τῶν κοινῶν ἁπάν-

---

[l. 1.] Hinc ortum est vocabulum δεκάζω, quòd rei causæ suæ diffidentes, decimam controversæ pecuniæ par-

ambitûs sit convictus, eos tamen qui hoc apertissimè faciunt, imperatores eligamus, & quò quisque plures cives corruperit, eò majoribus negotiis à nobis præficiatur. Jam quum de reipublicæ formâ non minùs solliciti simus quàm de salute totius civitatis, nec ignoremus democratiam tranquillis & pacatis rebus crescere & confirmari, bellis verò jam bis dissolutam esse, eos qui paci student, tanquam oligarchiæ studiosos, aversamur, dùm eos qui bella concitant, tanquam democratiæ faventes, benevolos arbitramur. Quamvis eloquentissimi & rerum gerendarum peritissimi, eâ sumus temeritate, ut eodem die de rebus iisdem eadem non sentiamus, sed quæ, priusquam in concionem ascenderimus, culpavimus, ea congressi suffragiis comprobemus, & paulò post, simul atque domum redierimus, ea quæ hîc decreta sunt denuò reprehendamus. Qui autem nos Græcorum sapientissimos esse profitemur, eos adhibemus consultores, quos nemo est quin contemneret, & summæ rerum om-

---

tem judicibus promittere solebant, si secundùm ipsos pronuntiassent. Hinc translatum est ad quamvis largitionem & corruptelam. Harpocratio aliam dat hujusce vocabuli explicationem quæ valdè obscura est & intellectu difficilis.

[l. 15.] Ταυτὰ, orat de permut. τὰ ἀυτά.

[l. 23.] A vocibus ϗ τὺς ἀυτὺς usque ad voces προεςῶσιν ἡμῶν, p. seq. l. 8, hæc desunt in orat. de perm.

των καθίσαμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειεν. Τὸ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι· καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομίζομεν, οἵουσπερ ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν· τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τῆς πόλεως ἐποιοῦντο, καὶ στρατηγοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὐτὸν γενόμενον. Ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν, ὡς νοῦν οὐκ ἔχοντας· οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων, οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δ' αὐτοκράτορας ἐκπέμπομεν, ὡς ἐκεῖ σοφωτέρους ἐσομένους, καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων καὶ πολεμικῶν, ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς

[l. 5 & seq.] Peregrini qui Athenis consederant, cogebantur civem aliquem Atheniensem sibi patronum

nium illos ipſos præficimus, quibus nemo privatìm quidquam commiſerit. Quodque omnium acerbiſſimum eſt, quos fateremur civium improbiſſimos eſſe, eos arbitramur reipublicæ cuſtodes eſſe fideliſſimos. Inquilinos quidem tales eſſe credimus, quales ſibi patronos delegerint, ipſi autem non exiſtimamus talem de nobis qualem de ducibus noſtris, futuram eſſe opinionem. A majoribus verò maximè diverſi, dùm eoſdem illi & urbis præfectos conſtituerent, & exercituum imperatores crearent, rati nimirùm eum qui in ſuggeſtu optima poſſet ſuadere, eundem & per ſeſe nihilò deteriùs deliberaturum; nos è contrà, quos in rebus maximis conſultores adhibemus, eos imperatores eligere non dignamur, tanquam mentis inopes: à quibus autem nemo conſilium peteret, vel de privatis vel de publicis rebus, eos ſummâ poteſtate inſtructos emittimus, quaſi illîc futuri ſint ſapientiores, & faciliùs deliberaturi de bello & totius Græcis ſtatu, quàm de iis quæ hîc proponuntur. Atque hæc non de omnibus dixerim, ſed de iſtis

---

προςάτην adſciſcere, à quo non tantùm defenderentur, ſed etiam obſervarentur ne vel nocerent vel inſidiarentur reipublicæ. Νέμωσιν hîc idem eſt ac αἵρωσιν.

[l. 21.] Vulg. habet πολιτικῶν, dedi πολεμικῶν cum Battie.

λεγομένοις ὄντων. Ἐπιλείποι δ' ἂν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας εἰ πάσας τὰς πλημμελείας, τὰς ἐν τοῖς πράγμασι γεγενημένας, ἐξετάζειν ἐπιχειροίην.

Τάχ' οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειε, πῶς οὖν, εἴπερ οὕτω κακῶς βουλευόμεθα, σωζόμεθα, καὶ δύναμιν οὐδεμιᾶς πόλεως ἐλάττω κεκτημένοι τυγχάνομεν; Ἐγὼ δὲ πρὸς ταῦτα ἂν ἀποκριναίμην, ὅτι τοὺς ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας. Εἰ γὰρ μετὰ τὴν μάχην, ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόννησον, καὶ τοὺς ἄλλους Ἕλληνας αὐτονόμους ποιήσαντες, ἡσυχίαν εἶχον, ἡμεῖς δὲ ταῦτα ἐξημαρτάνομεν, οὔτ' ἂν οὗτος εἶχε ποιήσασθαι ταύτην τὴν ἐρώτησιν, ἡμεῖς τ' ἂν ἔγνωμεν ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν. Νῦν δ' ἐνταῦθα περιέστηκε τὰ πράγματα, ὥστε Θηβαῖοι μὲν ἡμᾶς σώζουσιν, ἡμεῖς δὲ Θηβαίους· καὶ συμμάχους ἐκεῖνοι μὲν ἡμᾶς ποιοῦσιν, ἡμεῖς δ' ἐκείνους. Ὥστ' εἰ νοῦν εἴχομεν, ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀργύριον παρείχομεν· ὁπότεροι γὰρ ἂν πλεονάκις συλλεγῶσιν, οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσι. Χρὴ

[l. 4.] Post ἐπιχειροίην orat. de perm. transit ad pero-
duntaxat

duntaxat ad quos verba mea pertinent. Dies me defecerit, si in omnia administrationis nostræ delicta coner severiùs inquirere.

Objectio cum responsione.

Fortassis autem aliquis eorum qui reprehensionibus meis maximè sunt obnoxii, indignabundus interrogaverit; quomodo fit igitur, si tàm malè nobis consulamus, ut non incolumes tantùm, sed etiam nullâ civitate opibus & potentiâ simus inferiores? Ego verò ad hæc responderem, hoc ideò fieri quòd adversarios habeamus qui nihilo magis quàm nos ipsi sapiunt. Si enim post pugnam quâ Thebani Lacedæmonios vicerunt, illi quidem Peloponneso liberatâ, ceterisque Græcis juri suo redditis, quievissent, nos autem eadem hæc peccassemus, tùm nec iste me hoc modo interrogare potuisset, & nos intelligeremus quantùm modestiæ tranquillitas turbulentis & inquietis consiliis antecellat. Nunc eò res rediere ut Thebani nobis, nos Thebanis vicissim saluti simus, & utraque civitas sibi invicem auxilio sit. Quare si saperemus, mutuò nobis pecuniam ad indicendas conciones dilargiremur, quandoquidem utri nostrûm sæpiùs conveniunt, hi alterorum res promovent. Decet autem eos qui

---

rationem quæ hîc legitur p. 258. l. 4. τίς οὖν ἀπαλλαγή....

δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους, οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν τοῖς αὐτῶν πράγμασι καὶ ταῖς αὐτῶν διανοίαις. Τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν, τυχὸν ἂν παύσαιτο, καὶ λάβοι μεταβολήν· τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γιγνόμενον, βεβαίως ἂν ἔχοι, καὶ μᾶλλον παραμένειεν ἡμῖν.

Πρὸς μὲν οὖν τοὺς εἰκῆ τὰς ὑπολήψεις ποιουμένους, οὐ χαλεπὸν ἀντειπεῖν. Εἰ δὲ δή τίς μοι παραστὰς τῶν ἐπιεικέστερον διακειμένων, ἀληθῆ μὲν λέγειν με προσομολογήσειεν, καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις· δίκαιον δὲ εἶναι φαίη, τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων, ἀλλὰ καὶ συμβουλεύειν ποίων ἀπεχόμενοι, καὶ τίνων ὀρεγόμενοι, παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν γνώμην, καὶ τοιαῦτα ἐξαμαρτάνοντες· οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως οὐκ ἀληθοῦς, οὐδὲ συμφερούσης, ἀλλ' ἀρεσκούσης ὑμῖν. Οὐ μὴν ἀλλ' ἐπειδήπερ ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι καὶ περὶ τούτων.

Ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν, τήν τ' εὐσέβειαν, καὶ τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, καὶ τὴν ἄλλην ἀρετὴν, ὀλίγῳ πρότερον εἰρήκαμεν. Ὡς δ' ἂν τάχιστα πρὸς τὸ τοιοῦ-

mediocri ſunt prudentiâ, ſalutis ſpem non in hoſtium erratis, ſed in rectè factis conſiliisque ſuis collocare. Quod enim commodum ex adverſariorum inſcitiâ nobis obtigit, id fortaſsè neque diù duraverit, neque idem ſemper fuerit; quod verò à nobismetipſis proficiſcitur, ſtabile eſt & diutiùs permanet.

Invehitur orator in maris imperium.

Ac eos quidem refutare qui dicta mea temerè cavillantur, difficile non eſt. Siquis autem mihi inſtans eorum qui ſaniori mente ſunt, me vera quidem dicere, nec immeritò reprehendere ea quæ fiunt, aſſentiatur; ſed æquum eſſe dicat eos qui animo conſilia dant benevolo, non ſolùm facta improbare, verùm etiam monere quæ fugienda, quæque ſequenda ſint, ut ità ſentire, & ad hunc modum delinquere deſinamus: ejus oratio efficiet ut egeam reſponſione non verâ aut utili, ſed quæ vobis placeat. Atenim quoniam apertè dicere ſum aggreſſus, non cunctandum eſt etiam de his ſententiam meam declarare.

Quæ igitur iis ſuppetere oportet qui felices futuri ſint, pietatem ſcilicet, & temperantiam, & juſtitiam, & alias virtutes, paulò ante diximus. Quomodo autem inſtituti erimus quàm expeditiſſi-

[l. 25.] Τὴν ἄλλην ἀρετὴν, vide quæ ſuprà notavimus, p. 191, n. [l. 15 & 16.]

τοι γενέσθαι παιδευθείημεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον, ἴσως δ᾽ ἂν ἀκούσασιν ὑμῖν δεινὸν εἶναι δόξειεν, καὶ παρὰ πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον διανοίας.

Ἐγὼ γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκήσειν, καὶ βελτίους αὐτοὺς ἔσεσθαι, καὶ πρὸς ἁπάσας τὰς πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ θάλασσαν ἐπιθυμοῦντες. Αὕτη γάρ ἐστιν, ἡ καὶ νῦν εἰς ταραχὴν ἡμᾶς καθιστᾶσα, καὶ τὴν δημοκρατίαν ἐκείνην καταλύσασα, μεθ᾽ ἧς οἱ πρόγονοι ζῶντες, εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων τῶν κακῶν αἰτία, ὧν αὐτοί τε ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν. Οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάντων ἐρωμένης καὶ περιμαχήτου γεγενημένης κατηγοροῦντα, δοκεῖν ἀνεκτόν τι λέγειν· ὅμως δ᾽ ἐπειδήπερ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄντας, φιλαπεχθήμονας δὲ, καὶ τούτων ὑμᾶς ἀνέχεσθαι δέομαι, καὶ μὴ καταγνῶναί μου τοσαύτην μανίαν, ὡς ἄρα ἐγὼ προειλόμην διαλεχθῆναι πρὸς ὑμᾶς περὶ πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς εἶχον περὶ αὐτῶν. Νῦν δ᾽ οἶμαι φανερὸν ποιήσειν ἅπασιν, ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν, οὔτε γενέσθαι δυνατῆς, οὔτε συμφερούσης ἡμῖν.

Ὅτι μὲν οὖν οὐ δικαίας, παρ᾽ ὑμῶν μαθὼν, ὑμᾶς

mè ut tales fiamus, verè quidem omninò à me dicetur, ſed fortaſſe vobis audientibus grave viſum fuerit, & plurimùm ab aliorum ſententiis abhorrere.

Ego enim cenſeo & rempublicam nos meliùs adminiſtraturos, & ipſos meliores fore, & res noſtrûm omnes incrementa accepturas, ſi maris imperium concupiſcere deſtiterimus. Hoc enim illud eſt quod & in hos tumultus nos conjecit, & illam democratiam evertit in quâ majores noſtri feliciſſimi erant Græcorum, & denique malorum ferè omnium cauſa fuit quæ & patimur & facimus. Equidem haud ignoro quàm difficile ſit ut is qui in dominatum iſtum invehitur quem omnes adamant, & de quo vehementer contendunt, tolerabile quid videatur dicere. Verumtamen quoniam quæ ſuperiùs dicta ſunt tuleritis, vera illa quidem, ſed odioſa, & ut hæc quoque ſuſtineatis obſecro, neque me tantæ inſaniæ condemnetis, ut elegerim apud vos verba facere de rebus à ſenſu vulgari adeò abhorrentibus, niſi quid veri de his dicendum haberem. Nunc verò arbitror me planum omnibus facturum nos imperium affectare neque juſtum, neque quod acquiri poſſit, neque nobis utile.

1°. Ac primùm injuſtum id eſſe, à vobis edoc-

ἔχω διδάσκειν. Ὅτε γὰρ Λακεδαιμόνιοι ταύτην εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσαμεν; κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δὲ ὡς δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς Ἕλληνας. Τίνας δὲ τῶν πόλεων τῶν Ἑλληνίδων οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν, τὴν ὑπὲρ τούτων συστᾶσαν; πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν μέγαν ἀπεστείλαμεν, διδασκούσας αὐτὸν, ὡς οὔτε δίκαιόν ἐστιν, οὔτε συμφέρον, μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων; Οὐ πρότερον δὲ πολεμοῦντες ἐπαυσάμεθα, καὶ κινδυνεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν Λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονομίας. Ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν, ἔν ἐκείνοις τε τοῖς χρόνοις ἐτυγχάνομεν ἐγνωκότες, καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ' ἡμῖν καθεστώσης.

Ὡς δ' οὐδ' ἂν δυνηθείημεν τὴν ἀρχὴν ταύτην καταστήσασθαι, ταχέως οἶμαι δηλώσειν. Ἣν γὰρ μετὰ μυρίων ταλάντων οὐχ οἷοίτε ἦμεν διαφυλάξαι, πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι δυνηθείημεν; ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν, οὐχ οἷς ἐλάβομεν, ἀλλ' οἷς ἀπωλέσαμεν αὐτήν.

Ὡς τοινυν οὐδὲ διδομένην δέξασθαι τῇ πό-

tus ego vos docere possum. Nam quum istam potentiam Lacedæmonii tenerent, quæ verba non consumpsimus, tùm eorum principatu accusando, tùm æquum esse ut Græci suis legibus viverent commemorando? Quasnam verò Græcarum urbium non concitavimus ad societatem belli ob hæc suscepti? Quoties legatos ad magnum regem misimus, qui ipsum docerent, neque justum esse, neque utile, civitatem unam Græcis dominari? Non priùs autem à bello cessavimus, neque pugnare terrâ marique destitimus, quàm vellent Lacedæmonii de libertate Græcorum fœdera facere. Non igitur esse justum ut potentiores dominentur imbecillioribus, & illis temporibus sensimus, & nunc reipublicæ formâ apud nos constitutâ declaramus.

2°. Quòd autem idem hoc imperium non poterimus constituere, citò me demonstraturum esse opinor. Etenim quod non potuimus tueri cum decies millibus talentis, quînam id in præsenti penuriâ comparaverimus; quum præsertìm iis institutis utamur, non per quæ illud acquisivimus, sed per quæ amisimus?

3°. Jam verò reipublicæ non expedire ut hoc

[l. 17.] Post καθεστώσης subaudi vel adde γινώσκομεν vel ἐπιδείκνυμεν.

λει συμφέρει, δοκεῖτέ μοι τάχιστ' ἂν ἐκεῖθεν καταμαθεῖν. Μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν. Δέδοικα γὰρ μή, διὰ τὸ πολλάκις ἐπιτιμᾶν, δόξω τισὶ προαιρεῖσθαι τῆς πόλεως κατηγορεῖν.

Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς οὕτως ἐπεχείρουν διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην. Νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς λόγους, οὐ διαβάλλειν πρὸς ἑτέρους ἐπιθυμῶν, ἀλλ' αὐτοὺς ὑμᾶς βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην περὶ ἧς ἅπας ὁ λόγος ἐστί, βεβαίως καὶ τὴν πόλιν καὶ τοὺς Ἕλληνας τοὺς ἄλλους ἀγαγεῖν. Ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας, τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλαις ὡς οἷόν τε ἐναντιωτάτας. Ὥστε περὶ τῶν ταυτὰ λεγόντων, οὐ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν· ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας, μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει· τοὺς δὲ ἐπ' ὠφελείᾳ νουθετοῦντας, ἐπαινεῖν, καὶ βελτίστους τῶν πολιτῶν νομίζειν· καὶ τούτων αὐτῶν

[l. 1 & 2.] Ἐκεῖθεν, ex eo quod ſequitur; interrumpit deindè ſeipſum orator, &, antequam ulteriùs progrediatur, duriorem loquendi modum excuſat: nam περὶ τούτων lin. ſeq. intelligi debet de eo quem hactenùs adhibuit loquendi modo.

etiam ultrò oblatum accipiat, ex eo mihi posse videmini quamprimùm intelligere..... Sed antequam longiùs progrediar, mihi lubet pauca quædam præfari. Vereor enim ne propterea quòd sæpiùs objurgo, videar aliquibus civitatem nostram accusare instituisse.

Excurrit Isocrates duriorem excusando loquendi modum.

Ego verò si apud alios quosvis his de rebus ità dissererem, haud injuriâ culparer. Nunc autem apud vosmetipsos verba facio, non hùc spectans scilicet ut vos coràm aliis criminer, sed ut à factis talibus abducam, & uti pax, in quâ omnis vertitur oratio, constanter & à vobis & ab aliis Græcis agatur. Atqui necesse est ut & qui monent & qui accusant, verbis utantur non ferè dissimilibus, quum utrorumque mens quàm longissimè discrepet. Quare de his qui eadem dicunt, decet vos non idem sentire; sed eos qui nocendi studio conviciantur, odisse tanquam reipublicæ malevolos, vestræ verò utilitatis gratiâ qui admonent, laudare, & optimos cives judicare; atque inter hos ip-

[l. 15.] Pro δυνάμεις in vulg. conjiciebam legendum esse βουλήσεις, dedi διανοίας quod habet Cod. O.

[l. 16.] Ἔχειν intellige SE HABERE, non HABERE simpliciter.

[l. 21.] Vulg. βελτίους non βελτίστους.

μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι τάς τε πονηρίας τῶν πράξεων, καὶ τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας. Οὕτω γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς μισήσαντας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι πραγμάτων. Ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος, καὶ τῶν εἰρημένων καὶ τῶν ῥηθήσεσθαι μελλόντων, ταῦτ' ἔχω λέγειν πρὸς ὑμᾶς. Ὅθεν δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.

Ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς καταμαθεῖν, ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχήν, εἰ σκέψαισθε τίνα τρόπον ἡ πόλις διῳκεῖτο πρὶν τὴν δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν. Ἢν γὰρ ταῦτα παρ' ἄλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθε πόσων κακῶν αἰτία τῇ πόλει γέγονεν.

Ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν καὶ κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳπερ Ἀριστείδης, καὶ Θεμιστοκλῆς, καὶ Μιλτιάδης, ἄνδρες ἀμείνους ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος, καὶ τῶν νῦν δημηγορούντων. Τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον, οὐκ ἀργίας, οὐδ' ἀπορίας, οὐδ' ἐλπίδων κενῶν, ὄντα μεστὸν, ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις πάντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας, ἀριστείων δ' ἀξιού-

---

[l. 9.] Ἔφασκον dicebam, i. e. dicere instituebam.

ſos eum maximè amplecti qui evidentiſſimè poſſit malas actiones & ortas indè calamitates enarrare. Sic enim citiùs effecerit ut & oderitis ea quæ oportet, & meliora deſideretis. Ac de verborum quidem aſperitate tàm dictorum quàm dicendorum, hæc habebam quæ vobis dicerem: nunc eo revertor undè ſum digreſſus.

Reditus ad rem. Enumerantur longiori & vividâ oratione omnia delicta & mala in quæ civitates, Atheniensem & Laconicam, adduxit maris imperium.

Dicere enim inſtituebam ex eo vos rectiſſimè perſpecturos quòd non expediat nobis maris imperium accipere, ſi conſideraveritis quemadmodum adminiſtraretur civitas priuſquam iſtam potentiam adepta fuerit, & quomodo poſtquam eamdem tenuerit. Nam ſi hæc inter ſe collata animo contemplemini, quantùm ex maris imperio malorum in urbem invaſerit, perſpicietis.

Illa certè reſpublica tantò melior & præſtantior fuit hâc quæ poſteriùs conſtituta fuit, quantò Ariſtides, & Themiſtocles, & Miltiades, viri meliores fuerunt Hyperbolo & Cleophonte, & iſtis qui nunc concionantur. Populum autem comperies qui tùm rempublicam geſſit, non ſocordiâ, nec inopiâ, nec ſpe vanâ plenum, ſed eum fuiſſe qui & profligare poſſet omnes qui ſuam ipſius regionem inva-

μένον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κινδύνοις, οὕτω δὲ πιστευόμενον, ὥστε τὰς πλείστας αὐτοῖς τῶν πόλεων ἑκούσας ἐγχειρίζειν σφᾶς αὐτάς. Τούτων δ᾽ ὑπαρχόντων, ἀντὶ μὲν τῆς πολιτείας τῆς παρὰ πᾶσιν εὐδοκιμούσης, ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν τῶν ἀνθρώπων ἐπαινέσειεν. Ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας, οὕτω τοὺς πολίτας ἐπαίδευσεν, ὥστε μηδὲ πρὸ τῶν τειχῶν τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις. Ἀντὶ δὲ τῆς εὐνοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης, καὶ τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων, εἰς τοσοῦτο μίσους κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν ἐξανδραποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν, ἢ τῶν πρότερον ἡμῖν συμμάχων ὄντων. Οἷς οὐκ ἂν δικαίως ἐγκαλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν· οὐ γὰρ ὑπάρχοντες, ἀλλ᾽ ἀμυνόμενοι, καὶ πολλὰ καὶ δεινὰ παθόντες, τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς.

Τίς γὰρ ἂν ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμετέρων; οἱ συνάγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς ἀργοτάτους, καὶ τοὺς ἁπασῶν τῶν

[l. 14 & seq.] Εἰ μὴ Λακεδαιμονίων .... Post Lysandri victoriam, deliberabatur in concilio Græcorum quid

ſiſſent, & in adeundis pro Græciâ periculis primum ferret fortitudinis præmium, tantamque ſibi fidem adjungeret, ut civitatum plurimæ ſeipſas ſpontè illis traderent. In præſenti autem rerum ſtatu, pro adminiſtratione illâ apud omnes celebratâ, dominatus iſte in eam intemperantiam nos impulit quam mortalium nemo laudaverit, & ità cives noſtros inſtituit, ut qui priùs eos vicerant à quibus bello peterentur, extrà mœnia in conſpectum hoſtium ne prodire quidem auderent. Pro benevolentiâ autem illâ quam à ſociis illi habuerunt, & pro illâ exiſtimatione in quâ apud ceteros Græcos fuerunt, dominatus idem tantum nobis odium concitavit, ut parùm abeſſet quin urbs exſcinderetur, niſi Lacedæmonios, veteres hoſtes, benevolentiores habuiſſemus quàm eos qui ſocii noſtri pridem fuerant. Quos jure accuſare non poſſumus quòd adeò infenſi nobis fuerint. Non enim vim ultrò inferentes, ſed illatam propulſantes, & multa graviaque mala perpeſſi, tales ergà nos animos conceperunt.

Quis enim patrum noſtrorum petulantiam toleraſſet? qui congregatos ex universâ Græciâ ignaviſſimos quoſque, ac omni genere flagitiorum in-

---

de Athenis fieret. Thebani & Corinthii cenſebant eas exſcindendas eſſe: Archidamus, Lacedæmoniorum rex, negavit ſe commiſſurum ut Græcia fieret ἑτερόφθαλμος, cujus unus oculus Sparta eſſet, alter Athenæ.

πονηρῶν μετέχοντας, πληροῦντες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο τοῖς Ἕλλησι· καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων τἀκείνων διένεμον; Ἀλλὰ γὰρ εἰ τολμήσαιμι περὶ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις γενομένων ἀκριβῶς διελθεῖν, ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον βουλεύσασθαι περὶ τῶν ἄλλων, αὐτὸς δ' ἂν διαβληθείην. Εἰώθατε γὰρ μισεῖν, οὐχ οὕτω τοὺς αἰτίους τῶν ἁμαρτημάτων, ὡς τοὺς κατηγοροῦντας αὐτῶν. Τοιαύτην οὖν ὑμῶν γνώμην ἐχόντων, δέδοικα μὴ πειρώμενος ὑμᾶς εὐεργετεῖν, αὐτὸς ἀπολαύσω τι φλαῦρον. Οὐ μὴν ἀποστήσομαι παντάπασιν ὧν διενοήθην· ἀλλὰ τὰ μὲν πικρότατα, καὶ μάλιστ' ἂν ὑμᾶς λυπήσοντα, παραλείψω· μνησθήσομαι δὲ τούτων μόνον, ἐξ ὧν γνώσεσθε τὴν ἄνοιαν τῶν τότε πολιτευομένων.

Οὕτω γὰρ ἀκριβῶς εὕρισκον ἐξ ὧν ἄνθρωποι μάλιστ' ἂν μισηθεῖεν, ὥστ' ἐψηφίσαντο τὸ περιγιγνόμενον ἐκ τῶν φόρων ἀργύριον, διελόντες κατὰ τάλαντον, εἰς τὴν Ὀρχήστραν τοῖς Διονυσίοις ἐκφέρειν. Ἐπεὶ δ' ἂν πλῆρες ἦ τὸ θέατρον, καὶ τοῦτ' ἐποίουν, καὶ παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων· ἀμφοτέροις ἐπι-

[l. 21 & 22.] Εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις

quinatos, quum triremibus imponerent, ab omnibus Græcis odio habiti sunt; & optimis civibus aliarum urbium ejectis, illorum opes improbissimis Græcorum dilargiebantur. Verùm si auderem illorum temporum delicta accuratè persequi, fortassis efficerem ut vos reliquis de rebus rectiùs consuleretis, sed ipse in crimen venirem. Soletis enim odisse non tàm peccatorum autores quàm eorumdem reprehensores. Quo animo quum sitis, verendum mihi est, ne, dùm vobis benefacere conor, de meipso malè merear. Non tamen omninò desistam ab iis quæ institui, sed acerbissimis quibusque, & quæ molestissima vobis esse possint, omissis, ea solùm commemorabo è quibus sentiatis illorum amentiam qui tunc res administrabant.

Nam ità exquisitè excogitârunt per quæ potissimùm odio habeantur homines, ut decernerent pecuniam quæ ex tributis superesset, in singula talenta distributam, Bacchanalibus in orchestram efferri; utrisque demonstrantes, & sociis suas ipsorum

---

ἐκφέρειν, efferre (pecuniam ex thesauro) in orchestram (in scenam) Bacchanalibus, nempè, dividendam inter cives.

[l. 23.] Καὶ τοῦτ' ἐποιοῦν, & hoc faciebant, i. e. pecuniam dividebant.

δεικνῦντες, τοῖς μὲν συμμάχοις τὰς τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσφερομένας· τοῖς δ' ἄλλοις Ἕλλησι, τὸ πλῆθος τῶν ὀρφανῶν, καὶ τὰς συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύτην γιγνομένας. Καὶ ταῦτα δρῶντες, αὐτοί τε τὴν πόλιν εὐδαιμόνιζον, καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων ἐμακάριζον αὐτὴν, τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ πλοῦτον θαυμάζοντες καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν, καὶ τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἔμελλε προσαπολεῖν. Εἰς τοῦτο γὰρ κατέστησαν τῶν μὲν οἰκείων ἀμελείας, τῶν δ' ἀλλοτρίων ἐπιθυμίας, ὥστε Λακεδαιμονίων ἐμβεβληκότων εἰς τὴν χώραν, καὶ τοῦ τείχους ἤδη τοῦ Δεκελεικοῦ συνεστηκότος, εἰς Σικελίαν τριήρεις ἐπλήρουν, καὶ οὐκ ᾐσχύνοντο τὴν πατρίδα τεμνομένην καὶ πορθουμένην περιορῶντες, ἐπὶ δὲ τοὺς οὐδὲν πώποτε εἰς ἡμᾶς ἐξαμαρτόντας, στρατιὰς ἐκπέμποντες. Ἀλλ' ἐς τοῦτο ἀφροσύνης ἦλθον, ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες, Ἰταλίας, καὶ Σικελίας, καὶ Καρχηδόνος ἄρχειν προσεδόκησαν. Τοσοῦτον δὲ διήνεγκαν ἀνοίᾳ πάντων ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους αἱ συμφοραὶ συστέλλουσι, καὶ ποιοῦσι σωφρονεστέρους· ἐκεῖνοι δ' οὐδὲν ὑπὸ τούτων ἐπαιδεύθησαν. Καίτοι πλείοσι καὶ μείζοσι κα-

pecunias

pecunias à mercenariis erogatas, & Græcis ceteris multitudinem pupillorum, & clades ob istam libidinem acceptas. Et hæc dùm facerent, cùm ipsi, tùm alii multi æquè amentes, urbis felicitatem prædicabant; ex his quid futurum esset minimè prospicientes, sed illis opibus attoniti & superbi, quæ urbem præter jus ingressæ, etiam eas quæ jure tenebantur, parvo temporis spatio secum unà eversuræ erant. Usque adeò enim & sua neglexerunt, & aliena appetiverunt, ut, quum Atticam invasissent Lacedæmonii, & Decelicus murus jam staret, in Sicilicam mittendas triremes implerent, neque erubescerent, dùm in conspectu suo dilaceraretur patria & vastaretur, exercitus mittere contrà eos qui in nos unquam nihil deliquerant. Quin eò dementiæ processerunt, ut, quamvis suburbia sua non tenerent, Italiæ tamen & Siciliæ & Carthagini se imperaturos sperarent. Tantùm autem mortales omnes amentiâ superârunt, ut, quum alios calamitates erudiant & modestiores efficiant, eos ne hæc quidem correxerint. Et tamen patres nostri, dùm maris imperio potirentur, pluribus & majo-

---

[l. 1 & 2.] Τὰς τιμὰς τῆς ὐσίας αὐτῶν, intellige pecunias à sociis collatas & Athenis depositas ad bellum Persicum, quasque oratores quidam perversi Atheniensibus suaserant inter se dividere.

[l. 17.] Post πατρίδα yelim adjici μὲν.

κοῖς περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης τῶν ἐν ἅπαντι τῷ χρόνῳ τῇ πόλει γεγενημένων. Εἰς Αἴγυπτον μέν γε διακόσιαι πλεύσασαι τριήρεις, αὐτοῖς πληρώμασι διεφθάρησαν. Περὶ δὲ Κύπρον, πεντήκοντα καὶ ἑκατόν· ἐν δὲ τῷ Πόντῳ, μυρίους ὁπλίτας αὐτῶν καὶ τῶν συμμάχων ἀπώλεσαν· ἐν Σικελίᾳ δὲ, τέτταρας μυριάδας, καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας· τὸ δὲ τελευταῖον, ἐν Ἑλλησπόντῳ, διακοσίας. Τὰς δὲ κατὰ δέκα, καὶ πέντε, καὶ πλείους τούτων ἀπολλυμένας, καὶ τοὺς κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήσκοντας, τίς ἂν ἐξαριθμήσειε; πλὴν ἐνῆν, τούτων ἐγκυκλίων ὄντων, ταφὰς ποιεῖσθαι καθ᾽ ἕκαστον ἐνιαυτὸν, εἰς ἃς πολλοὶ καὶ τῶν ἀστυγειτόνων, καὶ τῶν ἄλλων Ἑλλήνων ἐφοίτων, οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας, ἀλλ᾽ ἐφησθησόμενοι ταῖς ἡμετέραις συμφοραῖς. Τελευτήσαντες δ᾽ ἔλαθον σφᾶς αὐτοὺς, τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ Φρατρίας, καὶ τὰ γραμματεῖα τὰ ληξιαρχικὰ, τῶν οὐδὲν τῇ πόλει προσηκόντων. Γνοίη δ᾽ ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος τῶν ἀπολλυμένων. Τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνομαστοτάτων, καὶ τοὺς οἴκους τοὺς μεγίστους,

---

[l. 4.] Αὐτοῖς πληρώμασι, subaudi σύν.

[l. 9 & 10.] Fortè legendum κατὰ δέκα καὶ δέκα πέντε, gallicè, des pertes de vaisseaux par dix, par quinze.

ribus malis inciderunt, quàm quæ per omnia retrò tempora in urbem ingruerant. In Ægyptum quidem missæ ducentæ triremes, cum ipsis hominibus perierunt; ad Cyprum verò quinquaginta & centum; in Ponto autem armatorum decem millia, partìm civium, partìm sociorum, amiserunt; at in Siciliâ virorum quadraginta millia, & triremes quadraginta & ducentas, ducentas denique in Hellesponto. Jam denas & quinas & plures his amissas, & millenos bisque millenos interfectos, quisnam enumeraret? nisi quòd hæc ità in orbem redibant ut quotannis publicæ sepulturæ fierent; ad quas multi & vicinorum & aliorum Græcorum conveniebant, non unà mortuos ploraturi, sed nostris calamitatibus gaudio suo insultaturi. Tandem eò res rediere, ut paulatìm sepulchra publica civibus, & tabulæ publicæ alienigenis, implerentur. Quanta autem multitudo perierit, ex eo maximè cognoscat aliquis, quòd nobilissimorum virorum genera, amplissimæque familiæ, quæ & tyrannicas factiones &

[l. 12 & 13.] Post ἐγκυκλίων deest in vulg. ὄντων quod addidi cum Battie & Volfio.

[l. 19.] Φρατρίας. Tribus, Athenis, dividebantur in tres partes quæ dicebantur φρατρίαι.

[l. 19 & 20.] Τὰ γραμματεῖα ληξιαρχικὰ, erant abulæ in quas inscribebantur puberes jam suæ tutelæ facti, &in quas pariter referebantur omnium civium nomina.

οἳ καὶ τὰς τυραννικὰς στάσεις καὶ τὸν Περσικὸν πόλεμον διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς ἧς ἐπιθυμοῦμεν ἀναστάτους γεγενημένους. Ὥστ᾽ εἴ τις σκοπεῖσθαι βούλοιτο περὶ τῶν ἄλλων, ὥσπερ πρὸς παράδειγμα τοῦτ᾽ ἀναφέρων, φανείημεν ἂν μικροῦ δεῖν ἀντηλλαγμένοι.

Καίτοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν, μὴ τὴν ἐξ ἁπάντων ἀνθρώπων εἰκῇ πολλοὺς πολίτας ἀθροίζουσαν, ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰκησάντων μᾶλλον τῶν ἄλλων διασῴζουσαν· ἄνδρας δὲ ζηλοῦν, μὴ τοὺς τὰς τυραννίδας κατέχοντας, μηδὲ τοὺς μείζους δυναστείας τοῦ δικαίου κεκτημένους, ἀλλὰ τοὺς ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς, στέργοντας δ᾽ ἐπὶ ταῖς ὑπὸ τοῦ πλήθους διδομέναις δωρεαῖς. Ταύτης γὰρ ἐξουσίαν οὐδεὶς οὔτε ἀνὴρ, οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέραν, οὐδὲ ἀσφαλεστέραν, οὐδὲ πλείονος ἀξίαν. Οἵανπερ οἱ περὶ τὰ Περσικὰ γενόμενοι σχόντες, οὐχ ὁμοίως τοῖς λῃσταῖς ἐβίωσαν, τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, τοτὲ δ᾽ ἐν σιτοδείαις, καὶ πολιορκίαις, καὶ τοῖς μεγίστοις κακοῖς καθεστῶτες· ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν καθ᾽ ἡμέραν, οὔτ᾽ ἐν ἐνδείαις, οὔτ᾽ ἐν ὑπερβολαῖς ὄντες· ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ, καὶ ταῖς ἀρεταῖς ταῖς ἑαυτῶν φιλοτιμούμενοι, καὶ τὸν βίον ἥδιον τῶν ἄλλων διάγοντες.

bellum Persicum effugerant, in eo quod tantoperè concupiscimus imperio, eversas reperiemus. Quare si quis cetera consideret, & ad hoc velut exemplar referat, permutati & alii propè facti esse videamur.

Atenim ea civitas felix est habenda, non quæ ex omnium hominum genere cives multos temerè colligit, sed quæ antiquissimas familias studiosiùs conservat; & ii viri sunt æmulandi non qui tyrannidas occupant, nec qui imperium justo majus possident, sed qui supremo honore digni sunt, iis autem contenti donis quæ populo largiri lubet. Hâc enim autoritate nemo, sive privatus, sive civitas, honestiorem, aut tutiorem, aut pluris æstimandam, obtinere queat: qualem qui circà bella Persica fuerunt, quum essent consecuti, non latronum more vixerunt, aliàs copiâ rerum abundantes, aliàs annonæ penuriâ laborantes, & obsidionibus & ingentibus malis circumventi; sed quum victus eis neque deesset, neque superesset, æquitatem gerendæ reipublicæ, suasque virtutes laudi sibi ducentes, & vitam quàm alii suaviorem exigentes. Quibus neglectis, qui illos proximè sunt

[l. 12.] Μείζους, vulg. μείζω.

Ὧν ἀμελήσαντες οἱ γενόμενοι μετ' ἐκείνους, οὐκ ἄρχειν, ἀλλὰ τυραννεῖν, ἐπεχείρησαν· ἃ δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, πλεῖστον δ' ἀλλήλων κεχώρισται. Τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ, τοὺς ἀρχομένους ταῖς ἑαυτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστέρους· τοῖς δὲ τυράννοις ἔθος καθέστηκε τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς, αὐτοῖς ἡδονὰς παρασκευάζειν. Ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχειροῦντας, τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν, καὶ τοιαῦτα πάσχειν οἷάπερ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. Ἃ καὶ τῇ πόλει συνέπεσεν. Ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις, τῆς αὐτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους· ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, ἀποσπῶντας ἀπὸ πατέρων καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς αὐτῶν ἐν πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν ἢ προσῆκεν αὐτοῖς. Ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδ' ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν αὐτῶν. Ὥστ' εἴ τις ἡμᾶς ἐρωτήσειεν, εἰ δεξαίμεθ' ἂν τοσοῦτον χρόνον ἄρξαντες, τοιαῦτα πάσχουσαν τὴν πόλιν ἐπιδεῖν, τίς ἂν ὁμολογήσειεν; πλὴν εἰ μή τις παντάπασιν ἀπονενοημένος ἐστὶ, καὶ μήθ' ἱερῶν, μήτε γονέων, μήτε παίδων, μήτ' ἄλλου μηδενὸς φροντίζοι, πλὴν τοῦ χρόνου μόνου τοῦ καθ' ἑαυτόν; Ὧν οὐκ ἄξιον τὴν διά-

secuti, non principatum obtinere, sed tyrannidem exercere, instituerunt. Quæ res eamdem quidem vim habere videntur, longissimè verò à se invicem sunt remotæ. Principum enim officium est sibi subditos suâ ipsorum curâ reddere feliciores; tyrannorum autem ea consuetudo est, voluptates suas ex aliorum laboribus & malis comparare. Atqui necesse est eos qui tyrannica facinora aggrediuntur, etiam in tyrannicas incidere calamitates, & talia ipsos ab aliis pati qualia ipsi quoque in alios fecerint. Id quod & nostræ civitati accidit. Nam ut patres nostri arces aliarum urbium præsidiis occupârunt, ità suam in potestate hostium esse viderunt: ut liberos à parentum complexibus avulsos, obsides acceperunt, ità multi civium coacti sunt suos liberos in obsidione pejùs & alere & instituere quàm eis conveniebat: ut aliena prædia colere ipsis contigit, ità per multos annos sua ne videre quidem licuit. Quamobrem si quis nos rogaret an vellemus ob imperium tantilli temporis, rempublicam tantis cladibus afflictam intueri, ecquis assentiretur, nisi fortè quispiam planè desperatus, qui neque religionem, neque parentes, neque liberos, neque quidquam aliud curet nisi unicum vitæ suæ tempus? Quorum mentem nequaquam

---

[l. 15.] Ἀποσπῶντας, vulg. ἀποσπῶντες.

νοιαν ζηλοῦν, ἀλλὰ πολὺ μᾶλλον τῶν πολλὴν πρόνοιαν ἁπάντων τῶν τοιούτων πεποιημένων, καὶ μηδὲν ἧττον ὑπὲρ τῆς κοινῆς δόξης, ἢ τῆς ἰδίας φιλοτιμουμένων, καὶ προαιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον, ἢ πλοῦτον μέγαν μετ' ἀδικίας. Καὶ γὰρ οἱ πρόγονοι τοιούτους αὐτοὺς παρασχόντες, τήν τε πόλιν εὐδαιμονεστάτην τοῖς ἐπιγιγνομένοις παρέδοσαν, καὶ τῆς αὐτῶν ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον. Ἐξ ὧν ἀμφότερα ῥᾴδιόν ἐστι καταμαθεῖν, καὶ τὴν χώραν ἡμῶν, ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλλων· καὶ τὴν καλουμένην μὲν ἀρχὴν, οὖσαν δὲ συμφορὰν, ὅτι πέφυκε χείρους ἅπαντας ποιεῖν τοὺς χρωμένους αὐτῇ.

Μέγιστον δὲ τεκμήριον· οὐ γὰρ μόνον ἡμᾶς, ἀλλὰ καὶ τὴν Λακεδαιμονίων πόλιν διέφθειρεν οὕτως, ὥστε τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς, οὐχ οἷόν τ' ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ δημοκρατεῖσθαι, κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν· οἱ δὲ Λακεδαιμόνιοι ταύτην τὴν δύναμιν εἰ παρέλαβον, εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποίησαν. Πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τὴν

fas eſt æmulari, ſed eorum multò potiùs qui has res quas modò dixi maximè amplectuntur, neque minùs exiſtimationi publicæ quàm ſuæ ſtudent, quique vitam mediocrem cum æquitate conjunctam eligunt potiùs quàm ingentes opes per injuſtitiam quæſitas. Etenim majores noſtri quum ſe tales præbuiſſent, & poſteris florentiſſimam rempublicam tradiderunt, & immortalem virtutis ſuæ memoriam reliquerunt. Undè utrumque facilè perſpicitur, tùm noſtram regionem viros aliis præſtantiores alere poſſe, tùm illud quod imperium nomine, reverà infortunium eſt, ejuſmodi eſſe ut nos omnes qui illo utuntur deteriores efficiat.

Cujus rei illud maximum ſignum eſt, quòd non ſolùm nos, ſed etiam Lacedæmoniorum urbem ità corrupit, ut qui virtutes eorùm prædicare ſolent, jam non dicere queant nos ob popularem ſtatum malè rem geſſiſſe, Lacedæmonios verò, ſi eamdem poteſtatem ſuſcepiſſent, & ſemetipſos & alios felices fuiſſe reddituros. Nam ea poteſtas quod ſuum eſſet ingenium, in illis multò celeriùs

[l. 11.] *Δύναται*, Ald. habet *δύναιτο*.

αὐτῆς. Τὴν γὰρ πολιτείαν, ἣν ἑπτακοσίοις ἔτεσιν οὐδεὶς οἶδεν οὔθ' ὑπὸ κινδύνων, οὔθ' ὑπὸ συμφορῶν κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλευθῆναι, καὶ λυθῆναι παρὰ μικρὸν ἐποίησεν. Ἀντὶ γὰρ τῶν καθεστώτων παρ' αὐτοῖς ἐπιτηδευμάτων, τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥαθυμίας, ἀνομίας, φιλαργυρείας· τὸ δὲ κοινὸν τῆς πόλεως, ὑπεροψίας μὲν τῶν συμμάχων, ἐπιθυμίας δὲ τῶν ἀλλοτρείων, ὀλιγωρείας δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν. Τοσοῦτον γὰρ ὑπερεβάλοντο τοὺς ἡμετέρους τοῖς εἰς τοὺς Ἕλληνας ἁμαρτήμασιν, ὅσον πρὸς τοῖς προτέροις ὑπάρχουσι, σφαγὰς καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποιήσαντο· ἐξ ὧν ἀειμνήστους τὰς ἔχθρας πρὸς ἀλλήλους ἔχουσιν. Οὕτω δὲ φιλοπολέμως καὶ φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένως μᾶλλον τῶν ἄλλων ἔχοντες, ὥστ' οὐδὲ τῶν συμμάχων, οὐδὲ τῶν εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν· ἀλλὰ βασιλέως μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον ἢ πεντακισχίλια τάλαντα παρασχόντος· Χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων συγκινδυνευσάντων τῷ ναυτικῷ· Θηβαίων δὲ μεγίστην εἰς τὸ πεζὸν ἰσχὺν συμβαλομένων, οὐκ ἔφθησαν τὴν ἀρχὴν κατα-

---

[l. 1.] Hîc Isocrates disertè tradit ætatem quâ vixit

declaravit. Quam enim rempublicam per ſeptingentos annos, nemo neque bellis, neque caſibus aliis, labefactatam eſſe noverat, eam exiguo tempore ità concuſſit, ut parùm abeſſet quin funditùs everteretur. Et verò pro ſtudiis quæ apud ipſos olim vigebant, cùm privatos homines injuſtitiâ, ſocordiâ, iniquitate, avaritiâ, tùm ipſam rempublicam contemptu ſociorum, alienorum appetitione, neglectu jurisjurandi ac fœderum, replevit. Siquidem tantò graviùs Græcos quàm noſtri afflixerunt, ut præter ceteras injurias, cædibus etiam & ſeditionibus turbarent civitates; undè cives etiamnum immortales inter ſe inimicitias exercent. Ità verò bellorum & periculorum facti ſunt ſtudioſi, quum ſuperiori tempore in ejuſmodi rebus cautiores aliis fuiſſent, ut neque ſociis, neque ſuis ipſorum benefactoribus, parcerent. Sed quamvis Perſarum rex, ad bellum contrà nos geſtum, ampliùs quinque millia talentûm eis ſuppeditaſſet; quamvis Chii ex omnibus ſociis ſecum unà copiis navalibus promptiſſimè dimicaſſent; quamvis Thebani plurimùm ad pedeſtres ipſorum copias contuliſſent: vix tamen principatum occupaverant, & Thebanis in-

---

Lycurgus Lacedæmoniorum legiſlator, de quâ Plutarchus dubitat.

[l. 23.] Poſt πεζὸν addidi ἰσχὺν cum Battie; poſſet etiam addi δύναμιν vel μέριδα.

χόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν· ἐπὶ δὲ τὸν βασιλέα, Κλέαρχον καὶ στρατιὰν ἐξέπεμψαν· Χίων δὲ τοὺς πρώτους μετὰ τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας, ᾤχοντο λαβόντες. Οὐκ ἤρκεσεν δ' αὐτοῖς ταῦτα ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους ἐπόρθουν μὲν τὴν ἤπειρον, ὕβριζον δὲ τὰς νήσους, ἀνῄρουν δὲ τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας, καὶ τυραννίδας καθίστασαν, ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον, καὶ μεστὴν πολέμων καὶ στάσεων ἐποίησαν. Ἐπὶ ποίαν γὰρ τῶν πόλεων οὐκ ἐστράτευσαν; ἢ περὶ τίνας αὐτῶν οὐκ ἐξήμαρτον; οὐκ Ἠλείων μὲν μέρος τι τῆς χώρας ἀφείλοντο; τὴν δὲ γῆν τῶν Κορινθίων ἔτεμον; Μαντινέας δὲ διῴκισαν; Φλιασίους δὲ ἐξεπολιόρκησαν; εἰς δὲ τὴν Ἀργείων ἐνέβαλον; οὐδὲν δ' ἐπαύοντο, τοὺς μὲν ἄλλους κακῶς ποιοῦντες, αὑτοῖς δὲ τὴν ἧτταν τὴν ἐν Λεύκτροις παρασκευάζοντες; ἣν φασί τινες αἰτίαν γενέσθαι τῇ Σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες. Οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις, καὶ ταύτην ἡττήθησαν, καὶ περὶ τῆς αὐτῶν

[l. 1 & seq.] Θηβαίοις ἐπεβούλευσαν, nempè, occupatâ ipsorum arce contrà fœdus. Ἐπὶ δὲ τὸν βασιλέα . . . .

ſidiati ſunt, & contrà Perſarum regem Clearchum cum exercitu miſerunt, & Chiorum principes cives in exilium egerunt, eorumdemque triremes omnes è navalibus abſtractas ſecum avexerunt. Neque illis ſatis fuit hæc deliquiſſe, ſed iiſdem temporibus & Aſiam vaſtârunt, & inſulas vexârunt, & Italicas & Siculas reſpublicas abrogârunt, & tyrannica imperia conſtituerunt, & Peloponneſum afflixerunt, belliſque ac ſeditionibus compleverunt. Etenim quamnam illi non oppugnârunt civitatem? quoſnam è ſociis non aliquâ læſerunt injuriâ? non Éleis agri partem ademerunt? non Corinthiorum regionem populati ſunt? non Mantineam in vicos redegerunt? non Phliuntem expugnârunt? non Argivorum agros incursârunt? Unquamne & alios exagitare, & cladem ſibi Leuctricam præparare deſtiterunt? Quam qui aiunt malorum Spartæ fuiſſe cauſam, à vero aberrant. Nec enim ob eam ſociorum odia ſuſceperunt; ſed ob ſuperiorum temporum injurias, & hanc cladem

---

hæc accuſatoriè ſcribuntur contrà hiſtoriam: nam Clearchus, Lacedæmonius exul, collectâ latronum manu, Cyro minori, fratrem Artaxerxem oppugnanti, operam navabat. Quantùm ad facta quæ ſequuntur, non noſtrûm eſt ea referre ſigillatìm: conſulatur hiſtoria, vel fides ſit penes oratorem.

[l. 13.] Αὐτῶν, nempè, τῶν πολίων. Hìc autem agitur præſertìm de urbibus ſociorum.

ἐκινδύνευσαν. Χρὴ δὲ τὰς αἰτίας ἐπιφέρειν, οὐ τοῖς κακοῖς τοῖς ἐπὶ τῇ τελευτῇ γιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων, ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν. Ὥστε πολὺ ἄν τις πῶς οὐκ ἂν ἀληθέστερα τυγχάνοι λέγων, εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον, ἐκτῶντο τε δύναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ; Διὰ μὲν γὰρ τῆς κατὰ γῆν ἡγεμονίας εὐταξίαν καὶ τὴν καρτερίαν τὴν ἐν αὐτῇ μελετωμένην, ῥᾳδίως τῆς κατὰ θάλατταν ἀρχῆς ἐπεκράτησαν· διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ ταύτης τῆς ἀρχῆς αὐτοῖς γεγενημένην, ταχέως κἀκείνης τῆς ἡγεμονίας ἐστερήθησαν. Οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον, οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ᾽ ἐν τοῖς ἤθεσιν ἐνέμενον, οἷς πρότερον εἶχον· ἀλλ᾽ ὑπολαμβάνοντες ἐξεῖναι ποιεῖν αὐτοῖς, ὅ,τι ἂν βουληθῶσιν, εἰς πολλὴν ταραχὴν κατέστησαν. Οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν, ἧς πάντες εὔχονται τυχεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ᾽ ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ᾽ ὅτι τὴν φύσιν ὁμοίαν ἔχει ταῖς ἑταίραις, ταῖς ἐρᾶν μὲν ἑαυτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις.

Καί τοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν. Τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενη-

ſubierunt, & de ſuâ ipſorum patriâ dimicârunt. Cauſas autem malorum non oportet in ea transferre quæ poſtremò acciderunt, ſed in prima delicta è quibus ad hunc finem illi ſunt delati. Quomodo quis igitur non veriùs dixerit, ſi dicat tunc principium calamitatum omnium illis extitiſſe, quandò maris principatum acceperunt, & poteſtatem obtinuerunt nequaquam illi veteri ſimilem? Nam & ob terreſtris imperii diſciplinam, & tolerantiam laborum indè profectam, maris principatum facilè acquiſiverunt; & ob hujus principatûs licentiam, illud quoque imperium celeriter amiſerunt. Nec enim ſervabant leges à majoribus acceptas, neque inſtituta vetera retinebant; ſed quod libuiſſet, idem ſibi licere rati, in turbas maximas inciderunt. Non intelligebant ſcilicet quàm intractabilis ſit poteſtas iſta cujus aſſequendi deſiderio omnes tenentur; nec quomodo eos qui ipſam adamant delirare faciat; nec quòd idem habeat ingenium ac meretrices, quæ quum ad ſui amorem alliciant, amatorem perdunt.

Fuſioribus verbis concluditur articulus de maris imperio.

Atqui manifeſtis exemplis demonſtratum eſt, hanc ipſius eſſe vim & naturam. Eos enim qui im-

[l. 16.] Vulg. ἂν ἔμενον, dedi ἐνέμενον quod dant etiam codd. H., K, N.

μένους, ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας, ἀρξάμενος ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων. Αὗται γὰρ αἱ πόλεις καὶ πολιτευόμεναι πρότερον σωφρονέστατα, καὶ δόξαν ἔχουσαι καλλίστην, ἐπειδὴ ταύτης ἔτυχον, καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διήνεγκαν· ἀλλ', ὥσπερ προσήκει τοῖς ὑπὸ τῶν αὐτῶν ἐπιθυμιῶν καὶ τῆς αὐτῆς νόσου διεφθαρμένοις, καὶ ταῖς πράξεσι ταῖς αὐταῖς ἐπεχείρησαν, καὶ τοῖς αὐτοῖς ἁμαρτήμασι παραπλησίως ἐχρήσαντο, καὶ τὸ τελευταῖον ὁμοίως ταῖς συμφοραῖς περιέπεσον. Ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ τῶν συμμάχων, καὶ περὶ ἀνδραποδισμοῦ κινδυνεύσαντες, ὑπὸ Λακεδαιμονίων ἐσώθημεν· ἐκεῖνοί τε πάντων αὐτοὺς ἀπολέσαι βουληθέντων, ἐφ' ἡμᾶς καταφυγόντες, δι' ἡμῶν τῆς σωτηρίας ἔτυχον. Καίτοι πῶς χρὴ τὴν τοιαύτην ἀρχὴν ἐπαινεῖν, τὴν τὰς τελευτὰς οὕτω πονηρὰς ἔχουσαν; πῶς δ' οὐ μισεῖν καὶ φεύγειν τὴν οὕτω δεινὰ καὶ πολλὰ ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν, καὶ παθεῖν ἀναγκάσασαν;

Οὐκ ἄξιον δὲ θαυμάζειν εἰ τὸν ἄλλον χρόνον ἐλάνθανεν ἅπαντας, τοσούτων οὖσα κακῶν αἰτία τοῖς ἔχουσιν αὐτήν, οὐδ' εἰ περιμάχητος ἦν ὑφ' ἡμῶν καὶ Λακεδαιμονίων· εὑρήσετε γὰρ τοὺς πλείστους τῶν ἀνθρώπων περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτάνοντας, καὶ πλείους μὲν ἐπιθυμίας

modicâ

modicâ poteſtate donati ſunt, in maximas incidiſſe calamitates videas, ſumpto à nobis & Lacedæmoniis initio. Siquidem hæ duæ civitates, quum priùs ſummâ modeſtiâ publicam rem gererent, optimâque exiſtimatione eſſent, ſimul atque hanc poteſtatem ſunt adeptæ, & principatum acceperunt, fortunam expertæ ſunt minimè diverſam; & ut iis contingere ſolet qui iiſdem libidinibus eodemque morbo laborant, eadem aggreſſæ facinora, paribusque delictis involutæ, ſimili tandem ruinâ proſtratæ conciderunt. Nam & nos odiis ſociorum ſuſceptis, & republicâ in extremum diſcrimen adductâ, à Lacedæmoniis conſervati ſumus: & illi, quum in ipſorum exitium omnes conſpiraſſent, confugientes ad nos ſalutem à nobis obtinuerunt. Atenim quomodo iſtud laudandum eſt imperium cujus ſunt tàm mali exitus? Ac quomodo non convenit ipſum odiſſe & averſari, quod utramque civitatem ità gravia & multa ut facerent impulerit, & ut paterentur coegerit?

Neque verò mirandum eſt ſuperiori tempore omnes latuiſſe quantùm malorum hoc importaret, aut nos & Lacedæmonios armis de eo contendiſſe. Nam pleroſque mortalium invenietis in eligendis rebus allucinari, & vehementiori malarum re-

ἔχοντας τῶν κακῶν ἢ τῶν ἀγαθῶν, ἄμεινον δὲ βουλευομένους ὑπὲρ τῶν ἐχθρῶν ἢ σφῶν αὐτῶν. Καὶ ταῦτ᾽ ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων. Τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμεῖς μὲν ταῦτα περιηρήμεθα πράττειν ἐξ ὧν Λακεδαιμόνιοι τῶν Ἑλλήνων δεσπόται κατέστησαν· ἐκεῖνοι δ᾽ οὕτω κακῶς προὔστησαν τῶν πραγμάτων, ὥσθ᾽ ἡμᾶς οὐ πολλοῖς ἔτεσιν ὕστερον, πάλιν ἐπιπολάσαι καὶ κυρίους γενέσθαι τῆς ἐκείνων σωτηρίας; οὐχ ἡ μὲν τῶν ἀττικιζόντων πολυπραγμοσύνη, λακωνίζειν τὰς πόλεις ἐποίησεν; ἡ δὲ τῶν λακωνιζόντων ὕβρις, ἀττικίζειν τὰς αὐτὰς ταύτας ἀνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων πονηρίαν, αὐτὸς ὁ δῆμος ἐπεθύμησε τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης; διὰ δὲ τὴν τῶν τριάκοντα μανίαν, πάντες δημοτικώτεροι γεγόναμεν τῶν Φυλὴν καταλαβόντων; Ἀλλὰ γὰρ ἐπὶ τῶν ἐλαττόνων, καὶ τοῦ βίου τοῦ καθ᾽ ἡμέραν, ἐπιδείξειεν ἄν τις πολλοὺς χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν· ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας, ἀφ᾽ ὧν ἀμφότερα ταῦτ᾽ ἂν ὠφελοῖντο· καὶ καρ-

---

[l. 14 & ſeq.] Ἐπὶ τῶν τετρακοσίων = Piſandri aliorumque conjuratione prævalente, populus tandem conſenſit ut eligerentur quadringenti viri qui rempublicam adminiſ-

rum quàm bonarum flagrare desiderio, & hostibus meliùs consulere quàm sibimetipsis: id quod in maximis negotiis cernitur. Quid enim non ità evenit? nonne & nos ea suscepimus agenda quibus effectum est ut Lacedæmonii Græciæ dominatu potirentur? nonne illi sua tàm malè administrârunt, ut nos paucis annis elapsis emergeremus, & salus eorum in potestate nostrâ sita esset? non atticis partibus faventium nimius ardor fecit ut partes Lacedæmoniorum urbes sequerentur? non injuriæ Lacedæmoniis studentium easdem studere Atheniensibus coegerunt? non ob oratorum improbitatem, ipse populus oligarchiam concupivit sub Quadringentis constitutam? non ob triginta tyrannorum insaniam, statûs popularis cupidiores facti sumus quàm ii qui Phylen occupârunt? Atque adeò rebus etiam in minoribus & vitâ quotidianâ, aliquis ostenderit multos cibis & exercitationibus delectari quæ & corpus & animum lædunt, ea verò existimare laboriosa nimis & difficilia quibus utraque hæc juvarentur, eosque videri constantes

---

trârent. Ἐπὶ τῶν τριάκοντα = Lacedæmonii victores, & Athenarum domini facti, triginta cives elegerunt qui civitatem sub ipsorum beneplacito regerent. Τῶν Φυλὴν καταλαβόντων = Phyle, castellum Atticæ, quod exules sub triginta tyrannis, Thrasybulo duce, occupârunt.

πιεικεῖς εἶναι δοκοῦντας, τοὺς ἐν τούτοις ἐμμένοντας. Εἴ τινες οὖν, ἐν οἷς ἀεὶ ζῶσι, καὶ περὶ ὧν αὐτοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, τί θαυμαστὸν εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἀγνοοῦσι, καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς πώποτε λογισμὸς αὐτοῖς εἰσῆλθεν;

Ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς, καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν, ὥστε κατασχεῖν αὐτάς· αἷς τί τῶν δεινῶν, τί τῶν χαλεπῶν οὐ προσέστιν; Οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν τοσούτοις κακοῖς εἰσὶν ἐμπεπλεγμένοι, ὥστ᾽ ἀναγκάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δὲ τούτους ὑφ᾽ ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ καὶ τοῖς φίλοις καὶ τοῖς ἑταίροις τοῖς ἑαυτῶν, παρακατατίθεσθαι δὲ τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώποις, οὓς οὐδεπώποτε εἶδον, καὶ μηδὲν ἧττον φοβεῖσθαι τοὺς φυλάττοντας, ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω δ᾽ ὑπόπτως πρὸς ἅπαντας ἔχειν, ὥστε μηδὲ τοῖς οἰκειοτάτοις θαρρεῖν πλησιάζοντας; Εἰκότως· συνίσασι γὰρ τοὺς πρὸ αὐτῶν τετυραννηκότας, τοὺς μὲν ὑπὸ γονέων ἀνῃρημένους, τοὺς δ᾽ ὑπὸ παίδων, τοὺς δ᾽ ὑπ᾽ ἀδελφῶν, τοὺς δ᾽ ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος αὐτῶν

qui in pravis hisce institutis permanserint. Si quos igitur in iis sine quibus vivere nequeunt, & quæ magis curant, constet deteriora eligere, quid miri est si quale sit maris imperium ignorant, deque eo armis contendunt de quo nunquam ut par est cogitatum sit?

Regna item videte in liberis civitatibus constituta, quàm multos habeant amatores, & eos qui perpeti quidvis non recusent, ut ea ipsa obtineant quibus quid periculorum, quid ærumnarum non inest? Annon mox dominatu suscepto, tot malis impliciti sunt, ut cogantur cum universis civibus bellum gerere, & eos odisse à quibus non sunt offensi, & amicis sociisque suis diffidere, ac salutem suam mercenariorum militum fidei credere quos nunquam viderunt, & custodes non minùs formidare quàm insidiatores, atque ità suspicioso ergà omnes esse animo, ut cum conjunctissimis etiam dùm versantur, non confidant? Nec id sanè injuriâ. Nôrunt enim eos qui tyrannidem antehac occupârunt, alios à parentibus interemptos esse, alios à liberis, alios à fratribus, alios ab

ἐξ ἀνθρώπων ἠφανισμένον· ἀλλ' ὅμως ὑπὸ τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς ὑποβάλλουσιν. Ὅπου δ' οἱ πρωτεύοντες, καὶ δόξας μεγίστας ἔχοντες, τοσούτων κακῶν ἐρῶσι, τί δεῖ τοὺς ἄλλους θαυμάζειν, εἰ τοιούτων ἔργων ἐπιθυμοῦσιν;

Οὐκ ἀγνοῶ δ' ὅτι τὸν μὲν περὶ τῶν τυράννων λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς δυσκόλως ἀκούετε. Πεπόνθατε γὰρ ἅπαν αἴσχιστον. Ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ' ἐφ' ὑμῶν ἀγνοεῖτε αὐτῶν. Καίτοι τῶν φρονίμως διακειμένων, οὐκ ἔλαττον τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐτὰς πράξεις ἐπὶ πάντων ὁμοίως φαίνονται γνωρίζοντες. Ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν. Ἀλλὰ τὰς μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι, καὶ βλαβερὰς οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτάς, τὴν δ' ἀρχὴν τὴν κατὰ θάλατταν, μεγίστων ἀγαθῶν αἰτίαν, τὴν οὐδὲν, οὔτ' ἐν τοῖς πάθεσιν, οὔτ' ἐν ταῖς πράξεσι τῶν μοναρχιῶν διαφέρουσαν. Καὶ τὰ μὲν τῶν Θηβαίων πράγματα, νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους ἀδικοῦσιν· αὐτοὶ δ' οὐδὲν βέλτιον τοὺς συμμάχους διοικοῦντες, ἢ ἐκεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα τὰ δέοντα πράττειν.

Ἢν οὖν ἐμοὶ πείθησθε παυσάμενοι τοῦ πάντα-

uxoribus; quin & genus ipsorum funditùs esse extirpatum. Attamen in infinitas calamitates seipsos spontè conjiciunt. Jam verò si viri principes, & maximâ præditi autoritate, tanta mala sic adamant, ceteros ejusmodi res appetere quis miretur?

Non autem me præterit quòd orationem quidem de tyrannis approbetis, eam verò quæ de maris imperio habita est ægrè audiatis. Omnium enim turpissimum quiddam vobis usuvenit. Nempè quæ in aliis vos perspicitis, ea in vobismetipsis ignoratis. Atqui prudentiæ non minimum illud signum est, de iisdem rebus eodem modo in omnibus judicare. Quorum vobis nihil unquam curæ fuit. Sed imperia tyrannica, & molesta & perniciosa, non aliis tantùm, verùm & ipsis tyrannis arbitramini; iidemque maris imperium suspicitis tamquam maximorum bonorum fontem, quum reverâ nihil à monarchiis differat, sive ad actiones spectetur, sive ad calamitates. Et Thebanorum quidem res malè se habere creditis, quòd finitimis molesti sint: vos autem qui nihilo estis æquiores in socios quàm illi in Bœotios, nullâ in re officio vosmet deesse persuasum habetis.

Itaque si, omissis omninò consiliis inanibus,

[l. 12.] Post τὰς addidi αὐλὰς cum Battie. Ald. Med. & Cod. X habent τὰς αὐλὰς ταύλας.

πᾶσιν εἰκῇ βουλεύεσθαι, προσέξετε τὸν νοῦν ὑμῖν αὐτοῖς καὶ τῇ πόλει, καὶ φιλοσοφήσετε καὶ σκέψεσθε τί τὸ ποιῆσαν ἐστὶ τὰ πόλεε ταύτα (λέγω δὲ τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων) ἐκ ταπεινῶν μὲν πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν, ἄρξαι τῶν Ἑλλήνων, ἐπεὶ δ' ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀνδραποδισμοῦ κινδυνεῦσαι· καὶ διὰ τίνας αἰτίας Θετταλοὶ μὲν μεγίστους πλούτους παραλαβόντες, καὶ δύναμιν μεγίστην καὶ πλείστην ἔχοντες, εἰς ἀπορίαν καθεστήκασι· Μεγαρεῖς δὲ, μικρῶν αὐτοῖς καὶ φαύλων τῶν ἐξ ἀρχῆς ὑπαρχόντων, καὶ γῆν μὲν οὐκ ἔχοντες, οὐδὲ λιμένας, οὐδὲ ἀργύρεια, πέτρας δὲ γεωργοῦντες, μεγίστους τῶν Ἑλλήνων οἴκους κέκτηνται· κἀκείνων μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων αὐτοῖς πλέον ἢ τρισχιλίων ἱππέων, καὶ πελταστῶν ἀναριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες, τὴν αὐτῶν ὅπως βούλονται διοικοῦσι· καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς ἀεὶ πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πελοποννησίων, καὶ Θηβαίων, καὶ τῆς ἡμετέρας πόλεως, οἰκοῦντες, τὴν εἰρήνην ἄγοντες διατελοῦσιν. Ἢν γὰρ ταῦτα, καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτοὺς, εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν, τῶν

[l. 10.] Εἰς ἀπορίαν, nempè, πραγμάτων.

mihi obtemperaveritis, convertetis animum & ad vos ipſos & ad rempublicam, atque attentâ mente ſpectabitis quidnam ſit illud quod effecerit ut ambæ civitates, noſtram dico & Lacedæmoniorum, ab exiguis profectæ initiis, Græcis imperârint, ac deinceps, auctâ in immenſum potentiâ, de excidio dimicârint: & ob quas cauſas Theſſali quidem, quum maximas opes à majoribus accepiſſent, & potentiam maximam ampliſſimamque eſſent adepti, in ſummas anguſtias adducti ſint; Megarenſes autem, quum res ipſis ab initio parvæ eſſent ac tenues, quum agrum non haberent, neque portus, neque argentifodinas, ſed ſaxa excolerent, ampliſſimas tamen inter Græcos facultates nunc poſſideant: & cur illorum quidem arces ſemper teneant alii, quum ipſis adſint tria millia equitum ampliùs & parmati innumeri; hi autem, quum ipſorum copiæ ſint exiguæ, ſuam rempublicam ſuo arbitratu adminiſtrent: ad hæc, cur illi bella inteſtina perpetuò gerant; hi, licet inter Peloponnenſes & Thebanos & noſtram urbem habitent, in pace continuò vivant. Si enim hæc & talia apud vosmetipſos animo percurreritis, reperietis intemperantiam quidem & ſuperbiam malorum cauſam

[l. 22.] Vulg. εἰ, admiſi ἢν cum edit. Baſ. Med. & Battie.

κακῶν αἰτίαν γιγνομένην, τῆς δὲ σωφροσύνης, τῶν ἀγαθῶν. Ἣν ὑμεῖς ἐπὶ μὲν τῶν ἰδίων ἐπαινεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν, καὶ βελτίστους εἶναι τῶν πολιτῶν· τὸ δὲ κοινὸν ὑμῶν οὐκ οἴεσθε δεῖν τοιοῦτο παρασκευάζειν. Καίτοι προσήκει τὰς ἀρετὰς ἀσκεῖν, καὶ τὰς κακίας φεύγειν, καὶ πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. Ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς, τυχὸν ἂν φθάσειε τελευτήσας, πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν, ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων, καὶ τὰς παρὰ τῶν θεῶν, τιμωρίας.

Ὧν ἐνθυμουμένους, χρὴ μὴ προσέχειν τὸν νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις, μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότερον, ἐπειδὴ παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν, ὥστε παθεῖν αὐτὴν οἷάπερ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην. Ὃ καὶ πάντων μάλιστ' ἄν τις θαυμάσειεν, ὅτι προχειρίζεσθε δη-

---

[l. 4.] Βελτίστους, vulg. βελτίους.

[l. 5.] Τοιοῦτο, scilicet τὴν σωφροσύνην, & regitur à παρασκευάζειν.

esse, modestiam verò, bonorum. Quam vos in privatis rebus laudatis, & ejus studiosos maximè in tuto versari, & civium optimos esse creditis, sed curandum non putatis ut vestra respublica modestè gubernetur. Atqui & virtutes colere & vitia fugere, decet etiam civitates, idque multò magis quàm homines privatos. Nam vir impius & improbus fortasse priùs obierit quàm det scelerum pœnas: civitates verò, ob immortalitatem suam, quodammodo stant & divinam & humanam animadversionem expectantes.

Pravorum demagogorum reprehensio vehemens, & admonitio paulò fusior iis non esse auscultandum.

Quibus consideratis, non iis vos auscultare oportet qui in præsentiâ jucunda dicunt, dùm futuri temporis nullam rationem habent; nec iis qui se studere populo profitentur, dùm totam evertunt rempublicam. Nam & olim istiusmodi homines, postquam in concionibus regnare cœperint, in tantam amentiam civitatem perduxerunt, ut ea pateretur qualia paulò antè commemoravi. Quod omnium maximè quis miretur, vos populi modera-

---

[l. 9.] Τελευτήσας, vulg. τελευτῆσαι.
[l. 11.] Ὑπομένουσι hîc non, sufferunt; sed, expectant.
[l. 17.] Ὡς hîc, ut sæpiùs aliâs, significat, quia.

μαγωγοὺς, οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχοντας τοῖς μεγάλην τὴν πόλιν ποιήσασιν, ἀλλὰ τοὺς ὅμοια καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν· καὶ ταῦτα εἰδότες, οὐ μόνον τοῦ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων πολλοῖς ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων, ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν· καὶ τὰς φυγὰς τὰς ἐπὶ τῶν τυράννων, καὶ τὰς ἐπὶ τῶν τριάκοντα γεγενημένας, οὐ διὰ τοὺς συκοφάντας κατελθούσας, ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους, καὶ μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντας.

Ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων, ἐξ ὧν ἀφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ' ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχὰς ἃς αὐτοὶ πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτωκότας, τούτους δὲ ἐκ πενήτων πλουσίους γεγενημένους· οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθο-

[l. 9, 10 & 11.] Τὰς φυγὰς κατελθούσας, i. e. τοὺς φυγάδας κατελθόντας. Deindè, ἐπὶ τῶν τυράννων, sub tyrannis, nempè, sub Pisistratidis.

[l. 11.] Συκοφάντης, propriè, is qui defert fures

tores eligere, non eos qui eodem ſunt animo quo illi qui rempublicam amplificaverunt, verùm eos qui dicunt & agunt eadem quæ ii qui ipſam everterunt. Idque quum ſciatis, non eò ſolùm præſtare improbis bonos viros, quòd hi civitatem beatam efficiant; ſed democratiam inſuper his gubernantibus multos per annos neque motam neque mutatam eſſe, ſub iſtis verò per breve tempus bis jam eſſe diſſolutam: quin & eos quos tyranni & triginta viri in exilium egerant, non per ſycophantas revocatos eſſe in patriam, ſed per eos qui tales oderunt & ob virtutem maximè celebrantur.

Attamen, tanta licet nobis relicta ſint monumenta, per quæ perſpicitur quid ex utrorumque adminiſtratione reſpublica vel commodi vel detrimenti acceperit; ſic oratorum improbitate delectamur, ut, quum videamus ob bella & turbas ab iſtis excitatas, ceterorum quidem civium permultos è patriis bonis excidiſſe, hos verò è pauperibus factos eſſe divites, non indignemur, nec

---

ficuum, quorum arbores frequentes erant in ſolo Attico. Dicebatur de omni viro qui alios calumniis, accuſationibus, delationibus, vexare gaudet & profitetur.

[l. 14 & 15.] Poſt ἐξ ὧν ſupplendum videtur φαίνεται τι, ex quibus apparet quid. Ἔπραττεν, jam obſervavimus quo ſenſu ſæpiùs accipiatur verbum πράττω, nempè, vivo, ſorte utor.

νοῦμεν ταῖς δυσπραξίαις αὐτῶν, ἀλλ' ὑπομένομεν τὴν πόλιν διαβολὰς ἔχουσαν, ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας· καὶ τὸν μὲν δῆμον, ὃν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων, οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθὸν, τούτους διὰ τὴν ἄνοιαν τὴν ἡμετέραν ἐκ ταπεινῶν εὐδαίμονας γεγενημένους. Καίτοι Περικλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς καταστὰς, παραλαβὼν τὴν πόλιν, χεῖρον μὲν φρονοῦσαν ἢ πρὶν κατασχεῖν τὴν ἀρχὴν, ἔτι δ' ἀνεκτῶς πολιτευομένην, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν· ἀλλὰ τὸν μὲν οἶκον ἐλάττω τὸν ἑαυτοῦ κατέλιπεν, ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν, ἐς δὲ τὴν ἀκρόπολιν ἀνήνεγκεν ὀκτακισχίλια τάλαντα, χωρὶς τῶν ἱερῶν. Οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν μὲν τολμῶσιν, ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ δύνανται τοῖς αὐτῶν ἰδίοις προσέχειν τὸν νοῦν· φαίνεται δὲ τὰ μὲν ἀμελούμενα, τοσαύτην εἰληφότα τὴν ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον ἠξίωσαν· τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί φασιν, οὕτω διακείμενον, ὥστε μηδένα τῶν πολιτῶν ζῆν ἡδέως, μήτε ῥαθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι τὴν πόλιν. Οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκάζονται διεξιέναι,

successibus eorum invideamus, sed feramus æquis animis civitatem nostram criminationibus peti, quòd scilicet Græcos exactionibus affligat & vexet, quarum isti fructus percipiunt; & populum quidem, quem aiunt aliis imperare oportere, infeliciorem esse iis qui in oligarchiâ serviunt, istos verò quibus nihil bonorum suppetebat, propter imprudentiam nostram ex humilibus beatos esse factos. Atqui Pericles, qui antè hos reipublicæ præfuit, quum urbem administrandam suscepisset, non quidem ità sanam & moderatam ut fuit antequam principatum adipisceretur, sed mediocriter adhuc constitutam, suis opibus augendis adeò non intentus fuit, ut minorem censum relinqueret quàm à patre acceperat, atque in arcem referret talenta octies mille præter sacras pecunias. Hi autem tantùm ab illo sunt diversi, ut, quum dicere audeant se, ob reipublicæ administrationem, non vacare posse curandæ rei familiari, ea tamen quæ negliguntur, tanta incrementa sumpsisse constet, quanta olim ne à diis quidem precari ausi fuissent; plerosque autem nostrûm sic esse malis oppressos, ut nemo civium jucundè vivat aut tranquillè, sed querelarum & lamentationum plena sit tota civitas. Nam alii pauperiem & inopiam suam coguntur

---

[L. 16.] Ἱερῶν, sub. χρημάτων.

ἢ θρηνεῖν πρὸς σφᾶς αὐτούς· οἱ δὲ τὸ πλῆθος τῶν προσταγμάτων καὶ λῃτουργιῶν, καὶ τὰ περὶ τὰς εἰσφορὰς καὶ τὰς ἀντιδόσεις· ἃ τοιαύτας ἐμποιεῖ λύπας, ὥστ' ἄλγιον ζῆν τοὺς οὐσίας κεκτημένους, ἢ τοὺς συνεχῶς πενομένους.

Θαυμάζω δ', εἰ μὴ δύνασθε συνιδεῖν ὅτι γένος οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητόρων καὶ δημαγωγῶν. Πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς, καὶ τῶν καθ' ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μάλιστα βούλονται σπανίζειν ὑμᾶς. Ὁρῶσι γὰρ τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν, τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων· τοὺς δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας, καὶ τῶν ἐκκλησιῶν, καὶ τῶν ἐντεῦθεν λημμάτων, ὑφ' αὑτοῖς διὰ τὴν ἔνδειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας ταῖς εἰσαγγελίαις, καὶ ταῖς γραφαῖς, καὶ ταῖς ἄλλαις συκοφαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. Ἐν οὖν ταῖς ἀπορίαις, ἐν αἷς αὐτοὶ δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. Τεκμήριον δὲ μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν ἐξ ὅτου τρόπου τοῖς

[l. 1.] Ἢ, vulg. καί. Θρηνεῖν πρὸς σφᾶς αὐτοὺς, lamentari ad ſeipſos, i. e. lamentari intrà privatos parietes.

[Ibid.] Οἱ δὲ, ſubaudi vel potiùs adde μεμφόνται aut

vel

vel aliis enarrare vel plorare ſecum : alii multiplicia edicta, & munera, & tributa, & opum permutationes conqueruntur ; quæ tantas moleſtias pariunt, ut inſuaviùs ii vivant qui rem habent, quàm qui perpetuò pauperes ſunt.

Miror equidem ſi non perſpicere poſſitis, nullum hominum genus inimicius & malevolentius eſſe multitudini quàm oratores improbos & plebis concitatores. Nam præter mala cetera, iſti magnoperè exoptant vos etiam iis indigere quæ ad victum quotidianum ſunt neceſſaria. Quippè vident eos qui de ſuo habent undè vivant, reipublicæ addictos eſſe, & cum eis facere qui optima vobis ſuadent : eos autem qui de judiciis & concionibus victitant, & quæ indè percipiuntur emolumentis, inopiâ coactos à ſe pendere, & magnam habere gratiam delationibus, & accuſationibus, aliiſque calumniis per ipſos factis. Eâ igitur inopiâ per quam ipſi regnant, cives omnes laborare libentiſſimè cernerent. Cujus rei ſignum illud certiſſimum eſt, quòd non inopiæ

---

aliud quid ; niſi mavis ſubaudire ex præcedentibus διεξιέναι ἢ θρηνεῖν πρὸς σφᾶς αὐτούς.

[l. 3.] Ἀντιδόσεις = apud Athenienſes quum aliquis cogeretur, ut dives, munus aliquod obire, poterat eum aggredi quem ſe ditiorem eſſe arbitrabatur, & ad id adigere, vel ut munus pro ſeipſo obiret, vel ut opes ſuas cum ſuis permutaret : hæc permutatio dicebatur ἀντίδοσις.

δεομένοις τὸν βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως καὶ τοὺς ἔχειν τι δοκοῦντας, τοῖς ἀπόροις ἐξισώσουσι.

Τίς οὖν ἀπαλλαγὴ γένοιτ' ἂν τῶν παρόντων κακῶν; διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτε· μᾶλλον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα, πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην.

Ἔστι δ' ἐξ ὧν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως, καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν, ἢν συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵουςπερ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθείημεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν νομίζοντες εἶναι τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ, τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν· γνόντες ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστὶν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν.

Δεύτερον, ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν αὐτοὺς αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς, ὅ,τι ἂν βούλωνται ποιεῖν ἐνδιδῶ-

[l. 4.] Hîc incipit peroratio, in quâ peroratione à τίς οὖν usque ad ἣν οὖν ἐμμείνητε, oratio de perm. multa legit diversa ab his quæ hîc leguntur. Hunc ego locum in

tenuiorum ſtudeant ſuccurrere, verùm eos qui aliquid habere videntur, egentibus exæquare.

PERORATIO.

Ea indicantur per quæ civitas in optimum ſtatum poſſit reſtitui.

Quodnam igitur his malis remedium fiet? Diſſerui jam quidem de his ferè omnibus remediis, non ordine, ſed uti ſingula pro tempore incidebant. Quæ memoriâ tenere vobis licebit magis, ſi, collectis in unum iis quæ maximè ſint neceſſaria, ea rursùs percenſere tentavero.

Per quæ ſcilicet civitatis res emendaverimus, & meliores fecerimus, hæc ſunt: primùm quidem, ſi tales de negotiis publicis conſultores adhibuerimus, quales de privatis habere nobis in voto eſſet, & deſierimus calumniatores populares exiſtimare, honeſtosque viros oligarchicos: id nimirum ſcientes alterutrum horum neminem eſſe naturâ, ſed eam quemque reipublicæ formam expetere maximè, in quâ maximè honoratur.

Secundo loco, ſi voluerimus ſociis eodem modo uti quo amicis, nec, dùm verbo ipſos ſui juris factos dimittimus, reipsâ ducibus noſtris omnem in eos graſſandi licentiam propoſuerimus; nec domi-

---

prædictâ orat. edidi cum interpretatione latinâ.

μεν, μηδὲ δεσποτικῶς, ἀλλὰ συμμαχικῶς, αὐτῶν ἐπιστατῶμεν· ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους ἐσμὲν, ἁπασῶν δὲ ἥττους.

Τρίτον δὲ, ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν, τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν. Τοῖς γὰρ οὕτω διακειμένοις, ἑκόντες καὶ τὰς ἡγεμονίας καὶ σφᾶς αὐτοὺς ἐνδιδόασιν.

Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε, πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις, καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας· οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι, καὶ πολλὴν ἡσυχίαν ἕξουσιν, ὅταν ἴδωσιν ἐφεδρεύουσαν τὴν ἡμετέραν πόλιν, καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. Οὐ μὴν ἀλλ' ὁπότερον ἂν ποιῶσιν, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως. Ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις, ἀπέχεσθαι τούτων

[l. 5.] Vulg. ἡγεῖσθε, legi cum Ald. Med. & Battie, ἡγῆσθε.

[l. 18.] Ἐφεδρεύουσαν — ἔφεδροι in certamine Olym-

norum more, ſed ſociorum, præfuerimus: hoc nempè edocti nos, ut ſingulis civitatibus ſuperiores ſumus, ità univerſis eſſe inferiores.

Tertiùm denique, ſi, præter pietatem in Deos, nihil pluris feceritis quàm apud Græcos benè audire. Nam quos illi ſic animatos viderint, his ultrò & imperia & ſeipſos tradunt.

Ex ſapienti & moderatâ ratione ſecutura commoda.

Quòd ſi ea quæ diximus præſtiteritis, & ità vos comparaveritis, ut & rei militaris exercitatione atque apparatu ſitis bellicoſi, & nihil præter æquum agendo pacis ſtudioſi, non hanc modò rempublicam felicem reddetis, ſed etiam Græcos univerſos. Nec enim ulla ceterarum civitatum eos lædere audebit; ſed verebuntur, cavebuntque ne quid moveant, quandò viderint civitatem noſtram velut è ſpeculâ proſpicientem, & in hoc intentam ut injuriam paſſis opituletur. At verò utrum illæ fecerint, noſtræ res rectè ac præclarè ſe habebunt. Sive enim potentioribus civitatibus viſum fuerit abſtinere

---

pico, ut ſcribit Lucianus, dicebantur pugiles qui expectabant dùm aliquis è concertantibus occubuiſſet, in cujus ipſi locum luctæ ſuccederent. Hinc ἐφεδρεύειν, ſtare in procinctu, eſſe in ſtatione, ac veluti in ſpeculâ proſpicere ne quid mali ingruat.

τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἥν τε ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ᾽ ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξονται, πολλὰς ἱκετηρίας καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν, ἀλλὰ καὶ σφᾶς αὐτούς. Ὥστ᾽ οὐκ ἀπορήσομεν μεθ᾽ ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως συναγωνιζομένους ἡμῖν. Ποία γὰρ ἡ πόλις, ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας, καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους σώζειν καὶ βουλομένους καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; Πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι, τῆς τοιαύτης εὐνοίας παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰσρυήσεσθαι καὶ εἰς τὴν πόλιν, δι᾽ ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ᾽ οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους; Ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν· πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις, καὶ μανίαις πρώτους εὖ φρονήσαντας, προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας, ἀλλὰ μὴ

injuriis, ea felicitas nobis imputabitur: ſive aggrediantur injurias aliis inferre, qui in metu & malis erunt ad nos confugient, & ſupplices à nobis auxilium multis precibus petent. Quare non defuturi ſunt quibuscum delinquentes coerceamus, ſed multos habebimus qui nos promptè adjuvent. Quæ enim civitas, vel quis mortalium noſtram amicitiam & ſocietatem non ducet expetendam, quum eoſdem videant & inſigni juſtitiâ & maximâ potentiâ præditos, & ità paratos ut alios ſervare & poſſint & velint, quum ipſi nullis auxiliis egeant? Quanta verò incrementa ſperandum eſt noſtram civitatem eſſe adepturam, ubi aliorum tanta erit ergà nos benevolentia? Quantas opes in urbem confluxuras, quum univerſa Græcia per noſmet fuerit ſervata? Quantis denique laudibus cumulandos tot ac tantorum bonorum autores? Sed ego propter ætatem oratione omnia complecti non poſſum quæ mente perſpicio; niſi quòd præclarum ſit, in aliorum injuriis & inſaniâ, primos ad ſanam mentem reverſos, Græcorum ſaluti & libertati

---

[l. 12.] Ἀμφότερα, adverbialiter ſumitur, utroque modo, ſimul.

[l. 22.] Διὰ τὴν ἡλικίαν, diximus in fine analyſis hujus orationis, Iſocratem novemdecim & ſeptuaginta annos fuiſſe natum quum hanc ſcriberet.

λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους ἐπ' ἀρετῇ γιγνομένους, τὴν δόξαν τῶν προγόνων ἀναλαβεῖν.

Κεφάλαιον δὲ πάντων ἐκεῖνο ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει, καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. Δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολὰς ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς, καὶ τὰς δυναστείας, ἀναλογιζομένους τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὴν Λακεδαιμονίων βασιλείαν. Ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις· τοσοῦτον δὲ μακαριώτεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες, τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν· ὑπὲρ ἐκείνων δὲ οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν, ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων, καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. Ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης

[l. 4.] Pro πάντων orat. de perm. legit τούτων.
[l. 14 & 15.] Βασιλείαν regnum, i. e. ii qui regnum

præfectos consulere potiùs quàm pestes illorum appellari, & ob virtutem illustres factos avitam gloriam recuperare.

Conclusio totius orationis.

Nunc id dicam quod omnium caput est, quò & omnia prædicta tendunt, & in quod intuentes, quæcumque à civitate nostrâ fiunt æstimare debemus. Nam si cupimus maledicta quibus nunc petimur extinguere, à bellis temerariè susceptis cessare, principatumque in omne tempus possidere, nulla nobis tyrannica imperia, nullæ affectandæ sunt potestates, eorum memores infortuniorum quæ indè oriuntur: imitandi verò & æmulandi sunt Spartani reges; quibus minor est delinquendi potestas quàm hominibus privatis. Tantò autem feliciores sunt iis qui vi tyrannidas tenent, ut horum quidem interfectoribus maxima præmia publicè sint constituta; pro illis verò occumbere in præliis qui dubitant, ignominiosiores habeantur quàm qui deseruerunt ordines, aut clypeos abjecerunt. Talis

---

occupant, nempè, reges, ad quos refertur ἐκείνοις. Itaque τὴν βασιλείαν hîc idem est ac τοὺς βασιλεῖς. Orat. de perm. habet τὰς ἐν Λακεδαίμονι βασιλείας.

[l. 16.] Orat. de perm. μακαριστότατοι.

[l. 19.] Orat. de perm. πολιτευομένων simplex.

ἡγεμονίας. Ἔνεστι δ᾽ ἐν τοῖς τοιούτοις πράγμασιν ἡμᾶς τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τοιαύτης τιμῆς, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν, μὴ δουλείας ἀλλὰ σωτηρίας αὐτοῖς αἰτίαν γενέσθαι.

Πολλῶν δὲ καὶ παντοδαπῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου, καὶ τὸ πλῆθος τῶν ἐμῶν ἐτῶν. Τοῖς δὲ νεωτέροις, καὶ μᾶλλον ἀκμάζουσιν ἢ ἐγὼ, παραινῶ καὶ παρακελεύομαι τοιαῦτα λέγειν καὶ γράφειν ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων, καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν, προτρέψουσιν ἐπ᾽ ἀρετὴν καὶ δικαιοσύνην· ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολλῷ βελτίω γίγνεσθαι.

[l. 1 & 2.] Orat. de perm. ἐν τοῖς πράγμασιν ἡμῶν.



igitur expetendus eſt principatus; & nobis licet, in præſenti rerum ſtatu, eumdem à Græcis honorem conſequi, quem illi à ſuis civibus habent, ſi nempè Græci exiſtimaverint noſtram potentiam ad ipſos non opprimendos, ſed ſervandos, pertinere.

Etſi autem de hoc argumento & multa & varia dici queant, tamen ut dicendi finem faciam utraque me admonent, & orationis longitudo, & annorum meorum multitudo. Adoleſcentes autem, & per ætatem me robuſtiores, moneo & hortor ut ea & dicant & ſcribant, quibus maximas civitates, & aliis mala inferre ſolitas, ad virtutem & juſtitiam incitent. Nam in rebus Græciæ ſecundis, res etiam eruditorum hominum multò fieri meliores conſueverunt.

[l. 6.] Παντοδαπῶν, orat. de perm. καλῶν.
[l. 16.] Πολλῷ, orat. de perm. πολύ.



ANALYSIS
ORATIONIS
INSCRIPTÆ
IN LAUDEM EVAGORÆ.

PROPOSITUM.

ORATIO funebris eſt, ſcripta in laudem Evagoræ, regis Salaminis in Cypro inſulâ, patriſque ejus Nicoclis cui ſecunda & tertia primi editionis hujuſce voluminis orationes ſcriptæ ſunt.

Exordium.

Orator 1°. oſtendit laudis in genere excellentiam, eam comparando cum funebrium honorum pompâ quibus memoriam patris proſecuta eſt Nicoclis pietas.

2°. De iis conqueritur qui priſcos duntaxat heroas celebrabant, contenditque egregios etiam ſuæ ætatis viros à ſcriptoribus eſſe celebrandos.

3°. Demonſtrat quàm difficile ſit oratione ſimplici ſummos viros laudare, quantóque majores ad id efficiendum facultates habeat poeſis quàm oratio.

Confirmatio.

Laudatur Evagoras tùm ab iis quæ præceſſerunt regni recuperationem ab ipſo factam, tùm ab ipsâ regni recuperatione, tùm à præclarâ ejuſdem adminiſtratione.

I. Ab iis quæ præceſſerunt regni recuperationem ab ipſo factam. Celebratur itaque,

1°. Genus Evagoræ; memorantur ipſius majores, & in his Teucer Salaminis Cypriæ conditor.

2°. Per præteritionem varia nativitatis prodigia,

3°. In juventute, optima indoles, modestia, pulchritudo, robur; in virili ætate, fortitudo, sapientia, justitia.

II. Ab ipsâ regni recuperatione. Prædicantur,

1°. Justitia viri & confidentia simul in suscipiendâ re.

2°. Fortis & alacer animus in exequendâ, felixque exitus.

3°. Comparatur facinus illud præclarum cum aliis facinoribus ejusdem generis, præsertímque cum eâ ratione quâ Cyrus Medorum imperium occupavit.

III. A præclarâ regni administratione laudatur Evagoras.

1°. Paulò fusiùs exponitur quibus artibus ille rex paraverit se ad regnandum, & regnaverit.

2°. Enarrantur facta regni præcipua, quomodo feros & asperos Salaminiorum totiusque Cypri insulæ mores mansuefecerit & expoliverit; quàm strenuam operam Cononi junctus navaverit ad debellandos Lacedæmonios, hincque brevis in Cononis laudes digressio; quàm invictâ virtute universas Persici imperii vires sustinuerit, nec corruerit.

3°. Concluditur per vividam & magnificam omnium Evagoræ gestorum repetitionem.

Epilogus.

Varias partes continet Epilogus.

1°. Exaggerationem felicitatis Evagoræ magno spiritu plenam.

2°. Excusationem oratoris imbecillitatis, & orationis commendationem cum statuis & tabellis collatæ.

3°. Solertem & honorificam adhortationem ad Nicoclem filium, ut paternas & avitas virtutes imitetur.

Videtur hæc oratio inscripta fuisse anno antè Christum 374, Isocratis ætatis 62.



ΕὐΑΓΌΡΟΥ

ἘΓΚΏΜΙΟΝ.

ὉΡΩ͂Ν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς, καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριηρῶν ἁμίλλαις, καὶ λείποντα οὐδεμίαν τῶν τοιούτων ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν, καὶ τὴν σὴν μεγαλοπρέπειαν· πολὺ δ᾽ ἂν ἔτι πλείω χάριν ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν, εἴτις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων.

Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ᾽ ἀντὶ τοῦ ζῆν, ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην



EVAGORÆ LAUDATIO.

EXORDIUM.

1°. Quum te viderem, ô Nicocles, patris tui ornare funus, non multitudine duntaxat donorum & pulchritudine, ſed & choris, & muſicâ, & ludis gymnicis, atque etiam equorum triremiumque certaminibus, nihil denique prætermittere quod ad talium rerum amplitudinem addi poſſet; Evagoram equidem (ſi quis eorum quæ hîc fiunt defunctis ſenſus adeſt) exiſtimabam, ut iſta benignè approbare, & libenter ſpectare tantam ſui curam tuamque magnificentiam, ſic multò adhuc majorem gratiam illi habiturum, qui de ſtudiis ſuis & belli certaminibus pro dignitate rerum à ſe geſtarum poſſet eloqui.

Viros enim honoris cupidos & magnanimos inveniemus, non tantùm rebus iſtis laudem anteponere, ſed illuſtrem etiam obitum vitæ præferre, magisque gloriæ quàm ſalutis eſſe ſtudioſos, omniaque facere, ut immortalem ſui memoriam re-

[lineâ 13.] Τῶν ἐκείνῳ πεπραγμένων regitur ab ἀξίως.

καταλείψωσιν. Αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν. Οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις αὐτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. Ὁ δὲ λόγος, εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.

Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵνα οἵ τε δυνάμενοι τὰ τῶν παλαιῶν ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους, ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν· οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν, εἰδότες ὅτι τούτων εὐλογηθήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσι. Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ, τούς τ' ἐπέκεινα γενομένους, ὑμνουμένους καὶ τραγῳδουμένους, ἑαυτὸν δὲ προίδῃ, μηδ' ἂν ὑπερβάληται τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; Τούτων δ' αἴτιος ὁ φθόνος· ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν· ὥσθ' ἥδιον εὐλογουμένων ἀκούειν, οὓς οὐκ ἴσασιν, εἰ γεγόνασιν, ἢν τὶ

linquant

linquant. Sumptus autem ingentes nihil præſtant ejuſmodi, ſed divitiarum ſunt argumentum. Eorum verò qui muſicâ & reliquis certaminibus occupantur, alii ſuis ipſorum viribus, alii artificiis oſtentatis, ſemetipſos honoratiores effecerunt. Oratio autem quæ Evagoræ res geſtas recenſeret commodè, illius virtutem immortali omnium hominum memoriæ commendaret.

2°. Laudare igitur etiam alii debebant eos qui ſuis ipſorum temporibus ſtrenuè ſe geſſiſſent, ut & ipſi qui facta veterum ornare poſſunt, de rebus notis verba facturi, eas auditoribus verè narrarent; & juniores, quum ſcirent ſe magis laudatos fore quàm illos quibus ſeipſos meliores præſtiterint, majore ſtudio virtutis incitarentur. Nunc porrò quis animum non deſpondeat, quum videat eos qui circà Trojana, & eos qui antè illa tempora vixerunt, & hymnis & tragœdiis celebrari; ſe verò ſciat, tametſi illorum virtutes ſuperaverit, tales laudes nunquam conſecuturum. Hujus autem rei cauſa eſt invidia, quæ id duntaxat habet boni, quòd ipſâ laborantibus maximum ſit malum. Ità enim moroſis à naturâ nonnulli facti ſunt ingeniis, ut eos laudari libentiùs audiant quos neſciunt

[l. 11.] Vulg. πολλῶν. Legi παλαιῶν cum edit. Baſ. & Battie.

τούτων, ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν, ἀποδέχεσθαι. Οὐ μὴν δουλευτέον τούς γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν· ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δὲ ἄλλους ἐθιστέον ἀκούειν περὶ ὧν καὶ λέγειν δικαιότερόν ἐστιν. Ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ὁρῶμεν γιγνομένας, καὶ τῶν τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας, καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

Οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες· περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. Τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς θεοὺς οἷόν τ' αὐτοῖς ἐστι ποιῆσαι, καὶ διαλεγομένους, καὶ συναγωνιζομένους, οἷς ἂν βουληθῶσι· καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς· καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν. Τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων· ἀλλ' ἀποτόμως, καὶ

utrùm nati ſint, quàm quidquam probent eorum à quibus ipſi beneficiis ſunt affecti. Enimverò non decet cordatos viros iſtorum ſervire tantæ amentiæ; ſed negligendi tales, & ceteri aſſuefaciendi ut ea audiant quæ dici etiam æquius eſt: præſertìm quum & artes & cetera omnia aucta eſſe videamus, non per eos qui uſitata retinuerunt, ſed per eos qui prava quæque corrigere & movere loco non dubitârunt.

3°. Equidem ſcio quàm ſit difficile id quod facturus ſum, viri virtutem oratione celebrare. Cujus rei hoc maximum ſignum eſt, quòd quum homines eruditi de aliis multis variiſque rebus dicere audeant, de his quæ dico nemo illorum unquam ſcribere aggreſſus fuerit: id quod eis planè ignoſcendum eſſe cenſeo. Nam poetis ornamenta multa conceſſa ſunt. Iis enim licet Deos miſcere hominum cætibus, ac introducere colloquentes, & adjuvantes quoſcumque voluerint; atque hæc eadem explicare verbis non tantùm uſitatis, ſed alia peregrinis, alia novis, alia tranſlatis; nihil denique prætermittere quo poeſim queant omni genere figurarum variare. Oratoribus autem nihil hujuſmodi licet; ſed & breviter loqui, &, cùm verbis vulgatis,

[l. 1.] Τούτων, ſub. περὶ, vel ὄν.

τῶν ὀνομάτων τοῖς πολιτικοῖς, καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις, ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν· οἱ δ᾽ οὐδενὸς τούτων κοινωνοῦσιν. Ἃ τοσαύτην ἔχει χάριν, ὥστ᾽, ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Καταμάθοι δ᾽ ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων, τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δέ, καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ᾽ ἀποπειρατέον ἐστὶ τῶν λόγων, εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.

Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν· ἵνα πάντες εἰδῶσιν ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. Ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι· τούτων δ᾽ αὐτῶν

tùm iis uti ſententiis quas res ipſæ ſuppeditant, penitùs coguntur. Ad hæc, illi verſibus & numeris omnia devinciunt; his numeri & verſus deſunt omninò. Quibus tamen tantùm venuſtatis ineſt, ut, licet neque verba poematum, neque ſententiæ præclaræ fuerint, ipſa concinnitas numerorum aptæque dimenſiones, audientium animos demulceant. Harum autem quanta ſit vis ex eo perſpicitur, quòd etiam laudata poemata, ſi quis, diſſoluto verſu, eorum verba & ſententias reliquerit, multò deteriora videbuntur eâ quam nunc de eis habemus opinione. Ceterùm, quamvis habeat poeſis tanta munera & commoda, non ideò ceſſandum eſt, ſed periculum faciendum an etiam oratione fortes viri ornari poſſint, ac nihilo pejùs quàm ab iis qui carmine & verſu illos concelebrant.

CONFIRMATIO.

I. 1°. Ac primùm de ortu atque natalibus Evagoræ, tametſi complures jam noverint, mihi tamen aliquid, ceterorum causâ, videtur eſſe dicendum; ut intelligant omnes eum à pulcherrimis & maximis exemplis quæ relicta ipſi fuerant nihil degeneraſſe. Nam in confeſſo eſt oriundos à Jove ſemideorum eſſe nobiliſſimos: inter hos ipſos

οὐκ ἔστιν ὅς τις οὐκ ἂν Αἰακίδας προκρίνειεν. Ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας· οὗτοι δὲ ἅπαντες ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι.

Τοῦτο μὲν γὰρ Αἰακὸς, ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, νομίζοντες διὰ τῆς συγγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. Σωθέντες δὲ καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν· ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ τιμὰς μεγίστας ἔχων, παρεδρεύειν ἐκείνοις. Τούτου δὲ παῖδες ἦσαν, Τελαμὼν καὶ Πηλεύς. Ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος, τῶν ἀριστείων ἔτυχε· Πηλεὺς δ' ἐν τῇ μάχῃ τῇ πρὸς

[l. 6.] Τοῦτο μὲν non habet τοῦτο δὲ quod respon-

autem nemo eſt quin Æacidis principatum deferat. In ceteris enim familiis, alios præſtantiores, alios deteriores fuiſſe, inveniemus : hi verò ſuis quique temporibus omnes omnium fuere celeberrimi.

Ac primùm quidem Æacus, Jovis filius, & generis Teucridarum autor, tantùm excelluit, ut ſiccitate exortâ inter Græcos, multisque mortalibus extinctis, quum jam calamitas ad ſummum evecta eſſet, principes urbium ſupplices eum adierint; rati nimirùm ſe per ejus nobilitatem & pietatem, celerrimè urgentium malorum à diis remedium impetraturos. Salutem porrò adepti, votorumque omnium facti compotes, templum in Æginâ, omnium Græcorum nomine, ædificârunt, quo in loco vota ille nuncupârat. Is proindè & quamdiù vixit inter homines, cum maximâ gloriâ vitam peregit ſuam; & poſt obitum, apud Plutonem & Proſerpinam maximis honoribus præditus, illis aſſidere perhibetur. Hujus filii fuerunt Telamon & Peleus: quorum alter, expeditionis Herculanæ contrà Laomedontem ſuſceptæ ſocius, virtutis præmium obtinuit; Peleus autem, quum in pugnâ contrà

deat; hoc enim ob periodi prolixitatem ab oratore omiſſum eſt. Sequitur, mutatâ conſtructione, eâdem p. l. 21, τοῦτε δέ.

Κενταύρους ἀριστεύσας, καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι, τῇ Νηρέως, θνητὸς ὢν, ἀθανάτῳ συνῴκησε· καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γάμοις, ὑμέναιον ᾀσθῆναι. Τούτοιν δ' ἑκατέροιν, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγεννήθη, Πηλέως δ' Ἀχιλλεύς. Οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς. Οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐπρώτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις ἐν οἷς κατῴκουν· ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γινομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν· Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε· Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος, καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον, Σαλαμῖνά τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε. Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι.

Τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου, τὴν βασιλείαν εἶχον· χρόνῳ δὲ ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγάς, καὶ πιστευθεὶς ὑπὸ τοῦ βασι-

Centauros commissâ se fortiter gessisset, & in multis aliis spectatus esset periculis, Thetidem, Nerei filiam, mortalis immortalem, in matrimonium accepit; & hujus solius ex omni vetustatis memoriâ in nuptiis hymenæum Deos cecinisse memoriæ proditum est. Hi ambo habuerunt filios, Telamon Ajacem & Teucrum, Peleus Achillem; qui maximum & clarissimum virtutis suæ specimen ediderunt. Nec enim in suis civitatibus duntaxat principes fuere, nec iis in locis quæ incolebant; sed expeditione à Græcis susceptâ contrà Barbaros, & multis utrimque congregatis, quum nullus vir nominatus mansisset domi, in illis periculis ut Achilles omnibus antecelluit, sic Ajax secundum ab eo virtutis locum obtinuit. Teucer verò, & horum cognatione dignus, & nemine ceterorum inferior, quum in expugnandâ Trojâ strenuam operam navasset, Cyprum advectus, & Salaminem condidit, prioris patriæ huic nomine imposito, & eam quæ nunc regnat, familiam reliquit. Tanta igitur est Evagoræ à majoribus accepta nobilitas.

Urbe autem sic conditâ, initio quidem à Teucro prognati regnum tenuerunt. Insecutis verò temporibus, profectus è Phœniciâ quidam exul, & ab eo qui tunc regnabat receptus in fidem, magnam-

λεύοντος τότε, καὶ δυναστείας μεγάλας λαβὼν, οὐ χάριν ἔχε τούτων· ἀλλὰ κακὸς μὲν γινόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέχεν. Ἀπιστῶν δὲ τοῖς πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς καταστήσασθαι τὰ περὶ αὐτὸν, τήν τε πόλιν ἐξεβαρβάρωσε, καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.

Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων, Εὐαγόρας γίνεται. Περὶ οὗ τὰς μὲν φήμας, καὶ τὰς μαντείας, καὶ τὰς ὄψεις, τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μείζων ἂν φανείη γεγονὼς ἢ κατὰ ἄνθρωπον, αἱροῦμαι καταλιπεῖν· οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ᾽ ἵνα πᾶσι ποιήσω φανερὸν ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται, καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. Ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ.

Παῖς μὲν γὰρ ὢν, ἔχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην· ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστί. Καὶ τούτων ἄν τις μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης, τοὺς συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ δὲ κάλλους, ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης, τοὺς ἀγῶνας ἐν οἷς

que nactus potentiam, non gratiam pro his retulit, sed hospitii jure violato, regni adipiscendi cupidine incensus, ejecit regem de se benè meritum, & ipse solium occupavit. Quum autem ob perpetratum scelus animo diffideret, resque suas vellet in tuto collocare, tùm urbem implevit Barbaris, tùm insulam totam Persarum regi servam tradidit.

2°. Quum res ità se haberent, nascitur Evagoras. De quo quæ fuerint omina, quæ vaticinationes, quæ visiones somniorum, è quibus videatur humanâ conditione major, omittere statui. Non quin minùs credam ea quæ dicuntur, sed ut omnibus faciam manifestum me tantùm abesse ut quidquam rebus ab ipso gestis affingam, ut etiam è veris ea præterierim quæ in paucorum notitiâ, & non in omnium civium conscientiâ, versantur. Dicendi autem de eo ab iis capiam exordium quæ sunt extrà omnem controversiam.

3°. Puer igitur, & formâ, & viribus, & modestiâ (quæ bona eam ætatem maximè decent), excelluit. Atque his de rebus perhiberent testimonium; de modestiâ, cives cum ipso instituti; de formâ, omnes qui ipsum viderunt; de viribus, certa-

ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκράτιστευσεν. Ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο, καὶ σοφία, καὶ δικαιοσύνη, καὶ ταῦτα οὐ μέσως, οὐδ᾽ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ᾽ ἕκαστον αὐτῶν πρὸς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥστ᾽ ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι, καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ᾽ εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν· ὁπότε δ᾽ εἰς τοὺς τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν, ὥστε καὶ εἴ τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν.

Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν. Οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν, οὔτε περὶ ἐκείνους ἐξήμαρτεν· ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ᾽ ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι᾽ ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν· ἐξ ὧν δ᾽ οἷόν τ᾽ ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν, Εὐαγόραν διεφύλαξεν. Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας, τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν ποιήσαιτο. Δια-

mina in quibus æquales ſuperavit. Viro autem jam facto, & hæc omnia unà creverunt, & his acceſſit fortitudo, & ſapientia, & juſtitia. Neque hæ virtutes fuerunt in illo mediocres, neque ut in aliis quibuſdam, ſed ſingulæ excellentes. Tantùm enim & corporis & animi dotibus præſtitit, ut quandò eum viderent ii qui tùm regnabant, percellerentur, regnoque metuerent, exiſtimantes non poſſe fieri ut talis indole ſorte privatâ contentus viveret; iidemque, quum mores ejus intuerentur, tantam ei haberent fidem, ut ipſum ſibi etiam contrà inſidias aliorum adjutorem fore confiderent.

II. 1°. Ac licet hæ duæ illorum de Evagora opiniones adeò inter ſe diſcreparent, neutrâ tamen harum ſunt decepti. Nec enim privatus manſit, neque ergà illos deliquit: ſed ei tàm ſollicitè proſpexit Deus quò honeſtè regno potiretur, ut & ea quæ citrà impietatem peragi non poterant, alius perpetrârit; & ad ea ipſe reſervârit Evagoram per quæ imperium juſtè ſanctéque ſuſciperet. Unus enim procerum, & per inſidias tyrannum occidit, & Evagoram comprehendere conatus eſt, imperium obtinere ſe non poſſe ratus, niſi & illum è medio ſuſtuliſſet. Hic autem quum evitaſſet peri-

---

[l. 22.] Antè Εὐαγόραν certè deeſt aliquid, v. g. ὡς ταῦτα. Codd. K, M, habent Εὐαγόρᾳ διεφύλαξεν.

φυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς Σόλους τῆς Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. Οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν. Ἐκεῖνος δὲ εἰς τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὤν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. Καὶ τὰς μὲν πλάνας τὰς φυγαδικὰς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον, καὶ θεραπεύειν τοὺς αὑτοῦ χείρους, ὑπερεῖδε· λαβὼν δὲ ταύτην τὴν ἀφορμήν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖς βουλομένους ἀμύνεσθαι, καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους, ὡς οἱ πλεῖστοι λέγουσι, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον.

Ὅθεν καὶ μάλιστ' ἄν τις τὴν φύσιν τὴν ἐκείνου, καὶ τὴν δόξαν ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειε. Μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν· ἀλλ' οἱ μὲν ὥσπερ θεῷ συνακολουθήσαντες, ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις· ὁ δέ, ὡσπερεὶ στρατόπεδον ἔχων κρεῖττον

culum, & incolumis Solos, Ciliciæ urbem, perveniſſet, non eo fuit animo quo alii eſſe ſolent in hujuſmodi calamitatibus. Ceteri enim, etiam ii qui regno exciderunt, præſenti infortunio conſternati, abjectiores ſunt: ille verò eâ magnanimitate fuit, ut, quum anteà vitam egiſſet privatam, in exilium actus, regnum ſibi vindicandum eſſe arbitraretur. Ac erronibus quidem fugitivis deſpectis, neque per alios reditum quærere, neque ſeipſo deteriores colere, voluit; ſed eâ uſus occaſione quæ religioſos homines decet, qui injurias ulciſci, non ipſi facere volunt, aut re benè geſtâ imperare, aut voto fruſtratus mortem oppetere, ſtatuit; & adhibitis hominibus, ut plerique dicunt, circiter quinquaginta, illorum ope ſibi reditum in patriam patefacere aggreſſus eſt.

2°. Undè cumprimis, & quanta ejus indoles fuerit, & quanta apud ſocios autoritas, perſpicitur. Navigaturus enim cum tàm paucis ad perpetrandum tàm ingens facinus, quamvis acerbiſſima quæque in conſpectu eſſent, tamen neque ipſe abjecit animum, neque ſociorum quiſquam pericula detrectavit: ſed & illi tanquam Deum ducem ſecuti, omnes in fide manſerunt; & ipſe quaſi validiorem quàm adverſarii haberet exercitum, aut futurorum

[l. 12.] Εὐσεβεῖς, vulg. εὐσεβεῖν.

τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον; οὕτω διέκειτο τὴν γνώμην. Δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον, οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐπ' ἀσφαλείᾳ καταστήσας, περιϊδεῖν εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθὺς, ὥσπερ εἶχε ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ' ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ βασίλειον. Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας, καὶ τοὺς φόβους τῶν ἄλλων, καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατρίβειν; Γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν θεατῶν, (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον), οὐ πρότερον ἐπαύσατο μαχόμενος, καὶ μόνος πρὸς πολλοὺς, καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθροὺς, πρὶν ἑλὼν τὸ βασίλειον, καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν.

Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι, τήν τε ἀρετὴν τὴν Εὐαγόρου, καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγ-

esset

essset præscius, sic animo affectus fuit: id quod ipsâ re manifestum est. Nam quum in insulam è navi descendisset, non castellum aliquod firmum occupandum censuit, ut corpore suo in tuto collocato circumspiceret an aliqui civium opitulaturi essent; sed mox, ut erat paratus, eâ ipsâ nocte, parvâ muri portâ perfractâ, sociisque per eam introductis, impetum in regiam fecit. Ac tumultus quidem qui hujusmodi temporibus incidunt, & ceterorum trepidationem, & exhortationes illius, multis referre quorsùm attinet? Resistentibus autem ipsi nonnullis regis satellitibus, spectantibusque civibus ceteris (nam alterius imperium, alterius virtutem metuentes, quiescebant), non priùs pugnare destitit, modò solus contrà multos, modò cum paucis adversùs universos, quàm, captâ regiâ, & hostes ultus esset, & amicis tulisset opem, & patrios honores suæ restituisset familiæ, & dominum civitatis ipse se constituisset.

3°. Equidem existimo, etiamsi nihil commemorem aliud, sed hîc finem dicendi faciam, tamen ex his & Evagoræ virtutem, & magnitudinem rerum ab eo gestarum, facilè cognosci posse.

μένων. Οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων, οἶμαι δηλώσειν.

Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου παραβάλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς ἀκούουσιν ἀρέσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἐὰν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἕξομεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.

Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων, τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; Οὐδεὶς γάρ ἐστιν οὕτω ῥάθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὁσίως, ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτοῦ καταλιπεῖν.

Καὶ μὴν τῶν γε παλαιῶν καθόδων, αὗται μάλιστα εὐδοκιμοῦσιν ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν. Οὗτοι γὰρ οὐ μόνον τῶν προγεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὐτῶν καινὰ συντιθέασιν. Ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιησάμενος κινδύνους εἰς τὴν ἑαυτοῦ κατῆλ-

Verùm utraque hæc per ea quæ ſequuntur, dilucidiùs arbitror me declaraturum.

Nam quum tot omnibus temporibus reges fuerint, nemo reperietur qui honorem regium pulchriùs quàm hic acquiſiverit. Quòd ſi res geſtas Evagoræ cum ſingulis illorum factis conferamus, forſan nec audientibus oratio placeret, neque tempus iis quæ dicerentur ſufficeret. Sin præſtantiſſimis quibusque ſelectis, cum illis comparatione factâ hunc intueamur, ut nihilo pejùs ſe habebit laudatio noſtra,ità minore compendio res abſolvetur.

Ex iis igitur qui patria regna ſuſceperunt, ecquis Evagoræ pericula non anteferret? Nemo enim ità ſocors & ignavus eſt qui imperium à majoribus maluerit accipere, quàm ſanctè partum, ut ille fecit, liberis ſuis relinquere.

Ac inter veteres quidem patrii regni recuperationes, eæ maximè celebrantur quas à poetis audimus. Hi enim nobis non ſolùm pulcherrimas ſuperiorum temporum commemorant, verùm & ipſi ſuo ingenio novas comminiſcuntur. Nemo tamen eorum de ullo fabulatus eſt, qui per tàm atrocia & horrenda pericula in regnum redierit: ſed

[l. 25.] Μεμυθολόγηκεν, ſub. περὶ τίνος.

θεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν.

Ἀλλὰ μὴν τῶν γε ἔπειτα γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχὴν, Πέρσαις δὲ κτησάμενον, οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. Ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν· ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν. Ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτοῦ, καὶ τοῦ σώματος, τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. Ἔπειτα ἐκ μὲν τῆς Κύρου στρατείας οὔπω δῆλον ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τούτῳ πεπραγμένων, ἅπασι φανερὸν ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. Πρὸς δὲ τούτοις, τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα, τῷ δὲ οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν· ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. Ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν. Εἰ δὲ δεῖ συντόμως, καὶ μηδὲν ὑποστειλάμενον, μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παρρησίᾳ χρησάμενον, εἰπεῖν· οὐδεὶς, οὔτε θνητὸς, οὔτε ἡμίθεος, οὔτε ἀθάνατος, εὑρεθήσεται κάλλιον, οὐδὲ λαμ-

plerosque finxerunt, per fortunam potitos esse imperiis; alios canunt dolo & fraude hostes superavisse.

Ex posterioribus autem, & fortassis inter omnes, Cyrum qui imperium eripuit Medis, Persisque tradidit, & plurimi & maximè admirantur. Is verò exercitu Persarum copias Medorum vicit, quod multi & Græcorum & Barbarorum facilè effecerint: hunc animo suo tantùm & corpore pleraque horum quæ diximus perfecisse constat. Deindè è Cyri expeditione nondùm perspicuum est eum & Evagoræ pericula fuisse aditurum: ex rebus ab hoc gestis manifestum est omnibus eum facilè illa quoque facinora fuisse obiturum. Præterea, ab hoc sanctè & justè omnia peracta sunt; illi, violatâ pietate contigerunt nonnulla: noster enim hostes occidit, Cyrus matris suæ patrem interemit. Quare, si qui non eventuum magnitudinem, sed utriusque virtutem, perpendere voluerint, etiam Cyro haud injuriâ prætulerint Evagoram. Imò, si breviter, absque invidiæ metu, sine dissimulatione liberéque dicendum est, nemo, neque mortalis, neque semideus, neque immortalis, invenietur qui nec pul-

[l. 1.] Πεποίηνται, inducti sunt, nempè à poetis.

πρότερον, οὐδὲ εὐσεβέστερον, λαβὼν ἐκείνου τὴν βασιλείαν. Καὶ τούτοις ἐκείνως μάλιστ' ἄν τις πιστεύσειεν, εἰ μὴ σφόδρα τοῖς νῦν λεγομένοις ἀπιστήσας, ἐξετάζειν ἐπιχειρήσειεν ὅπως ἕκαστος ἐτυράννησε. Φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, οὕτω περὶ αὐτοῦ θρασέως εἰρηκώς.

Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτὸν προσῆκον ἦν ἀξιοῦσθαι. Νῦν δὲ πάντες ἂν ὁμολογήσαιεν τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχητότατον εἶναι. Τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν ἢ ῥήτωρ, ἢ ποιητής, ἢ λόγων εὑρετής, ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν;

Οὐ τοίνυν ἐν τούτοις ὑπερβαλλόμενος, ἐν τοῖς ἄλλοις εὑρεθήσεται καταδεέστερος γεγονώς· ἀλλὰ πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην, καὶ πλεῖστα κατορθοῦν δυνάμενος, ὅμως οὐκ ᾤηθη δεῖν ὀλιγωρεῖν, οὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων· ἀλλ' ἐν τῷ ζητεῖν, καὶ φροντίζειν, καὶ βουλεύεσθαι, τὸν πλεῖστον χρόνον διέτριβεν·

[l. 1.] Ἐκείνου regitur ab εὐσεβέστερον, & ab aliis comparativis, magis piè quàm ille.

chriùs, nec ſplendidiùs, nec juſtiùs, regnum acquiſiverit. Atque hæc ità maximè credat, qui his quæ nunc dicuntur non pertinaciùs abrogatâ fide, exquirere velit quibus viis ſinguli ad regna pervenerint. Apparebit enim me non omni modo magna loqui ſtuduiſſe, ſed ob rei veritatem ità confidenter de Evagora diſſeruiſſe.

Nam ſi ille quidem in parvis rebus excelluiſſet, eſſet utique conveniens ipſum tales aſſequi laudes qualia eſſent ipſius facta. Nunc autem omnes fatebuntur regnum omnium tàm divinorum quàm humanorum bonorum eſſe & maximum & ſplendidiſſimum & ſummâ contentione digniſſimum. Eum igitur qui rerum omnium longè pulcherrimam pulcherrimè eſt adeptus, quis orator, aut poeta, aut verborum opifex, pro factorum dignitate collaudârit?

III. 1°. Neque verò, quum in his excelluiſſet, in ceteris inferior fuiſſe reperietur. Nam primùm, quamvis ingenio eſſet feliciſſimo, plurimàque poſſet ritè conficere, non tamen negligenter ac temerè quidquam agendum ſibi cenſuit: ſed in inquirendo, & cogitando, & deliberando, plu-

---

[l. 9.] Τοιούτων, nempè οἷα ἂν ἦν ἔργα, interpretare: conveniens eſſet ipſum tales aſſequi laudes qualia eſſent ipſius facta, ſcil. mediocres laudes pro factis mediocribus.

ἡγούμενος μὲν εἰ καλῶς τὴν ἑαυτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν· θαυμάζων δ' ὅσοι τῆς μὲν ψυχῆς ἕνεκα, τῶν ἄλλων ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ μηδὲν τυγχάνουσι φροντίζοντες. Ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν. Ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις, ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ ταῖς καρτερίαις, ἐνούσας, οὐδὲν ἀνεξέταστον παρέλιπεν, ἀλλ' οὕτως ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει, καὶ τῶν πολιτῶν ἕκαστον ἐγίνωσκεν, ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν προσηκόντων. Οὐ γὰρ ἐξ ὧν ἑτέρων ἤκουεν, οὔτε ἐκόλαζεν, οὔτε ἐπετίμα τοῖς πολίταις· ἀλλ' ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. Ἐν ταῖς τοιαύταις δ' ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν· ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ' ἐκείνου βασιλείας. Ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν

[l. 5.] Ἔπειτα est alterum membrum orationis cujus

rimùm temporis consumpsit; nempè existimans si mentem probè exercuisset, regnum quoque sibi fore felix & prosperum, miratusque eos qui vitæ tuendæ causâ ceterarum rerum curam susciperent, iidemque suam ipsorum mentem prorsùs negligerent. Deindè, in negotiis administrandis idem planè sensit. Quum enim videret eos qui suas res diligentissimè curarent, minimè affici molestiis, & veras animi remissiones non in agendo ignavè, at in strenuè & constanter se gerendo, esse positas, nihil inexploratum reliquit, sed ità perfectè & tenebat res, & cives singulos noverat, ut nec ab insidiatoribus opprimeretur, nec ignoraret bonos, sed omnes pro merito acciperet. Non enim cives aut puniebat aut honorabat ex aliorum sermonibus, verùm de iis judicabat pro suâ ipsius conscientiâ. Hujusmodi curis impeditus, ne in uno quidem eorum negotiorum quæ quotidie incidunt, deceptus est; sed civitatem suam tantâ & pietate & humanitate rexit, ut ab hospitibus non magis Evagoras qui imperaret, quàm cives qui tali regi parerent, fortunati judicarentur. Nam hoc perpetuum ejus studium fuit

---

πρώτων pag. præc. l. 19, prius membrum constituit.

[l. 9.] Hîc intelligo εὐπραγίας, non, boni rerum successus, sed, diligentia in rebus gerendis.

[l. 23 & 24.] Ad ἀρχῆς & ad βασιλείας, sub. ἕνεκα.

οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων· οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν ἑταίρων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ' ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις, διαφυλάττων· μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ' ἐπὶ τοῖς δι' αὑτὸν γιγνομένοις ἀγαθοῖς· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν· ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν· ὀλίγοις πόνοις πολλὰς ῥαστώνας κτώμενος, ἀλλ' οὐ διὰ μικρὰς ῥαθυμίας μεγάλους πόνους ὑπολειπόμενος· ὅλως δ' οὐδὲν παραλιπὼν ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ' ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον· καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει,

[l. 5.] Vulg. habet πολλὰ μὲν τῶν ὁμιλούντων χρω-

neminem injuriâ lædere, bonos honorare, & ut cum omnibus pro imperii autoritate agere, ità delinquentes legitimis ſuppliciis coercere. Quamvis nihil conſiliariis indigeret, cum amicis tamen capiebat conſilium. Amicis ſæpe concedebat de jure ſuo, hoſtes ſemper ſuperabat. Majeſtatem tuebabatur non contractione ſupercilii, ſed vitæ inſtituto. Nullâ in re ordinis & conſtantiæ negligens, ſed quidquid verbis promiſerat non minùs ſervans quàm ſi jusjurandum dediſſet; non ob fortunæ munera, ſed ob rectè à ſe facta, animoſus; amicos beneficiis ſibi devinciens, alios ſubigens animi magnitudine; terribilis erat non ſæviendo in multos, ſed aliorum ingenia longè ſuperando. Voluptatibus imperans, non ſerviens, multùm ſibi faciebat otii paucis laboribus, non parvis oblectationibus labores ſibi multos præparabat. Omninóque prætermittebat nihil quod regibus ineſſe deceat; ſed è ſingulis rerumpublicarum formis præſtantiſſima quæque deligebat; qui & popularis eſſet obſervantiâ multitudinis, & politicus ſapientiſſimâ urbis adminiſtratione, & imperatorius

---

μένων ἡττώμενος. Recidi cum Battie ὁμιλούντων & χρωμένων, quæ voces deſunt etiam in codd. H, I. Cod. K legit πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος.

στρατηγικὸς δὲ τῇ πρὸς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν.

Καὶ ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν. Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην, οὔτε τέχνας ἐπισταμένην, οὔτ' ἐμπορείῳ χρωμένην, οὔτε λιμένας κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ τείχη προσπεριεβάλετο, καὶ τριήρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις παρασκευαῖς οὕτως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων πόλεων ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν, ὥστε φοβεῖσθαι πολλοὺς τῶν πρότερον καταφρονούντων αὐτῆς. Καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν οὐχ οἷόν τ' ἐστιν, ἂν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δὲ ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν. Ὥστ' οὐ δέδοικα μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων· ἀλλὰ μὴ πολὺ λίαν ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ.

Τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλείονος ἀξίαν ἐποίη-

---

[l. 23.] Τοιαύτης φύσεως, ὅς, pro τοιούτου ἀνθρώπου,

optimo in periculis consilio, & regalis horum omnium excellentiâ.

Atque hæc in Evagora fuisse, & plura etiam his, ex ipsis factis facilè intelligetur.

2°. Nam quum suscepisset civitatem barbarie deformatam, quæ ob Phœnicum imperium, nec Græcos admitteret, nec artes sciret, nec *emporio* uteretur, nec portus haberet; tùm hæc omnia correxit, tùm agri adjecit multùm, triremes ædificavit, urbem circumdedit muro, & reliquis apparatibus sic auxit, ut nulli Græcarum urbium esset inferior: eam denique tantis munivit copiis, ut multi nunc eam formident qui priùs contemnebant. Neque verò potest fieri ut civitates tanta acquirant incrementa, nisi quis eas talibus moribus gubernet, quales Evagoras habuit, atque ego paulò antè studui describere. Quapropter non vereor ne majora quàm pro ejus virtute dicere videar; sed illud metuendum potiùs ne magnitudinem rerum ab eo gestarum oratione meâ non attingam.

Quis enim dicendo exæquet hujus viri ingenium, qui non suam tantùm civitatem bonis institutis ex-

---

ὅς: nam hîc, ut sæpiùs, non ad significans attenditur, sed ad significatum.

σεν· ἀλλὰ καὶ τὸν περιέχοντα τόπον τὴν νῆσον ἐπὶ πρᾳότητα καὶ μετριότητα προήγαγε; Πρὶν μὲν γὰρ λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν, οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες ἂν ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν. Νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν, ὥσθ' ἁμιλλᾶσθαι μὲν οἵτινες αὐτῶν δόξουσι φιλέλληνες μᾶλλον εἶναι, παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν, γυναῖκας λαμβάνοντας παρ' ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς, πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν, καὶ τῶν περὶ τὴν ἄλλην παίδευσιν, ἐν τούτοις τοῖς τόποις διατρίβειν, ἢ παρ' οἷς πρότερον εἰωθότες ἦσαν. Καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι ὁμολογήσειεν. Μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ, καὶ καλοὶ καὶ ἀγαθοὶ, τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες, ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κοινοτέραν εἶναι καὶ νομιμωτέραν τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν.

Ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ, τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων, τίς οὐκ οἶδεν ὅτι,

coluit, ſed & finitimos inſulares ad manſuetudinem deduxit & moderationem? Priuſquam enim Evagoras regno potiretur, eâ fuerunt ſævitiâ & immanitate, ut eos principes putârint optimos qui cum Græcis crudeliſſimè agerent. Nunc verò adeò ſunt mutati, ut inter ſe contendant quinam ex iis Græcorum amantiores videantur, eorumque plurimi liberos procreent noſtratibus ductis uxoribus, & Græcanicis fructibus & inſtitutis magis gaudeant quàm patriis & domeſticis, pluresque in muſicis & aliis artibus eruditi illis in locis verſentur, quàm apud eos ubi anteà degere ſoliti fuerant. Atqui nemo eſt quin hæc Evagoræ accepta eſſe referenda fateatur. Illud autem certiſſimum fuerit ſignum morúm ejus & ſanctitatis, quòd Græcorum complures optimi & honeſtiſſimi viri relictâ ſuâ ipſorum patriâ in Cyprum migraverunt; hoc ſcilicet perſuaſi humanius eſſe & æquius regnum Evagoræ quàm ſuas domi reſpublicas.

Ac ceteros quidem nominatìm recenſere multi operis fuerit; Cononem verò, qui virtutibus plurimis fuit Græcorum princeps, quis ignorat, quum

δυστυχησάσης τῆς πόλεως, ἐξ ἁπάντων ἐκλεξάμενος, ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνου καταφυγὴν, καὶ τῇ πόλει τάχιστ' ἂν αὐτὸν γενέσθαι βοηθόν; Πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτων βεβουλεῦσθαι. Συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστα ἀγαθά. Πρῶτον μὲν γὰρ οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας. Ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔχον. Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν, καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες. Τῷ μὲν γὰρ ἦν φύσει πατρίς· τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο.

Σκοπουμένοις δ' αὐτοῖς ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξωσι, ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν. Ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. Λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων

nostra

noſtra civitas cladem accepiſſet, ad Evagoram ſelectum è ceteris omnibus ſe contuliſſe; quòd putabat ſe apud eum tutiſſimum ſibi perfugium, & mox reipublicæ ſuæ magnum auxilium, eſſe habiturum? Quum autem multis de rebus recta conſilia priùs iniiſſet, nullâ tamen de re unquam viſus eſt, quàm de hâc, meliùs ſtatuiſſe. Siquidem ità contigit ut propter adventum in Cyprum plurima beneficia & daret & acciperet. Primùm enim, ſtatìm ut congreſſi ſunt, pluris alterum fecit, quàm eos qui pridem familiares ipſis fuerant. Deindè, cùm de ceteris ſemper fuerunt unanimes, tùm de noſtrâ civitate eadem ſenſerunt. Quam quum viderent Lacedæmoniis ſubjectam eſſe, & magnâ rerum mutatione afflictam, tulerunt graviſſimè, ſicut utrumque decuit. Nam hæc alteri naturâ erat patria; alterum ob multa magnaque beneficia lege civem Athenienſes fecerant.

Illis igitur cogitantibus quomodo eam eriperent ex infortuniis, mox opportunitatem Lacedæmonii præbuerunt. Qui quum Græcis terrâ marique imperarent, adeò inſatiabili cupiditate ſunt incitati, ut Aſiam quoque vaſtare aggrederentur. Hâc autem illi occaſione arreptâ, duces regios, quid conſilii

ὅ,τι χρήσονται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν, ἀλλὰ κατὰ θάλατταν, τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι· νομίζοντες εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο, καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνην καλῶς ἕξειν· εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. Ὅπερ συνέβη. Πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν, καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν· οἱ δ᾽ Ἕλληνες ἠλευθερώθησαν· ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. Καὶ ταῦτ᾽ ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δ᾽ αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. Ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν ἀμφοτέρων, ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους.

Βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν, ἀλλ᾽ ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. Περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος. Ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ᾽ αὐτὸς λαθεῖν

capiendum esset dubitantes, docuerunt non terrâ sed mari oppugnandos esse Lacedæmonios. Quippè existimabant, si peditatu conscripto terrâ vicissent, Asianis duntaxat consultum fore; sin mari superassent, totam Græciam ex eâ victoriâ fructus esse percepturam. Id quod reipsâ evenit. Nam quum duces, hæc consilia secuti, classem comparassent, & Lacedæmonii navali prælio victi imperio privati sunt, & Græci recuperârunt libertatem, & nostra civitas antiquæ gloriæ partem aliquam recepit, sociorumque dux & princeps constituta est. Atque hæc gesta sunt Conone quidem duce, Evagora verò strenuam operam navante, & plurimam copiarum partem comparante. Pro quibus meritis, nos honores eis maximos decrevimus, & statuas posuimus in eo loco ubi Jovis servatoris simulachrum est, tùm illi, tùm inter se vicinas; quæ & maximi in Græcos beneficii, & arctissimæ inter ipsos amicitiæ, essent monumentum.

Atqui rex Persarum non eodem modo ergà eos fuit affectus; sed quò majora & illustriora gesserant facinora, eò magis illos formidavit. Ac de Conone alio loco dicemus. Quæ verò mens ejus fuerit ergà Evagoram, ne ipse quidem studuit dissimulare.

ἐζήτησε. Φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας· μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. Καὶ τούτου μέγιστον τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευάς, τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν, μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε· δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. Ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους. Ἠσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν, καὶ τὰς ἐπιδόσεις αὐτοῦ καὶ τὰς δόξας τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα, καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην. Ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιώς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν. Οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατιὰν ταύτην πλέον ἢ πεντάκις μύρια τάλαντα κατηνάλωσεν.

Ἀλλ' ὅμως Εὐαγόρας πάσης ἀπολελειμμένος

Conſtat enim iſtum in bellum Cyprium majore conatu incubuiſſe quàm in cetera univerſa; & hunc majorem ac graviorem adverſarium judicaſſe quàm Cyrum, qui cum ipſo de regno decertavit. Cujus rei hoc maximum ſignum eſt quòd, quum audiſſet fratris apparatum, adeò fuit ſecurus, ut parùm abeſſet quin ob incuriam in ipsâ propè regiâ opprimeretur: alterum autem tamdiù antè pertimuit, ut, dùm acciperet ejus beneficia, bellum adversùs eum moliretur, ut non æquo, ità non ſtulto prorsùs, conſilio. Sciebat enim multos, tùm Græcorum tùm Barbarorum, à contemptis initiis profectos, maxima imperia evertiſſe. Noverat etiam Evagoræ magnanimitatem; & ſucceſſus ejus gloriamque rerum geſtarum non lentè progredi videbat, ſed & inſuperabili eum eſſe ingenio, & fortunam habere adjutricem. Quare non iratus ob præterita, ſed de futuris ſollicitus, neque Cypro tantùm, ſed rebus longè majoribus timens, bellum contrà eum ſuſcepit; idque tanto ſtudio ut in eam expeditionem ampliùs quinquaginta millia talentûm inſumpſerit.

Evagoras tamen omnibus copiis inferior, ſuâ

[l. 8 & 9.] Αὐτὸν, regem Perſarum. Ἐπιστὰς, nempè, Cyrus.

[l. 18.] Ἔχοντα non ſignificat, habentem; ſed, ſe habentem: refertur ad φύσιν, & idem valet ac ὄντα.

ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευὰς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν· ἐπειδὴ δ᾽ ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν, καὶ τοιοῦτον εἶχε Πρωταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστὴν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δὲ ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥστε πολλοὺς τῶν Περσῶν πενθοῦντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου· τελευτῶν δ᾽ οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστ᾽ εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος. Καὶ Λακεδαιμονίων μὲν τὴν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν· Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα, τῶν αὐτῶν κύριον κατέλιπεν ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. Ὃ δὲ

[l. 14.] Αὐτοὺς, nempè, Persas, ad quos refertur

virtute oppoſitâ contrà apparatus tàm immenſos, ſe in his multò præbuit admirabiliorem quàm in iis omnibus quæ ſuprà dicta ſunt. Dùm enim eum pace frui patiebantur, ſuam ipſius urbem duntaxat habuit: poſtquam autem coegerunt ſeipſum armis defendere, talis ipſe fuit, talique adjutore filio Protagora uſus eſt, ut parùm abeſſet quin totâ Cypro potiretur. Phœniciam verò vaſtavit, Tyrum vi cepit, Ciliciam ad defectionem à rege impulit, tantamque hoſtium ſtragem edidit, ut multi Perſarum ſua mala deplorantes virtutem illius recordentur; tandem eos ità bello ſatiavit, ut, quum Aſiæ reges ſuperiori tempore non antè conſueviſſent redire in gratiam cum iis qui defecerant quàm corporibus eorum eſſent potiti, cupidè pacem fecerint, ſolutâ nunc lege illâ, & nihil mutato Evagoræ imperio. Ac Lacedæmoniis quidem, qui ea tempeſtate & gloriâ & potentiâ excellebant, intrà triennium Artaxerxes eripuit imperium; cum Evagora verò quum bellum geſſiſſet per decem annos, eadem illi reliquit habenda quæ habuerat priuſquam ad arma ventum eſſet. Et quod omnium

---

ἄσμενοι ἐποιήσαντο, λύσαντες, κινήσαντες; ſed refer ad regem Perſarum in ſenſu autoris, apud quem deindè legitur ἀφείλετο, καὶ ἔλιπεν,

πάντων θαυμαστότατον· τὴν γὰρ πόλιν ἣν Εὐαγόρας ἑτέρου τυραννοῦντος μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας, τοσαύτην δύναμιν ἔχων, οὐχ οἷός τ᾽ ἐγένετο χειρώσασθαι.

Καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν, ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου, φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; Οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους, ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. Οἱ μὲν γὰρ, μετὰ πάσης Ἑλλάδος Τροίαν μόνην εἷλον· ὁ δὲ, μίαν πόλιν ἔχων, πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ᾽ εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἐβουλήθησαν, ὅσοι περὶ ἐκείνους, πολὺ μεῖζον᾽ ἂν καὶ τὴν δόξαν αὐτῶν ἔλαβε.

Τίνα γὰρ ἂν εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς μύθους νῦν ἀφέντες τὴν ἀλήθειαν σκοπῶμεν, τοιαῦτα διαπεπραγμένον; ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; ὃς ἑαυτὸν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε· τὸ δὲ γένος ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε· τοὺς δὲ πολίτας, ἐκ βαρβάρων μὲν, Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ, πολεμικοὺς,

---

[l. 16.] Τῶν τότε γενομένων, eorum qui tunc fue-

maximè admirandum ; quam urbem, altero regnante, cum quinquaginta viris ceperat Evagoras, eam magnus rex, tantis copiis instructus, non potuit subigere.

Atenim quâ ratione vel fortitudo, vel prudentia, vel universa virtus Evagoræ dilucidiùs ostendi posset, quàm talibus facinoribus & pugnis? Non enim cetera bella tantùm, sed illud etiam gestum ab heroibus, & ab omnibus mortalibus celebratum, superavit. Nam illi quidem cum universâ Græciâ Trojam solam ceperunt; hic verò quum unam duntaxat haberet urbem, bellum totius Asiæ sustinuit invictus. Quapropter si tot eum laudare voluissent quot illos, majorem etiam quàm illi gloriam adeptus esset.

3°. Quem enim hujus ætatis inveniemus, si omissis nunc fabulis veritatem intueamur, qui talia perfecerit, aut qui tantarum in rebus mutationum fuerit autor. Namque hic & è privato seipsum regem constituit; & suum genus planè pulsum à republicâ, in proprium dignitatis gradum restituit; & cives, è Barbaris Græcos, ex effemi-

runt, nempè, tunc quum viveret Evagoras.

[l. 19 & 20.] Supple, γεγενημένον, ὅσων Εὐαγόρας; ὡς....

ἐξ ἀδόξων δὲ, ὀνομαστούς· τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον, ἡμερώτερον καὶ πρᾳότερον κατέστησεν· ἔτι δὲ πρὸς τούτοις, εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς, οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥστ' ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον· ὅτε δὲ ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον ἑαυτὸν παρεῖχε τῶν ἄλλων, ὥστ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον. Ἧς γενομένης, βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη· Λακεδαιμόνιοι δ' ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθησαν· οἱ δ' Ἕλληνες ἀντὶ δουλείας αὐτονομίαν ἔχον· Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν, ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας, ἐλθεῖν ὡς αὐτοὺς τὴν ἀρχὴν παραδώσοντας.

Ὥστ', εἴτις ἔροιτό με τί νομίζω μέγιστον εἶναι τῶν Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας, καὶ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, δι' ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν καταστaίην. Τοῦτο γάρ μοι

natis bellicoſos, ex obſcuris celeberrimos, reddidit: quum verò locum omnem inhoſpitalem & prorsùs efferatum inveniſſet, manſuetiorem fecit & mitiorem. Ad hæc ſuſceptis cum rege Perſarum inimicitiis, tàm præclarè eum ultus eſt, ut bellum in Cypro geſtum nullâ oblivione queat aboleri. Dùm autem ejuſdem regis ſocius eſſet, ſeipſum adeò præbuit utiliorem quàm ceteri, ut extrà controverſiam ad navale prælium circà Cnidum maximas ei vires contulerit. Quo prælio & rex ipſe totius Aſiæ dominatu potitus eſt; & Lacedæmonii qui antè Aſiam devaſtabant, de ſuâ ipſorum urbe dimicare coacti ſunt; & Græci, excuſſo ſervitutis jugo, receperunt libertatem; & ità creverunt opes Athenienſium, ut qui priùs illis imperârant, ad ipſos venirent imperium tradituri.

Quare, ſi quis me interroget quid inter Evagoræ facinora maximum eſſe judicem, utrùm navatam operam & auxilium datum contrà Lacedæmonios, propter quæ facta ſunt ea quæ modò dixi, an extremum bellum, an occupationem regni, an totam rerum adminiſtrationem, quid reſpondeam valdè ſim dubitaturus; ſiquidem id maximum & maximè

δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ' ὅ,τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην. Ὥστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε βίον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. Τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ ὀνομαστοτάτους εὑρήσομεν, ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας. Εὐαγόρας δὲ οὐ μόνον θαυμαστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριώτατος.

Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας; ὃς τοιούτων μὲν προγόνων ἔτυχεν οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονε· τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων καὶ τῇ ῥώμῃ διήνεγκεν, ὥστε μὴ μόνον Σαλαμῖνος, ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν· κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ τὸν βίον διετέλεσε· θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὑτοῦ μνήμην κατέλιπε· τοσοῦτον δ' ἐβίω χρόνον, ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν διὰ ταύτην τὴν ἡλικίαν γινομένων· πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτα-

[l. 1 & 2.] Καθ' ὅ,τι ἂν αὐτῶν . . . . . refer αὐτῶν ad ἐπιμελείας, παρασκευάς, & alios accusativos sequentes,

admirandum mihi videtur in quodcumque horum animum intendero. Si qui igitur veterum immortalitatem virtute ſibi pepererunt, hunc etiam eo munere dignatum eſſe cenſuerim; his nempè argumentis adductus, quòd ſuam quoque vitam feliciùs, & diis longè acceptiùs, quàm illi, ad obitum uſque exegit. Nam ſemideorum pleroſque, & eos quidem celeberrimos, reperiemus in acerbiſſimas incidiſſe calamitates: Evagoras verò non admirabiliſſimus tantùm jam indè ab initio permanſit, ſed etiam beatiſſimus.

EPILOGUS.

1°. Quæ enim felicitatis pars ipſi defuit? qui tales habuit majores quales nemo alius, niſi ex eâdem familiâ oriundus; qui tantùm & corpore & robore ceteris præſtitit, ut non Salaminis modò, ſed totius Aſiæ imperio, dignus eſſet; qui vitam in regno finivit quod pulcherrimè paraverat; &, quum mortalis eſſet natus, immortalem nominis ſui memoriam reliquit; qui multùm vixit temporis, & ut non ſenectutis expers, ità morborum qui iſtam ætatem comitari ſolent non particeps fuit. Præterea, quod rariſſimum & difficilli-

---

& interpretare hanc phraſim, καθ' ὅ,τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην, ad quodcumque horum mentem applicuero, i. e. quodcumque horum mente attentiori conſidero.

[l. 12.] Τί εὐδαιμονίας, ſub. μέρος.

τον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσε· καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γενομένων, οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα καλούμενον, τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας. Ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες ὡς ἦν θεὸς ἐν ἀνθρώποις, ἢ δαίμων, ἀλλ' οὐ θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου ῥηθῆναι φύσιν μάλιστ' ἂν ἁρμόσειε.

Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἶμαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ' ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον. Οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν.

Ἐγὼ δ', ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα, καὶ τὰς τῶν σωμάτων εἰκόνας· πολὺ μέν τοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε. Προκρίνω δὲ ταύτας, πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν, οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ μνήμῃ φιλοτιμουμένους· ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγ-

mum exiſtimatur, ut idem & multos & felices liberos ſuſcipiat, ne id quidem ipſi defuit, ſed id ipſum habuit peculiare; &, quod maximum eſt, neminem è ſe natum reliquit qui plebeiis nominibus appelletur, ſed alium vocatum regem, alios principes, alias principum uxores. Quare ſi qui poetarum locuti magnificentiùs, aliquem dixerunt eſſe Deum inter homines, aut numen, & non mortalem; omnia ejuſmodi de hujus naturâ & ingenio convenientiſſimè dicerentur.

2°. Ac multa quidem me quæ dicenda eſſent de Evagora prætermiſiſſe arbitror: deſidero enim illius ætatis vigorem cujus ope accuratiùs & ſtudioſiùs laudationem hanc perfeciſſem. Verumtamen etiam nunc, quantùm meæ vires ſiverunt, non illaudatus fuit.

3°. Equidem, ô Nicocles, pulchra monumenta eſſe ſtatuo etiam corporum imagines; ſed longè majoris eſſe pretii opinor mentis & rerum geſtarum ſimulachra, quæ in artificioſis duntaxat orationibus conſpiciuntur. Quas ego ideò prætulerim, primùm quidem quia præſtantes viros ſcio non tàm formâ corporis ſuperbire, quàm rebus à ſe factis & nominis ſui memoriâ gloriari. Deindè, quia neceſſe eſt expreſſas corporum formas apud eos

---

[l. 3.] Καὶ τὸ μέγιστον, ſub. ἐστὶ.

καῖον παρὰ τούτοις εἶναι μόνον παρ' οἷς ἂν σταθῶσι· τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ' ἐστὶν εἰς τὴν Ἑλλάδα, καὶ διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ' οἷς κρεῖττόν ἐστιν, ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν, εὐδοκιμεῖν. Πρὸς δὲ τούτοις, ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις, οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε· τοὺς δὲ τρόπους τοὺς ἀλλήλων, καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας, ἐκ τούτων ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥαθυμεῖν αἱρουμένοις, ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις. Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τοῦτον τὸν λόγον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ, καὶ τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρου γεγονόσι, πολὺ καλλίστην ἂν γενέσθαι ταύτην τὴν παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου, καὶ τῷ λόγῳ κοσμήσας, παραδοίη θεωρεῖν ὑμῖν, καὶ συνδιατρίβειν αὐταῖς. Τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες ἐκ τούτων τοὺς εὐλογουμένους, τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς, οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος, ἀλλ' οἰκείοις, παρακαλῶ, καὶ συμβουλεύω προσέχειν τὸν νοῦν ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν Ἑλλήνων.

solummodò

ſolummodo eſſe apud quos poſitæ fuerint: dùm orationes per Græciam evulgari poſſunt, & in cœtus eruditorum editæ, magni fieri ac diligi; apud quos honorari præſtat quàm apud alios univerſos. Ad hæc, quia fictarum & pictarum imaginum lineamenta nemo unquam in ſuum corpus exprimendo tranſtulerit; mores autem aliorum & ingenia quæ oratione exhibentur, iis imitari facile eſt qui eam legant, & repudiatâ ignaviâ boni ac ſtrenui viri eſſe velint. Quò libentiùs etiam orationem hanc ſcribendam eſſe ſuſcepi, quòd putabam & tibi & tuis liberis, & ceteris ab Evagora oriundis, longè pulcherrimam fore adhortationem, ſi quis collectas ejus virtutes & verbis exornatas, vobis ſpectandas, quotidieque verſandas manibus atque animis, tradidiſſet. Nam ceteros ad ſapientiæ amorem, laudibus aliorum propoſitis, exhortamur, ut, eorum qui laudantur virtutes æmulati, eadem quæ illi ſtudia appetant. Ego verò te ac tuos, non alienis exemplis uſus, ſed domeſticis, hortor ac ſuadeo, ut in id animum intendas, ne dicendo benè, & rectè conſulendo, nemini Græcorum ſis inferior.

[l. 8 & 9.] Pro τὺς ἀλλήλων forſan legendum τὺς τῶν ἄλλων.

[l. 10.] Ἐκ τύτων, nempè, ἐκ λεγομένων.

Καὶ μὴ νόμιζέ με καταγινώσκειν ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. Οὐ γὰρ ὔτε ἐμὲ λέληθεν, ὔτε τοὺς ἄλλυς, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλύτῳ καὶ τρυφαῖς ὄντων, φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπεχείρησας· ὐδ᾽ ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις, ζηλώσαντας τὴν σὴν παίδευσιν, τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένυς ἐφ᾽ οἷς νῦν λίαν χαίρουσιν. Ἀλλ᾽ ὅμως ἐγὼ ταῦτα εἰδὼς, οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταυτὸν ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. Καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης ἀγωνιζομένοις.

Ἐμὸν μὲν οὖν ἔργον καὶ τῶν ἄλλων φίλων, τοιαῦτα καὶ λέγειν καὶ γράφειν ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ᾽ ὥσπερ ἐν τῷ παρόντι καὶ τὸν ἄλλον χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσῃ καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. Ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ᾽ ὑμῖν τοῖς πλείστων κυρίοις οὖσι. Χρὴ δ᾽ οὐκ ἀγαπᾶν εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων· ἀλλ᾽ ἀγανακτεῖν εἰ τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν,

Neque verò putes te accusari à me ignaviæ, quòd te ad res easdem toties exhortor. Nec enim vel me vel alios præterit te & solum & primum eorum qui, regiâ dignitate præditi, opibus & deliciis circumfluunt, sapientiæ studium amplexantem, in eâ acquirendâ promptiùs laborasse. Nec illud etiam me latet, multos reges, exemplo doctrinæ tuæ incitatos, iis omissis quibus nunc impensè gaudent, istud disciplinæ genus consectaturos. Verùm ego, quamvis hæc sciam, nihilominùs tamen & facio & faciam idem quod in ludis gymnicis à spectatoribus fieri solet. Siquidem illi acclamant cursoribus non remotissimis à metâ, sed victoriæ proximis.

Quapropter meum & ceterorum amicorum officium est, ea tùm dicere tùm scribere per quæ te accendamus ad ea desideranda quæ jam vehementer appetis. Te verò decet nihil prætermittere, sed ut in præsentiâ, sic in posterum quoque, curam tuî gerere & ingenium exercere, ut patre dignum te præbeas & ceteris tuis majoribus. Nam cùm omnibus convenit magni facere sapientiam, tùm vobis præsertìm qui in multos habetis imperium. Non autem eo contentus esse debes si iis qui nunc sunt jam sis præstantior; sed indignari si, quum

[l. 8 & 9.] Ἀφειμένους, sub. ἀπὸ τούτων.

γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διός, τὸ δ' ὑπογυιότατον ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετήν, εἰ μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων, καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. Ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων. Ἐὰν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ, καὶ τοσοῦτον ἐπιδιδῷς ὅσονπερ νῦν, ταχέως γενήσῃ τοιοῦτος οἷόν σε προσήκει.

[l. 2 & 3.] Εἰ μή. Jam præcessit εἰ, hoc alterum ponitur ad resumendum nexum phraseos.



ipſe ſis tali ingenio, & antiquitùs à Jove, ac recenter à viro tantæ virtutis prognatus, non multùm antecellas ceteris, & iis etiam qui in pari dignitatis gradu ſunt collocati. Eſt autem in te ſitum ne ab hoc propoſito aberres. Si enim in ſapientiæ ſtudio perſeverâris, & in eo tantùm progreſſus fueris quantùm hactenùs, qualem te eſſe decet celeriter talis evades.



ANALYSIS
LAUDATIONIS HELENÆ.

PROPOSITUM.

HÆC oratio, ut ipse præfert titulus, scripta est in laudem Helenæ, famosæ illius mulieris.

Prologus.

In prologo, longiori fortassis, carpit orator sophistas & rhetores qui absurda nimis & insolentia argumenta tractare se gloriabantur. Istorum scripta elevat, dùm ostendit,

1°. Ipsos nihil novi excogitasse :

2°. Circà res frivolas occupari, dùm seriis studere deberent :

3°. Lucri causâ istiusmodi disputationibus delectari :

4°. Adolescentes imperitos decipere qui ipsorum disciplinam sectantur.

5°. Paulò fusiùs demonstrat eosdem sophistas, dùm vilia tractant argumenta, versari circà hoc quod est in eloquentiâ facillimum, omissis difficilioribus.

6°. Transit ad Helenam cujus laudationem scribere suscipit, quum ejusdem defensionem scripserit Gorgias.

Confirmatio.

I. Laudatur Helena à nobilitate & pulchritudine. Ipsius forma & genus conferuntur cum genere & robore Herculis.

II. Formæ præstantia comprobatur ejus viri excellentiâ qui ipsam primùm adamavit. Narratur mulieris raptus prior à Theseo factus.

Hinc longa in Thesei laudes digressio. Qui laudibus celebratur;

1°. Quòd heros fuerit numeris omnibus absolutus:

2°. Quòd se præstiterit Herculis æmulum. Herculis facta comparantur cum Thesei factis. Hujus præcipua facinora

recenſentur tùm per narrationem, tùm per præteritionem.

3°. Prædicantur ejuſdem fortitudo, pietas, ſapientia.

4°. Sermone longiori & magnificentiori oſtendit Iſocrates hujus ſapientiam eminuiſſe præſertìm in civitate Athenienſi adminiſtrandâ.

Redit ad Helenam cujus pulchritudinem commendat,

III. A multitudine & nobilitate aliorum ipſius procorum.

Mentio fit poſterioris raptûs facti à Paride Trojano, qui cognominabatur Alexander. Hujus facinus defenditur, imò & præconiis donatur ipſius judicium:

1°. Rapuit Helenam non tàm voluptatis appetens, quàm cupidus maternæ nobilitatis ſuo generi conciliandæ.

2°. Nemo, niſi inſanus, ejus viri judicium contempſerit, quem deæ potentiſſimæ in re maximi momenti arbitrum elegerunt.

3°. Eam rapuit mulierem quam multi ſemidei adamârunt, cujus gratiâ Aſia & Europa longo duello ſunt colliſæ, ipſique Dii immortales acriter inter ſe depugnârunt.

Hinc naſcitur locus communis de pulchritudine haud immeritò nobiliſſimus. Demonſtratur illius dotis præſtantia:

1°. Per rationes metaphyſicas & ab effectibus;

2°. Ex judicio ipſius Jovis & omnium cœlicolarum.

A pulchritudine in genere revertitur orator ad pulcherrimam Helenam cujus divinam potentiam prædicat.

Epilogus.

In hoc Epilogo 1°. admonet colendam eſſe Helenam.

2°. Memorat ſtrictìm omnia ipſius beneficia, ex quibus fuſiùs explicatis multæ aliæ conſtare poſſint laudationes.

Non conſtat quâ ætate hanc orationem ſcripſerit Iſocrates; ſed ex hujus genere & ſtylo videtur tunc fuiſſe adoleſcens.





ἙΛΈΝΗΣ

ἘΓΚΏΜΙΟΝ.

ΕἸΣΊ τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι, περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι· καὶ καταγεγηράκασιν, οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν, οὐδ' ἀντιλέγειν, οὐδὲ δύο λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντειπεῖν· οἱ δὲ, διεξιόντες ὡς ἀνδρία καὶ σοφία καὶ δικαιοσύνη ταυτόν ἐστι· καὶ φύσει μὲν οὐδὲν αὐτῶν ἔχομεν, μία δ' ἐπιστήμη κατὰ πάντων ἐστίν· ἄλλοι δὲ περὶ τὰς ἔριδας διατρίβουσι, τὰς οὐδὲν μὲν ὠφελούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας.

Ἐγὼ δὲ, εἰ μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύτην ἐν τοῖς λόγοις γεγενημένην, καὶ τούτους ἐπὶ καινότητι τῶν εὑρημένων φιλοτιμουμένους, οὐκ ἂν ὁμοίως ἐθαύμαζον αὐτούς. Νῦν δὲ τίς οὕτως ὀψιμαθής ἐστιν, ὅστις οὐκ οἶδε Πρωταγόραν καὶ τοὺς κατ' ἐκεῖνον τὸν χρόνον γενομένους σοφιστὰς,

[lineâ 9.] Κατὰ πάντων, idem ac ὑπὲρ πάντων, pro omnibus : quòd sola scientia est pro omnibus, nempè,



HELENÆ LAUDATIO.

PROLOGUS.

Sunt qui magnoperè glorientur, ſi argumentum abſurdum & mirabile aggreſſi, de eo tolerabiliter dicere queant; & conſenuerunt diſputantes alii non poſſe mentiri quemquam, aut contradicere, neque duas de iiſdem rebus contrarias habere orationes; alii, fortitudinem & ſapientiam & juſtitiam idem eſſe, neque harum virtutum ullam naturâ nobis ineſſe, ſed omnes per ſcientiam acquiri; alii tempus rixis terunt, quæ nihil quidem afferunt utilitatis, ſed poſſunt auditoribus negotia faceſſere.

1°. Ego verò, ſi iſtas ineptias in eloquentiæ ſtudium nuper invectas viderem, noſtroſque inventorum novitate gloriari, iſtos non perindè mirarer. Nunc quis adeò ſtudiorum ſerus eſt, qui neſciat Protagoram ac illius temporis ſophiſtas, & talia,

---

virtutibus; i. e. quòd omnes virtutes per ſolam ſcientiam acquiruntur.

[l. 13.] Τȣ́τȣς, nempè, ſophiſtas noſtri temporis.

ὅτι καὶ τοιαῦτα, καὶ πολὺ τούτων ἔτι πραγματωδέστερα συγγράμματα κατέλιπον ἡμῖν; Πῶς γὰρ ἄν τις ὑπερβάλοιτο Γοργίαν τὸν τολμήσαντα λέγειν ὡς οὐδὲν τῶν ὄντων ἐστὶν; ἢ Ζήνωνα τὸν ταυτὰ δυνατὰ καὶ πάλιν ἀδύνατα πειρώμενον ἀποφαίνειν; ἢ Μέλισσον, ὃς, ἀπείρων τὸ πλῆθος πεφυκότων τῶν πραγμάτων, ὡς ἑνὸς ὄντος τοῦ παντὸς, ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν;

Ἀλλ᾿ ὅμως οὕτω φανερῶς ἐκείνων ἀποδειξάντων, ὅτι ῥᾴδιόν ἐστι περὶ ὧν ἄν τις προθῆται ψευδῆ μηχανήσασθαι λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς ἐχρῆν, ἀφεμένους ταύτης τῆς τερθρείας, τῆς ἐν μὲν τοῖς λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις πολὺν ἤδη χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν διώκειν, καὶ περὶ τὰς πράξεις ἐν αἷς πολιτευόμεθα, τοὺς συνόντας παιδεύειν, καὶ περὶ τὴν ἐμπειρίαν τὴν τούτων γυμνάζειν· ἐνθυμουμένους ὅτι πολὺ κρεῖττόν ἐστι περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν, ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν προέχειν ἐν τοῖς μεγάλοις, ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς, καὶ τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν.

Ἀλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει, πλὴν τοῦ χρηματίζεσθαι παρὰ τῶν νεωτέρων. Ἔστι δὲ ἡ περὶ

[l. 12.] Διατρίβουσιν, velim addi οὗτοι, nempè,

& his longè operoſiora ſcripta, nobis reliquiſſe. Nam quî ſuperari ab ullo poſſet, aut Gorgias qui auſus eſt dicere nihil exiſtere horum quæ nos videmus; aut Zeno, qui probare conatur eadem & poſſe & non poſſe fieri? aut Meliſſus, qui, quum res infinitæ ſint, rationes molitus eſt accerſere quibus demonſtrâret unum quiddam eſſe totam rerum univerſitatem?

2°. Attamen, licet illi tàm evidenter oſtenderint facile eſſe de iis quæ quiſpiam propoſuerit falſam orationem comminiſci, in eodem loco noſtri adhuc immorantur. Quos decuit, omiſſis iſtis præſtigiis quæ, quum verbis alios convincere ſe profiteantur, reipsâ jam olim ipſæ convictæ ſunt, veritatem perſequi, & ſuos auditores in iis rebus quæ ad vitam civilem pertinent erudire, atque ità exercere ut earum peritiam acquirant; illud cogitantes longè præſtabilius eſſe de rebus utilibus mediocres opiniones habere quàm de ſupervacaneis exquiſitam cognitionem, & in magnis paulò ſuperiorem eſſe, quàm in parvis, iiſque quibus vita nihil adjuvatur, multùm excellere.

3°. Verùm iſti nihil aliud curant, niſi ut ab adoleſcentibus auferant pecuniam; idque præſtare

---

noſtrates ſophiſtæ.

τὰς ἔριδας φιλονεικίᾳ, δυναμένη τοῦτο ποιεῖν. Οἱ γὰρ μήτε τῶν ἰδίων, μήτε τῶν κοινῶν φροντίζοντες, τούτοις μάλιστα χαίρουσι τῶν λόγων οἱ μηδὲ πρὸς ἓν χρήσιμοι τυγχάνουσιν ὄντες.

Τοῖς μὲν οὖν τηλικούτοις πολλὴ συγγνώμη ταύτην ἔχειν τὴν διάνοιαν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων πρὸς τὰς περιττότητας καὶ θαυματοποιΐας οὕτω διακείμενοι διατελοῦσι. Τοῖς δὲ παιδεύειν προσποιουμένοις, ἄξιον ἐπιτιμᾶν ὅτι κατηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς συμβολαίοις ἐξαπατώντων, καὶ μὴ δικαίως τοῖς λόγοις χρωμένων, αὐτοὶ δὲ ἐκείνων δεινότερα ποιοῦσιν. Οἱ μὲν γὰρ ἄλλους τινὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας μάλιστα βλάπτουσι.

Τοσοῦτον δ' ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδολογεῖν, ὥστ' ἤδη τινὲς ὁρῶντες τούτους ἐκ τῶν τοιούτων ὠφελουμένους, τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων· καὶ ποιοῦνται τεκμήριον, ὡς εἰ περὶ πονηρῶν πραγμάτων ἔχουσί τι λέγειν, περὶ τῶν καλῶν καὶ ἀγαθῶν ῥᾳδίως εὐπορήσουσιν. Ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον, τὸ διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν ὡς περὶ τῶν πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς οἷς ἐπαγγέλλονται τὴν ἀπόδειξιν ποιεῖσθαι. Τοὺς γὰρ ἀμφισβητοῦντας τοῦ φρονεῖν,

poteſt rixarum iſtarum contentio. Nam qui & publicam & privatam rem parvi pendunt, hi diſputationibus iſtiuſmodi maximè delectantur quæ prorsùs omni carent utilitate.

4°. Ac adoleſcentibus quidem, quòd hâc mente ſint, multa venia danda eſt; quippè qui in omnibus ad ea quæ ſupervacanea ſunt & mirabilia præcipuè advertant. Qui autem alios erudire profitentur, ideò reprehendendi ſunt, quòd ipſi, quum accuſent eos qui in contractibus decipiunt, nec ſermone ſecundùm jus utuntur, multò pejora faciant. Nam illi quidem damnum inferunt alienis; hi verò ſuis potiſſimùm incommodant diſcipulis.

5°. Mentiendi autem licentiam adeò propagârunt, ut jam quidam, dùm iſtos hujuſmodi ineptiis ditari vident, ſcribere audeant vitam mendicorum & exulum magis expetendam eſſe quàm hominum ceterorum: & hoc veluti exemplum exhibent, ſe, quum de nugis ità improbatis aliquid dicendum habeant, de rebus bonis præclariſque dicendis oratione facilè abundaturos. Mihi verò id omnium maximè ridiculum videtur, quòd per iſtas nugas probare ſtudeant ſe rerum civilium peritos eſſe, quum in iis ipſis quæ pollicentur ſpecimen eruditionis ſuæ præbere poſſent. Nam qui ſapien-

καὶ φάσκοντας εἶναι σοφιστὰς, οὐκ ἐν τοῖς ἠμελημένοις ὑπὸ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἐν οἷς ἅπαντές εἰσιν ἀνταγωνισταὶ, προσήκει διαφέρειν, καὶ κρείττους εἶναι τῶν ἰδιωτῶν. Νῦν δὲ παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις προσποιοῖτο κράτιστος εἶναι τῶν ἀθλητῶν, ἐνταῦθα καταβαίνων οὗ μηδεὶς ἂν ἄλλος ἀξιώσειε. Τίς γὰρ ἂν τῶν εὖ φρονούντων συμφορὰς ἐπαινεῖν ἐπιχειρήσειεν; ἀλλὰ δῆλον ὅτι δι' ἀσθένειαν ἐνταῦθα καταφεύγουσιν. Ἔστι γὰρ τῶν μὲν τοιούτων συγγραμμάτων μία τις ὁδὸς, ἣν οὔθ' εὑρεῖν, οὔτε μαθεῖν, οὔτε μιμήσασθαι, δύσκολόν ἐστιν. Οἱ δὲ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων, διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων εὑρίσκονταί τε καὶ λέγονται· καὶ τοσούτῳ χαλεπωτέραν ἔχουσι τὴν σύνθεσιν, ὅσωπερ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν, καὶ τὸ σπουδάζειν τοῦ παίζειν, ἐπιπονώτερόν ἐστι. Σημεῖον δὲ μέγιστον· τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν, οὐδεὶς πώποτε λόγων ἠπόρησεν· οἱ δὲ περὶ τῶν ὁμολογουμένων ἀγαθῶν καὶ καλῶν, ἢ τῶν διαφερόντων ἐπ' ἀρετῇ τι λέγειν

[l. 13.] Πιστοὶ certi, τούτοις ὅμοιοι, his (i. e. certis) ſimiles.

[l. 19.] Juxtà Harpocrationem βομβύλιος non eſt

tiam ſibi vindicant, & ſapientes videri volunt, eos excellere decet atque indoctos ſuperare, non iis rebus quas alii Græci negligunt, ſed iis quas univerſi æmulantur. Nunc perindè faciunt ac ſi ille qui ſe pugilem præſtantiſſimum eſſe profiteatur, eum in locum deſcendat quo nemo ſequi velit. Quis enim ſanæ mentis homo calamitates laudare inſtituat? Verùm manifeſtum eſt iſtos ob ingenii infirmitatem hùc confugere. Eſt enim ejuſmodi ſcriptionum una quædam via, quam nec invenire, nec diſcere, nec imitari, difficile fuerit. Orationes autem quæ ad utilitatem omnium ſpectant, quæ certa aut probabilia exquirunt, per multas formas & condecentias cognitu difficiles, tùm inveniuntur, tùm dicuntur, ac tantò difficilioris ſunt compoſitionis, quantò gravem eſſe quàm ſcurram agere, in ſeriis verſari quàm ludere, eſt operoſius. Cujus rei hoc maximum ſignum eſt, quòd neminem unquam qui apes, & ſalem, & reliqua ejus generis, laudare voluit, verba defecerint. Qui verò de rebus omnium confeſſione præclaris & bonis, aut viris virtute præſtantibus, aliquid dicere conati

---

apis, ſed animal api ſimile.

[l. 21 & 22.] Antè καλῶν pro ϗ vulgata habet ἤ. Τῶν διαφερόντων, ſubaudi ἀνδρῶν.

[l. 22.] Pro τὸ in vulg. legi τὶ cum edit. Baſ. Med. & Battie.

ἐπιχειρήσαντες, πολὺ καταδεέστερον τῶν ὑπαρχόντων ἅπαντες εἰρήκασιν. Οὐ γὰρ τῆς αὐτῆς γνώμης ἐστὶν ἀξίως εἰπεῖν περὶ ἑκατέρου αὐτῶν, ἀλλὰ τὰ μὲν μικρὰ ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι· καὶ περὶ μὲν τῶν δόξαν ἐχόντων, σπάνιον εὑρεῖν ὃ μηδεὶς πρότερον εἴρηκε· περὶ δὲ τῶν φαύλων καὶ ταπεινῶν, ὅ,τι ἂν τις τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν ἐστι.

Διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαινῶ μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων· ὅτι περὶ τοιαύτης ἐμνήσθη γυναικὸς, ἣ καὶ τῷ γένει καὶ τῷ κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκεν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτον μικρόν τι παρέλαθε. Φησὶ γὰρ ἐγκώμιον γράφειν περὶ αὐτῆς, τυγχάνει δ' ἀπολογίαν εἰρηκὼς ὑπὲρ τῶν ἐκείνῃ πεπραγμένων. Ἔστι δ' οὐκ ἐκ τῶν αὐτῶν ἰδεῶν, οὐδὲ περὶ τῶν αὐτῶν ἔργων, ὁ λόγος, ἀλλ' ἅπαν τοὐναντίον. Ἀπολογεῖσθαι μὲν γὰρ προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινὶ διαφέροντας.

Ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις, μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαι περὶ αὐτῆς ταύτης εἰπεῖν, παραλιπὼν ἅπαντα τὰ τοῖς ἄλλοις εἰρημένα.

sunt,

sunt, hi omnes longè tenuiùs dixerunt quàm argumenti magnitudo postulabat. Non enim ejusdem est ingenii pro utrorumque dignitate dicere; sed ut expeditum parva superare verbis, sic ingentium magnitudinem dicendo exæquare difficillimum : & de rebus quidem celebribus arduum est invenire quod nemo priùs usurpârit; at de rebus contemptis & humilibus, quidquid fortuitò aliquis dixerit, id omne ipsius proprium est.

6°. Quapropter illum qui de Helenâ scripsit, inter eos maximè laudo qui oratione aliquid illustrare voluerunt; quòd eam mulierem censuerit celebrandam, quæ & genere & formâ & gloriâ multùm excelluit. Sed hunc tamen fefellit parvum quiddam. Nam quum præ se ferat de illâ laudationem se scripturum, defensionem factorum illius edidit. Non autem est ejusdem generis, nec de iisdem rebus habetur oratio; imò nihil fieri posset magis contrarium. Defendendi enim sunt qui malefacti alicujus accusantur; laudandi, qui bono quopiam aliis antecellunt.

Verùm, ne id quod facillimum est facere videar, alios nempè reprehendere dùm nihil ipse meum proferam, de hâc ipsâ Helenâ facere verba conabor, iis omnibus relictis quæ ceteri dixerunt.

[1. 3.] Περὶ ἑκατέρων αὐτῶν, i. e. περὶ μικρῶν καὶ μεγάλων.

Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν τοῦ γένους αὐτῆς. Πλείστων γὰρ ἡμιθέων γεννηθέντων ὑπὸ Διὸς, μόνης ταύτης τῆς γυναικὸς πατὴρ ἠξίωσε κληθῆναι. Σπουδάσας δὲ μάλιστα περὶ τὸν ἐξ Ἀλκμήνης, τοσούτῳ μᾶλλον Ἑλένην Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν ἣ βίᾳ τῶν ἄλλων ἁπάντων κρατεῖν δύναται, τῇ δὲ κάλλος ἀπένειμεν ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. Εἰδὼς δὲ τὰς λαμπρότητας καὶ τὰς ἐπιφανείας, οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ᾽ ἐκ τῶν πολέμων καὶ τῶν ἀγώνων γιγνομένας, καὶ βουλόμενος αὐτοῖς μὴ μόνον τὰ σώματα εἰς θεοὺς ἀναγαγεῖν, ἀλλὰ καὶ τὰς δόξας ἀειμνήστους καταλιπεῖν· τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησε.

Καὶ πρῶτον μὲν Θησεὺς, ὁ λεγόμενος μὲν Αἰγέως, γενόμενος δὲ ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν ἀκμάζουσαν, εἴδει δὲ τῶν ἄλλων διαφέρουσαν· τοσοῦτον ἡττήθη τοῦ κάλλους, κρατεῖν τῶν ἄλλων εἰθισμένος, ὥσθ᾽ ὑπαρχούσης αὐτῷ καὶ πατρίδος μεγίστης, καὶ βασιλείας ἀσφαλεστάτης, ἡγησάμενος οὐκ ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἄνευ τῆς πρὸς ἐκείνην

CONFIRMATIO.

I. Orationis autem exordium à primordio generis ipſius ducam. Nam quum ſemidei plurimi à Jove procreati ſint, ſolius hujus mulieris pater vocari voluit : & quamvis de Alcmenæ filio maximè eſſet ſollicitus, tantò magis præ Hercule Helenam honoravit, ut illi robur dederit quod vi ceteros omnes vincere poteſt ; huic pulchritudinem attribuerit quæ ipſi robori ſolet imperare. Quum autem ſciret non quiete & otio, ſed bellis & certaminibus, ſplendorem & celebritatem comparari, nec vellet tantùm ipſorum corpora in Deorum cœtus referre, ſed nomina æternæ hominum memoriæ commendare, alterius vitam effecit laboribus & periculis plurimis obnoxiam ; alterius formam ubique conſpicuam & pluribus viris expetendam reddidit.

II. Ac primùm Theſeus, dictus quidem Ægei, re autem verâ Neptuni filius, conſpicatus ipſam nondùm adultam, at jam formâ aliis præſtantem, uſque adeò ejus pulchritudine victus eſt, is qui alios vincere ſolebat, ut, quamvis patriam haberet ampliſſimam & regnum tutiſſimum, in præſentibus tamen bonis non operæ pretium eſſe vivere exiſtimans ſine hujus conſuetudine, quum ipſam à

οἰκειότητος, ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ' ἦν αὐτὴν λαβεῖν, ἀλλ' ἀνέμενον τήν τε τῆς παιδὸς ἡλικίαν, καὶ τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν τὴν Τυνδάρεω, καὶ καταφρονήσας τῆς ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους, καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας, βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς ἐκόμισε. Καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς ἁρπαγῆς, ὥστε, βουληθέντος αὐτοῦ μνηστεῦσαι κόρην τὴν Διὸς καὶ Δήμητρος, καὶ παρακαλοῦντος αὐτὸν ἐπὶ τὴν ᾅδου κατάβασιν, ἐπειδὴ συμβουλεύων οὐχ οἷός τ' ἦν ἀποτρέπειν, προδήλου τῆς συμφορᾶς οὔσης, ὅμως αὐτῷ συνηκολούθησε· νομίζων ὀφείλειν τοῦτον τὸν ἔρανον, μηδενὸς ἀποστῆναι τῶν ὑπὸ Πειρίθου προσταττομένων, ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.

Εἰ μὲν οὖν ὁ ταῦτα πράξας, εἷς ἦν τῶν τυχόντων, ἀλλὰ μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἂν πω δῆλος ἦν ὁ λόγος, πότερον Ἑλένης ἔπαινος, ἢ κατηγορία Θησέως ἐστί. Νῦν δὲ τῶν μὲν ἄλλων τῶν εὐδοκιμησάντων εὑρήσομεν, τὸν μὲν

[l. 1.] Παρὰ τῶν κυρίων, scilicet τῆς Ἑλένης, i. e. τῶν αὐτῆς γονέων καὶ ἀδελφῶν. Deindè, τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, de oraculo isto non memini me quid-

parentibus & fratribus accipere non posset (quippè qui & ætatem puellæ & oraculum à Delphis expectarent), despecto Tyndarei imperio, contemptis Castoris Pollucisque viribus, & periculis omnibus quæ à Lacedæmone impendebant neglectis, illam vi raptam, Aphidnam, Atticæ oppidum, transtulerit. Ac tantam habuit gratiam Pirithoo, qui ejus rapiendæ socius fuerat, ut, quum ille ambire vellet Proserpinam, Jovis & Cereris filiam, eumque ut secum ad inferos descenderet, hortaretur; quum suis illum consiliis à proposito non posset avertere, quanquam in conspectu erat calamitas, tamen eum comitatus sit: nempè arbitratus hanc mercedem deberi Pirithoï meritis, & susceptæ unà discriminis societati, ne ulla ipsius jussa detrectaret.

Longa digressio in Thesei laudes qui Helenam rapuerat.

1°. Quòd si is qui hæc egit vulgaris aliquis fuisset, & non vir excellentissimus, nondùm constaret utrùm oratio hæc laus Helenæ, an Thesei potiùs esset accusatio. Nunc inter ceteros illustres viros, alium fortitudine, alium sapientiâ,

quam legisse. Ità Volfius.

[l. 11.] Ἐπὶ τὴν ᾅδου, malim cum Battie ἐπὶ τὴν εἰς ᾅδου.

ἀνδρείας, τὸν δὲ σοφίας, τὸν δ' ἄλλου τινὸς τῶν τοιούτων μερῶν, ἀπεστερημένον· τοῦτον δὲ μόνον οὐδενὸς ἐνδεᾶ γενόμενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον. Δοκεῖ δέ μοι περὶ αὐτοῦ καὶ διὰ μακροτέρων εἰπεῖν· ἡγοῦμαι γὰρ ταύτην μεγίστην εἶναι πίστιν τοῖς βουλομένοις Ἑλένην ἐπαινεῖν, ἢν ἐπιδείξωμεν τοὺς ἀγαπήσαντας καὶ θαυμάσαντας ἐκείνην, αὐτοὺς τῶν ἄλλων θαυμαστοτέρους ὄντας.

Ὅσα μὲν γὰρ ἐφ' ἡμῶν γέγονεν, εἰκότως ἂν ταῖς δόξαις ταῖς ἡμετέραις αὐτῶν διακρίνοιμεν· περὶ δὲ τῶν οὕτω παλαιῶν, προσήκει τοῖς κατ' ἐκεῖνον τὸν χρόνον εὖ φρονήσασιν ὁμονοοῦντας ἡμᾶς φαίνεσθαι. Κάλλιστον μὲν οὖν περὶ Θησέως τοῦτ' εἰπεῖν ἔχω, ὅτι κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος, ἐφάμιλλον τὴν ἑαυτοῦ δόξαν πρὸς τὴν ἐκείνου κατέστησεν. Οὐ γὰρ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίως· ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς, πρέποντα τῇ συγγενείᾳ ποιοῦντες. Ἐξ ἀδελφῶν δὲ γεγονότες, ὁ μὲν ἐκ Διός, ὁ δ' ἐκ Ποσειδῶνος, ἀδελφὰς καὶ τὰς ἐπιθυμίας ἔχον. Μόνοι γὰρ οὗτοι τῶν προγεγενημένων ὑπὲρ τοῦ βίου τῶν ἀνθρώπων ἀθληταὶ κατέστησαν.

[l. 1.] Τὸν δ' ἄλλου .... ad verbum, alium aliquâ aliâ hujusmodi partium caruisse. Sciendum est, quod

alium aliis virtutibus, caruisse reperias; huic verò soli defuisse nihil, sed virtutem numeris omnibus absolutam contigisse. Lubet autem de eo dicere prolixiùs: nam laudatores Helenæ hoc argumento maximam sibi fidem conciliaturos arbitror, si ostenderint amatores & admiratores ejus, ipsos aliis admirabiliores extitisse.

2°. De iis quidem quæ nostrâ ætate facta sunt haud injuriâ juxtà nostram opinionem judicamus; de rebus verò tàm antiquis par est nos illorum temporum prudentibus viris assentiri. Ac de Theseo pulcherrimum illud habeo dicere, quòd, eodem tempore quo Hercules natus, eamdem quam ille gloriam æmulatus sit. Nec enim simili armorum genere duntaxat sese ornârunt, sed similia quoque coluerunt studia, cognationi ipsorum consentanea facientes. E fratribus enim geniti, alter Jove, Neptuno alter, fraternas etiam & germanas cupiditates habuerunt. Siquidem hi soli, ex omni memoriâ, humani generis quasi pugiles, semper steterunt in procinctu.

---

jam observavimus, veteres universam virtutem in plures partes divisisse, ità ut singulæ virtutes ipsius forent pars aliqua.

Συνέβη δὲ τὸν μὲν ὀνομαστοτέρους καὶ μείζους, τὸν δὲ ὠφελιμωτέρους καὶ τοῖς Ἕλλησιν οἰκειοτέρους, ποιήσασθαι τοὺς κινδύνους. Τῷ μὲν γὰρ Εὐρυσθεὺς προσέταττε τάς τε βοῦς τὰς ἐξ Ἐρυθείας ἀγαγεῖν, καὶ τὰ μῆλα τῶν Ἑσπερίδων ἐνεγκεῖν, καὶ τὸν Κέρβερον ἀναγαγεῖν, καὶ τοιούτους πόνους ἄλλους, ἐξ ὧν ἤμελλεν οὐ τοὺς ἄλλους ὠφελεῖν, ἀλλ' αὐτὸς κινδυνεύσειν. Ὁ δ' αὐτὸς αὑτοῦ κύριος ὢν, τούτους προῄρητο τῶν ἀγώνων ἐξ ὧν ἔμελλεν, ἢ τῶν Ἑλλήνων, ἢ τῆς ἑαυτοῦ πατρίδος, εὐεργέτης νομισθήσεσθαι. Καὶ τόν τε ταῦρον τὸν ἀνεθέντα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον, ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσάμενος, μεγάλου φόβου καὶ μεγάλης ἀπορίας ἅπαντας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξε. Καὶ κατὰ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος, καὶ στρατευσάμενος ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ διενεγκόντες, τὰς μὲν ἐπόρθουν, τὰς δ' ἔμελλον, ταῖς δ' ἠπείλουν τῶν πόλεων, τούτους μάχῃ νικήσας, εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισε. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους, τὸ τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον δ'

[l. 1 & 2.] Vulg. τῶν μὲν, τῶν δὲ, dedi τὸν μὲν,

Sic autem contigit, ut alter celebriora & majora, alter utiliora & conjunctiora Græcis, pericula subiret. Illi quidem Eurystheus imperavit ut boves ex Erytheâ abigeret, ut mala Hesperidum afferret, ut Cerberum ex inferis adduceret, & alios ejus generis susciperet labores, per quos non tàm aliis esset profuturus quàm ipse periclitaturus. Hic verò, quum sui juris esset, ea certamina delegit per quæ aut Græcorum, aut suæ ipsius patriæ, benefactor haberetur. Proindè taurum à Neptuno immissum, & vastantem Atticam, cum quo universi congredi non audebant, solus ipse quum domuisset, magno metu magnâque trepidatione omnes qui urbem incolebant liberavit. Posteà autem, initâ cum Lapithis societate, & expeditione susceptâ contrà bimembres illos Centauros, qui, & celeritate & viribus & audaciâ præstantes, urbes alias vastârant, alias vastaturi erant, aliis minitabantur, hos prælio quum vicisset, statìm ipsorum ferociam repressit, neque multò post genus omne eorum ex hominum cœtu delevit. Circà eadem tempora, quum monstrum illud in Cretâ educatum, atque ex Pasiphaë

τὸν δὲ, cum edit. Bas. & Battie.

[l. 3.] Τῷ μὲν γάρ..... Hîc & in pag. seq. multa commemorantur facta quæ in fabulis notiora sunt quàm ut à nobis explicentur.

ἐκ Πασιφάης τῆς Ἡλίου θυγατρός· ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους, καὶ πανδημεὶ προπεμπομένους ἐπὶ θάνατον ἄνομον καὶ προῦπτον, καὶ πενθουμένους ἔτι ζῶντας, οὕτως ἠγανάκτησεν, ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς, ἄρχων τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης. Σύμπλους δὲ γενόμενος, καὶ κρατήσας φύσεως ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμιγμένης, τὴν δ' ἰσχὺν ἐχούσης οἵαν προσήκει τὴν ἐκ σωμάτων τοιούτων συγκειμένην, τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκεν, τὴν δὲ πόλιν οὕτως ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου προστάγματος ἠλευθέρωσεν.

Ἀπορῶ δ' ὅ,τι χρήσωμαι τοῖς ἐπιλοίποις· ἐπιστὰς γὰρ ἐπὶ τὰ Θησέως ἔργα, καὶ λέγειν ἀρξάμενος περὶ αὐτῶν, ὀκνῶ μὲν μεταξὺ παύσασθαι καὶ παραλιπεῖν τὴν Σκείρωνος καὶ Κερκύονος, καὶ τῶν ἄλλων τῶν τοιούτων, παρανομίαν· πρὸς οὓς ἀνταγωνιστὴς γενόμενος ἐκεῖνος, πολλῶν καὶ μεγάλων συμφορῶν τοὺς Ἕλληνας ἀπήλλαξεν. Αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω φερόμενον τῶν και-

---

[l. 1.] Post θυγατρὸς, subaudi ἠφάνισε, vel adde ἀνεῖλε, nisi mavis suspensionem quamdam fieri post

Solis filiâ natum, extitiſſet, cui tributi nomine noſtra civitas bis ſeptenos pueros ex oraculo mittebat; quum videret eos duci, toto populo comitante, ad necem iniquam certumque interitum, & viventes adhuc lugeri pro mortuis, tantâ indignatione exarſit, ut potiùs eſſe duxerit emori, quàm vivere turpiter, & imperare civitati quæ tàm miſerabile tributum hoſtibus pendere cogeretur. Itaque conſcenſo unà cum illis navigio, & eâ naturâ ſuperatâ quæ è viro & tauro conflata eſſet, tantoque polleret robore quanto par erat eam quæ talibus conſtaret corporibus, non liberos ſolùm parentibus incolumes reſtituit, ſed civitatem etiam à tàm injuſto tàmque acerbo & inevîtabili edicto vindicavit.

Equidem ſum animi dubius quid conſilii de reliquis capiam. Poſteaquam enim Theſei facinora ſum ingreſſus, & de illis cœpi dicere, non facilè inducor ut, in medio veluti curſu oratione abruptâ, Scironis & Cercyonis, aliorumque ejus generis, immanitatem prætermittam: contrà quos ille quum fortiter pugnaſſet, multis magnisque calamitatibus Græcos liberavit. Sentio autem me exce-

θυγατρὸς, & multis interjectis oratorem obliviſci præpoſitum accuſativum; quæ artificioſa oblivio ſæpè occurrit apud oratores.

ερῶν, καὶ δέδοικα μή τισι δόξω περὶ τούτου μᾶλλον σπουδάζειν, ἢ περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην. Ἐξ ἀμφοτέρων οὖν τούτων αἱροῦμαι, τὰ μὲν πλεῖστα παραλιπεῖν, διὰ τοὺς δυσκόλως ἀκροωμένους· περὶ δὲ τῶν ἄλλων, ὡς ἂν δύνωμαι συντομώτατα διελθεῖν, ἵνα τὰ μὲν ἐκείνοις, τὰ δ' ἐμαυτῷ, χαρίσωμαι, καὶ μὴ παντάπασιν ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν, καὶ τοῖς λεγομένοις ἅπασιν ἐπιτιμᾶν.

Τὴν μὲν οὖν ἀνδρίαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις ἐν οἷς αὐτὸς καθ' αὑτὸν ἐκινδύνευσε· τὴν δ' ἐπιστήμην ἣν εἶχε πρὸς τὸν πόλεμον, ἐν αἷς μάχαις ἐν αἷς μεθ' ὅλης τῆς πόλεως ἠγωνίσατο· τὴν δ' εὐσέβειαν τὴν πρὸς τοὺς θεοὺς, ἔν τε ταῖς Ἀδράστου καὶ ταῖς τῶν παίδων τῶν Ἡρακλέους ἱκετείαις· τοὺς μὲν γὰρ, μάχῃ νικήσας Πελοποννησίους, διέσωσε· τῷ δὲ, τοὺς ὑπὸ τὴν Καδμίαν τελευτήσαντας βίᾳ Θηβαίων θάψαι παρέδωκε· τὴν δ' ἄλλην ἀρετὴν καὶ τὴν σωφροσύνην ἔν τε τοῖς προειρημένοις, καὶ μάλιστα ἐν οἷς τὴν πόλιν διῴκησεν.

Ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ἄρχειν ζητοῦντας, ἑτέροις δουλεύοντας· καὶ τοὺς ἐπικίνδυνον τὸν βίον τοῖς ἄλλοις καθιστάντας, αὐτοὺς περιδεῶς ζῶντας, καὶ πολεμεῖν ἀναγκαζομένους, μετὰ μὲν τῆς πόλεως πρὸς τοὺς ἐπιστρατευομένους,

dere modum, & vereor ne aliquibus videar de Theſeo laborare magis quàm de eâ de quâ me dicturum initio propoſui. Quæ utraque quum ità ſe habeant, plurima omittere ſtatui propter moroſos auditores, ac cetera quàm potero breviſſimè percurrere; ut partìm illis, partìm mihi ipſe gratificer, neque prorsùs iſtis cedam qui conſuêrunt invidere & omnia quæ dicuntur cavillari.

3°. Fortitudinem igitur ſuam oſtendit in his facinoribus in quibus ipſe ſolus pugnavit; rei militaris ſcientiam, in præliis in quibus pugnavit cum universâ civitate; pietatem ergà Deos, in Adraſti & liberorum Herculis ſupplicationibus: nam hos quidem, prælio victis Peloponnenſibus, conſervavit; illi autem, eos qui ſub Cadmeâ ceciderant, Thebanis invitis, ſepeliendos tradidit: ceteras denique virtutes & moderationem cùm in prædictis, tùm in eâ quâ civitatem adminiſtravit ratione.

4°. Quum enim animadverteret eos qui civibus per vim imperare ſtuderent, ſervire aliis; & qui ceteris vitam redderent periculoſam, ipſos metu perterritos vivere, cogique bella gerere & cum civibus contrà externos hoſtes, & cum quibuſdam

---

[l. 2.] Vel ad τὴν ἀρχὴν, ſub. κατὰ & ad ὑπεθέμην, ſub. λέγειν & interpretare, de quâ me dicturum initio propoſui; vel conjunge τὴν ἀρχὴν cum ὑπεθέμην, de quâ jeci fundamentum, i. e. de quâ nuntiavi me dicturum.

μετ' ἄλλων δέ τινων πρὸς τοὺς συμπολιτευομένους· ἔπειτα δὲ, συλῶντας μὲν τὰ τῶν θεῶν, ἀποκτιννύντας δὲ τοὺς βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς οἰκειοτάτοις, οὐδὲν δ' ἀθυμότερον ζῶντας τῶν ἐπὶ θανάτῳ συνειλημμένων· ἀλλὰ τὰ μὲν ἔξω ζηλουμένους, αὐτοὺς δὲ παρ' αὐτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους (τί γάρ ἐστιν ἄλγιον, ἢ ζῆν ἀεὶ δεδιότα μή τις αὐτὸν τῶν παρεστώτων ἀποκτείνῃ, καὶ μηδὲν ἧττον φοβούμενον τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας;)· τούτων ἁπάντων καταφρονήσας, καὶ νομίσας οὐκ ἄρχοντας, ἀλλὰ νοσήματα τῶν πόλεων εἶναι τοὺς τοιούτους, ἀπέδειξεν ὅτι ῥᾷόν ἐστιν ἅμα τυραννεῖν, καὶ μηδὲν χεῖρον διακεῖσθαι τῶν ἐξ ἴσου πολιτευομένων.

Καὶ πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν εἰς ταυτὸν συναγαγὼν, τηλικαύτην ἐποίησεν, ὥστ' ἔτι καὶ νῦν ἀπ' ἐκείνου τοῦ χρόνου μεγίστην τῶν Ἑλληνίδων εἶναι. Μετὰ δὲ ταῦτα, κοινὴν τὴν πατρίδα καταστήσας, καὶ τὰς ψυχὰς τῶν πολιτευομένων ἐλευθερώσας, ἐξ ἴσου τὴν ἅμιλλαν αὐτοῖς περὶ τὴν ἀρχὴν ἐποίησε, πιστεύων μὲν ὁμοίως αὐτῶν προέξειν ἀσκούντων, ὥσπερ ἀμελούντων. Εἰδὼς δὲ τὰς τιμὰς ἡδίους οὔσας τὰς παρὰ τῶν

[l. 23.] Ad ἀσκούντων, ſubaudi ἑαυτοὺς, ſicut & ad

aliis contrà cives ipſos; iſtos præterea templa Deorum ſpoliare, optimos quoſque cives interficere, amiciſſimis diffidere, & vitam agere nihilò tranquilliorem quàm eos qui conjecti in vincula mortem ſubituri ſunt (quid enim acerbius eſt quàm perpetuò trepidare ne à proximo quoque juguleris, & eos non minùs formidare qui corpus tuum cuſtodiunt quàm eos qui vitæ tuæ inſidiantur?): his omnibus contemptis, quum id genus hominum non eſſe principes ſed peſtes civitatum exiſtimaret, facile eſſe demonſtravit, ſimul & regnare aliquem, & nihilò pejore eſſe ſtatu quàm ſi pari & æquo jure viveret cum ceteris civibus.

Ac primùm civitatem quæ priùs ſparsìm & vicatìm habitabat, congregatam in unum locum, tantam effecit, ut etiam nunc ex eo tempore Græcarum urbium ſit ampliſſima. Deindè patriam communem omnibus conſtituit, & liberatis civium animis, in contentione honorum ad magiſtratus parem aditum omnibus eſſe voluit; confiſus quidem ſe non minùs fore ipſorum principem ſi ſtrenuè agerent quàm ſi ignaviâ torperent. Quum autem ſciret eos honores jucundiores eſſe qui à viris

---

ἀμελούντων, vel ἑαυτῶν, vel τῶν πραγμάτων.

μέγα φρονούντων, ἢ τὰς παρὰ τῶν δουλευόντων, τοσοῦτον ἐδέησεν ἀκόντων τι ποιεῖν τῶν πολιτῶν, ὥσθ' ὁ μὲν τὸν δῆμον καθίση κύριον τῆς πολιτείας, οἱ δὲ μόνον αὐτὸν ἄρχειν ἠξίουν, ἡγούμενοι πιστοτέραν καὶ κοινοτέραν εἶναι τὴν ἐκείνου μοναρχίαν τῆς αὑτῶν δημοκρατίας. Οὐ γὰρ ὥσπερ ἕτεροι τοὺς μὲν πόνους ἄλλοις προσέταττε, τῶν δ' ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν, ἀλλὰ τοὺς μὲν κινδύνους ἰδίους ἐποιεῖτο, τὰς δ' ὠφελείας ἅπασιν εἰς τὸ κοινὸν ἀπεδίδου. Καὶ γάρ τοι διετέλεσε τὸν βίον οὐκ ἐπιβουλευόμενος, ἀλλ' ἀγαπώμενος· οὐδ' ἐπακτῷ δυνάμει τὴν ἀρχὴν διαφυλάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ μὲν ἐξουσίᾳ τυραννῶν, ταῖς δ' εὐεργεσίαις δημαγωγῶν. Οὕτω γὰρ νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν, ὥστ' ἔτι καὶ νῦν ἴχνος τῆς ἐκείνου πρᾳότητος ἐν τοῖς ἤθεσιν ἡμῶν καταλελεῖφθαι.

Τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διός, κρατήσασαν δὲ τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ ἐπαινεῖν χρὴ καὶ τιμᾶν, καὶ νομίζειν πολὺ τῶν πώποτε γενομένων διενεγκεῖν; Οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον, οὐδὲ κριτὴν ἱκανώτερον, ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν, τῆς Θησέως διανοίας.

Ἵνα δὲ μὴ δοκῶ περὶ τὸν αὐτὸν τόπον δι' ἀπορίαν διατρίβειν, μηδ' ἀνδρὸς ἑνὸς δόξῃ

magnanimis

magnanimis quàm eos qui à servitute oppressis deferuntur, tantùm abfuit ut quidquam faceret invitis civibus, ut & ipse populum summam rerum juberet administrare, & illi solum hunc regnare vellent, existimantes ejus monarchiam fideliorem & æquiorem esse quàm suam ipsorum democratiam. Non enim, quod alii solent, labores civibus mandabat dùm solus ipse caperet voluptates; sed sibi privatìm vindicabat pericula, dùm utilitates in commune conferret. Itaque vitam & sine ullis insidiis & summâ omnium caritate peregit, non peregrinis militibus imperium muniendo, sed civium benevolentiâ corpus suum tuendo, potestate rex, beneficiis popularis. Tàm justè enim & præclarè civitatem administravit, ut etiam hodie ejus mansuetudinis vestigium in nostris moribus reliquum animadvertatur.

Reditus ad Helenam.

Eam igitur quæ & Jove nata, & tantæ virtuti ac sapientiæ dominata est, nonne laudari decet atque honorari, longéque anteferri omnibus omnium ætatum mulieribus? Nec enim testem fide digniorem, neque judicem magis idoneum virtutum earum quibus Helena prædita fuit, quàm Thesei mentem, adducere possimus.

Ne verò propter inopiam immorari eodem loco, aut viri unius ad hanc laudandam abuti gloriâ

καταχρώμενος ἐπαινεῖν αὐτήν, βούλομαι καὶ περὶ τῶν ἐχομένων διελθεῖν.

Μετὰ γὰρ τὴν Θησέως εἰς ᾅδου κατάβασιν, ἐπανελθούσης αὐτῆς εἰς Λακεδαίμονα, καὶ πρὸς τὸ μνηστεύσασθαι λαβούσης ἡλικίαν, ἅπαντες οἱ τότε βασιλεύοντες, καὶ δυναστεύοντες ἐν ταῖς πόλεσι, τὴν αὐτὴν γνώμην εἶχον περὶ αὐτῆς. Ἐξὸν γὰρ αὐτοῖς λαμβάνειν ἐν ταῖς αὐτῶν πόλεσι γυναῖκας τὰς πρωτευούσας, ὑπεριδόντες τοὺς οἴκοι γάμους, ἦλθον ὡς ἐκείνην μνηστεύσοντες. Οὔπω δὲ κεκριμένου τοῦ μέλλοντος αὐτῇ συνοικεῖν, ἀλλ' ἔτι κοινῆς τῆς τύχης οὔσης, οὕτω πρόδηλος ἦν ἅπασιν ἀνθρώποις ἐσομένη περιμάχητος, ὥστε συνελθόντες, πίστεις ἔδοσαν ἀλλήλοις, ἦ μὴν βοηθήσειν, εἴτις ἀποστεροίη τὸν ἀξιωθέντα λαβεῖν αὐτήν· νομίζων ἕκαστος ταύτην τὴν ἐπικουρίαν ἑαυτῷ παρασκευάζειν. Τῆς μὲν οὖν ἰδίας ἐλπίδος, πλὴν ἑνὸς ἀνδρὸς, ἅπαντες ἐψεύσθησαν· τῆς δὲ κοινῆς δόξης ἣν εἶχον περὶ ἐκείνης, οὐδεὶς αὐτῶν διήμαρτεν.

Οὐ πολλοῦ γὰρ χρόνου διελθόντος, καὶ γενομένης ἐν θεαῖς περὶ κάλλους ἔριδος, ἧς Ἀλέξανδρος ὁ Πριάμου κατέστη κριτὴς, καὶ διδούσης

videar, ea etiam quæ restant volo commemorare.

III. Nam quum, post Thesei descensum ad inferos, Lacedæmonem reversa, ad eam ætatem pervenisset in quâ ipsius nuptiæ ambiri possent, præstantissimi reges illius temporis & principes urbium idem de eâ universi senserunt. Quanquam enim ipsis licebat in suis ipsorum urbibus primarias mulieres ducere, spretis tamen domesticis nuptiis, ad eam sunt profecti ambiendi gratiâ. Quum verò nondùm foret exploratum quisnam ejus nuptias obtineret, sed fortuna adhuc esset communis, adeò manifestum omnibus fuit de eâ armis dimicandum fore, ut congressi sibi fidem mutuò dederint se omninò eum adjuturos qui connubio illius dignus haberetur, si quis illam per vim ab eo abduxisset : putabat enim quisque se hoc sibimetipsi parare præsidium. Ac spe quidem privatâ, uno viro excepto, omnes frustrati sunt; communis autem quæ de eâ fuit opinio fefellit neminem.

Mentio fit posterioris raptûs facti à Paride Trojano, qui cognominabatur Alexander. Hujus facinus defenditur, imò & præconiis donatur ipsius judicium.

1°. Nam elapso parvo temporis spatio, ortâque inter deas de formæ præstantiâ contentione, cujus Alexander, Priami filius, judex delectus est, quum

Ἥρας μὲν, ἁπάσης αὐτῷ βασιλείαν τῆς Ἀσίας· Ἀθηνᾶς δὲ, κρατεῖν ἐν πολέμοις· Ἀφροδίτης δὲ, τὸν γάμον τῆς Ἑλένης· τῶν μὲν σωμάτων οὐ δυνηθεὶς λαβεῖν διάγνωσιν, ἀλλ' ἡττηθεὶς τῆς τῶν θεῶν ὄψεως, τῶν δὲ δωρεῶν ἀναγκασθεὶς γενέσθαι κριτὴς, εἵλετο τὴν οἰκειότητα τῆς Ἑλένης ἀντὶ τῶν ἄλλων ἁπάντων· οὐ πρὸς τὰς ἡδονὰς ἀποβλέψας (καίτοι τοῦτο τοῖς εὖ φρονοῦσι πολλῶν αἱρετώτερόν ἐστιν, ἀλλ' ὅμως οὐκ ἐπὶ τοῦθ' ὥρμησεν), ἀλλ' ἐπεθύμησε Διὸς γενέσθαι καὶ κληθῆναι κηδεστής· νομίζων πολὺ μείζω καὶ καλλίω ταύτην εἶναι τὴν τιμὴν, ἢ τὴν τῆς Ἀσίας βασιλείαν· καὶ μεγάλας μὲν ἀρχὰς καὶ δυναστείας καὶ φαύλοις ἀνθρώποις ποτὲ παραγενήσεσθαι, τοιαύτης δὲ γυναικὸς οὐδένα τῶν ἐπιγινομένων ἀξιωθήσεσθαι· πρὸς δὲ τούτοις οὐδὲν ἂν κάλλιον κτῆμα καταλιπεῖν τοῖς παισὶν, ἢ παρασκευάσας αὐτοῖς ὅπως καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς, ἀπὸ Διὸς ἔσονται γεγονότες. Ἠπίστατο γὰρ τὰς μὲν ἄλλας εὐτυχίας ταχέως μεταπιπτούσας· τὴν δ' εὐγένειαν ἀεὶ τοῖς αὐτοῖς παραμένουσαν. Ὥστε ταύτην μὲν τὴν αἵρεσιν ὑπὲρ ἅπαντος τοῦ γένους ἔσεσθαι, τὰς δ' ἑτέρας δωρεὰς, ὑπὲρ τοῦ χρόνου μόνου τοῦ καθ' ἑαυτόν. Τῶν μὲν οὖν εὖ φρονούντων οὐδεὶς ἂν τοῖς λογισμοῖς τούτοις ἐπιτιμήσειεν.

Τῶν δὲ μηδὲν πρὸ τοῦ πράγματος ἐνθυμου-

ipsi Juno regnum Asiæ, Minerva victoriam in bellis, Venus conjugium Helenæ offerret, ipse autem non posset Dearum pulchritudinem dijudicare, sed harum fulgore perculsus, solorum munerum judex esse cogeretur, consuetudinem Helenæ ceteris omnibus anteposuit. Non quòd voluptates præcipuè spectaret (etsi enim eas sapientes viri multis aliis rebus præferunt, non tamen eò impulsus est), at Jovis gener fieri & nominari studuit: quippè existimans hunc honorem longè majorem & præclariorem esse quàm Asiæ regnum; & magna quidem imperia & potentiam, etiam nihili hominibus olim obventura, tali verò muliere neminem unquam posterorum dignatum iri; ac præterea se nullum pulchrius patrimonium suis liberis posse relinquere, quàm si tàm paternam quàm maternam originem ad Jovem ipsum referrent. Sciebat enim cetera fortunæ commoda celeriter transire ad alios, verùm nobilitatem semper apud eosdem permanere. Delectum hunc igitur in totius sui generis emolumentum cessurum esse prospiciebat, quum cetera munera non ultrà suæ vitæ terminos duratura essent. Nemo itaque vir cordatus est quin hæc prudentissimè cogitata fateatur.

2°. Quidam autem eorum qui nihil expendunt

μένων, ἀλλὰ τὸ συμβαῖνον μόνον σκοπούντων, ἤδη τινὲς ἐλοιδόρησαν αὐτόν. Ὧν τὴν ἄνοιαν ἐξ ὧν ἐβλασφήμησαν περὶ ἐκείνου, ῥᾴδιον ἅπασι καταμαθεῖν. Πῶς γὰρ οὐ καταγελαστότατον πεπόνθασιν, εἰ τὴν ἑαυτῶν φύσιν ἱκανοτέραν εἶναι νομίζουσι τῆς ὑπὸ τῶν θεῶν προκριθείσης; Οὐ γὰρ δή, περὶ ὧν εἰς τοσαύτην φιλονεικίαν κατέστησαν, τὸν τυχόντα διαγνῶναι κύριον ἐποίησαν· ἀλλὰ δῆλον ὅτι τοσαύτην ἔχον σπουδὴν κριτὴν ἐκλέξασθαι τὸν βέλτιστον, ὅσην περὶ αὐτοῦ τοῦ πράγματος ἐπιμέλειαν ἐποιήσαντο. Χρὴ δὲ σκοπεῖν ὁποῖός τις ἦν, καὶ δοκιμάζειν αὐτὸν οὐκ ἐκ τῆς ὀργῆς τῶν ἀποτυχουσῶν, ἀλλ᾽ ἐξ ὧν ἅπασαι βουλευσάμεναι προείλοντο τὴν ἐκείνου διάνοιαν. Κακῶς μὲν γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων, οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας· τοιαύτης δὲ τιμῆς τυχεῖν, ὥστε θνητὸν ὄντα θεῶν γενέσθαι κριτήν, οὐχ οἷόν τε μὴ οὐ τὸν πολὺ τῇ γνώμῃ διαφέροντα.

Θαυμάζω δ᾽ εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι τὸν μετὰ ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν ἡμιθέων ἀποθνῄσκειν ἠθέλησαν. Πῶς δ᾽ οὐκ ἂν εἴη ἀνόητος, εἰ τὰς θεὰς εἰδὼς περὶ κάλλους φιλονεικούσας, αὐτὸς κάλλους κατεφρόνησε, καὶ μὴ ταύτην ἐνόμισε μεγίστην εἶναι τῶν δωρεῶν, περὶ ἧς κἀκείνας ἑώρα μάλιστα σπουδαζούσας;

antequam res evenerint, ſed ex eventu judicant omnia, conviciis eum inceſſere non dubitârunt. Quorum amentia ex ipſis maledictis animadverti ab omnibus facillimè poteſt. Quomodo enim non faciunt rem maximè ridiculam, ſi ſua ipſorum ingenia illius ingenio antecellere arbitrantur cui primas deæ detulerunt? Nec enim quibus de rebus tanta inter ipſas orta erat contentio, eas cujuslibet autoritati permiſerunt dijudicandas; ſed eas conſtat non minorem curam habuiſſe de optimo judice eligendo, quàm de re ipsâ ſollicitas fuiſſe. Conſiderandum eſt autem qualis fuerit, & judicium de eo faciendum non è dearum victarum iracundiâ, ſed ex harum trium ſententiâ, quum ejus mentem præ ceteris elegerunt. Nihil enim prohibet à potentioribus malè mulctari etiam innocentes: at illum honorem adipiſci, ut qui mortalis eſt dearum arbiter fiat, id ſanè contingere non poteſt niſi viro laude ſapientiæ præſtantiſſimo.

Miror autem eſſe quemquam qui malè ſibi conſuluiſſe illum exiſtimet qui cum eâ vivere decreverit propter quam multi ſemideorum mori voluerunt. An non ille deſipuiſſet, ſi, quum ſciret deas de formâ contendere, formam ipſe ſpreviſſet, nec id donum exiſtimaſſet maximum quod ab illis quoque maximi fieri vidiſſet?

Τίς δ᾽ ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς ἁρπασθείσης, οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν, ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης· οἱ δὲ Βάρβαροι τοσοῦτον ἐφρόνησαν ὅσονπερ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. Δῆλον δ᾽ ὡς ἑκάτεροι διετέθησαν. Πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γινομένων, περὶ μὲν τῶν ἄλλων ἡσυχίαν ἤγαγον· ὑπὲρ δὲ ταύτης τοσοῦτον συνεστήσαντο πόλεμον, οὐ μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου, καὶ τῷ πλήθει τῶν παρασκευῶν, ὅσος οὐδεὶς πώποτε γέγονεν. Ἐξὸν δὲ τοῖς μὲν, ἀποδοῦσιν Ἑλένην, ἀπηλλάχθαι τῶν παρόντων κακῶν, τοῖς δ᾽ ἀμελήσασιν ἐκείνης, ἀδεῶς οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ᾽ ἠθέλησαν· ἀλλ᾽ οἱ μὲν περιεώρων, καὶ πόλεις ἀναστάτους γινομένας, καὶ τὴν χώραν πορθουμένην, ὥστε μὴ προέσθαι αὐτὴν τοῖς Ἕλλησιν· οἱ δ᾽ ἡροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας καταγηράσκειν, καὶ μηδέποτε τοὺς ἑαυτῶν ἰδεῖν μᾶλλον, ἢ ἐκείνην καταλιπόντες εἰς τὰς ἑαυτῶν πατρίδας ἐπανελθεῖν. Καὶ ταῦτ᾽ ἐποίουν, οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ Μενελάου φιλονεικοῦντες, ἀλλ᾽ οἱ μὲν ὑπὲρ τῆς Ἀσίας, οἱ δ᾽ ὑπὲρ τῆς Εὐρώπης· νομίζοντες ἐν ὁποτέρᾳ τὸ σῶμα τὸ ἐκείνης κατοικήσειε, ταύτην τὴν χώραν εὐδαιμονεστέραν ἔσεσθαι.

3°. Quis verò conjugium Helenæ aſpernatus eſſet, quâ raptâ Græci non ſecùs indignati ſunt ac ſi tota Græcia vaſtata fuiſſet, & Barbari ità ſuperbierunt quaſi nos omnes ſuperaſſent. Atque manifeſtum eſt quibus utrique animis fuerint. Nam quum anteà ſibi invicem multas dediſſent criminandi rationes, propter alias cauſas nihil moverant, ob Helenam autem tantum bellum concitârunt, non ſolum iræ magnitudine, ſed & longitudine temporis, & copiis apparatuum, quantum ad hunc diem nullum unquam fuerat. Etſi autem poteſtas dabatur, alteris, Helenâ redditâ, urgentibus malis liberari; alteris, eâ neglectâ, omne reliquum tempus ſecurè domi degere; neutri hæc voluerunt: ſed illi & urbes exſcindi, & agros vaſtari ſiverunt, ne Græcis eam redderent; hi peregrè conſeneſcere, & ſuos nunquam intueri, quàm hâc relictâ domum reverti, maluerunt. Et egerunt hæc non quòd Alexandrum tanti facerent vel Menelaüm; ſed alteri pro Europâ, alteri pro Aſiâ contendebant, exiſtimantes in utrâcumque illius feminæ corpus habitaret, eam regionem feliciorem fore.

[l. 22.] Ὑπὲρ Ἀλεξάνδρου, pro Alexandro, id eſt, pro Paride, Priami filio, nam ſuprà jam vidimus Paridem cognominatum fuiſſe Alexandrum.

Τοσοῦτος δ' ἔρως ἐνέπεσε τῶν πόνων καὶ τῆς στρατείας ἐκείνης, οὐ μόνον τοῖς Ἕλλησι καὶ τοῖς Βαρβάροις, ἀλλὰ καὶ τοῖς θεοῖς, ὥστ' οὐδὲ τοὺς ἐξ αὐτῶν γεγονότας ἀπέτρεψαν τῶν ἀγώνων τῶν περὶ Τροίαν· ἀλλὰ Ζεὺς μὲν προειδὼς τὴν Σαρπηδόνος εἱμαρμένην, Ἠὼς δὲ τὴν Μέμνονος, Ποσειδῶν δὲ τὴν Κύκνου, Θέτις δὲ τὴν Ἀχιλλέως, ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνεξέπεμψαν· ἡγούμενοι κάλλιον αὐτοῖς εἶναι τεθνάναι μαχομένοις περὶ τῆς Διὸς θυγατρὸς μᾶλλον ἢ ζῆν ἀπολειφθεῖσι τῶν περὶ ἐκείνης κινδύνων. Καὶ τί δεῖ θαυμάζειν ἃ περὶ τῶν παίδων ἔγνωσαν; αὐτοὶ γὰρ πολὺ μείζω καὶ δεινοτέραν ἐποιήσαντο τὴν παράταξιν τῆς πρὸς τοὺς Γίγαντας αὐτοῖς γενομένης. Πρὸς μὲν γὰρ ἐκείνους μετ' ἀλλήλων ἐμαχέσαντο· περὶ δὲ ταύτης πρὸς σφᾶς αὐτοὺς ἐπολέμησαν.

Εὐλόγως δὲ κἀκεῖνοι ταῦτ' ἔγνωσαν, κἀγὼ τηλικαύταις ὑπερβολαῖς ἔχω χρήσασθαι περὶ αὐτῶν. Κάλλους γὰρ πλεῖστον μέρος μετέσχηκεν· ὃ σεμνότατον καὶ τιμιώτατον καὶ θειότατον τῶν ὄντων ἐστί. Ῥᾴδιον δὲ διαγνῶναι τὴν δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρίας ἢ σοφίας ἢ δικαιοσύνης μετεχόντων, πολλὰ φανήσεται τιμώμενα μᾶλλον ἢ τού-

[l. 21 & seq.] Τῶν μὲν γὰρ ἀνδρείας.... Totus hic locus de pulchritudine non facilis est intellectu ; ego hunc

Tanta certè cupiditas incessit laborum & expeditionis illius, non Græcis tantùm & Barbaris, sed diis etiam, ut ne filios quidem suos à Trojani belli discriminibus averterent. Nam quamvis prævidisset Jupiter fatum Sarpedonis; Aurora Memnonis, Neptunus Cycni, Thetis Achillis, tamen eos cohortati cum ceteris emisere; rati scilicet eis fore gloriosius si pro filiâ Jovis pugnantes occumberent, quàm si domi viverent periculorum pro illâ susceptorum expertes. Et quid mirari oportet eos de filiis suis ità statuisse, quum ipsi illo bello multò acriùs & vehementiùs præliati sint quàm contrà Gigantes? Siquidem adversùs illos pugnârunt conjunctis viribus; propter hanc verò ipsi inter sese dimicârunt.

Locus communis de pulchritudine, cujus præstantia demonstratur.

1°. Rectè autem & illi ità senserunt, & hîc nos tali grandiloquentiâ uti potuimus. Namque hæc maximam partem habuit pulchritudinis; quâ in totâ rerum naturâ nihil est augustius, nihil pretiosius, nihil divinius. Cujus quantæ sint vires hinc facilè intelligitur. Eorum enim quæ vel fortitudine, vel justitiâ, vel sapientiâ, prædita sunt, plurima invenias per se honorata magis quàm unam-

---

interpretatus sum latinè quàm dilucidissimè potui.

των ἕκαστον. Τῶν δὲ κάλλους ἀπεστερημένων οὐδὲν εὑρήσομεν ἀγαπώμενον, ἀλλὰ πάντα καταφρονούμενα, πλὴν ὅσα τῆς ἰδέας ταύτης κεκοινώνηκε· καὶ τὴν ἀρετὴν διὰ τοῦτο μάλιστα εὐδοκιμοῦσαν, διότι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστίν. Γνοίη δ' ἄν τις κἀκεῖθεν ὅσον διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν. Τῶν μὲν γὰρ ἄλλων ὧν ἂν ἐν χρείᾳ γιγνώμεθα, τυχεῖν μόνον βουλόμεθα, περαιτέρω δὲ περὶ αὐτῶν οὐδὲν τῇ ψυχῇ προσπεπόνθαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγίνεται, τοσούτῳ μείζω τοῦ βουλεύσασθαι ῥώμην ἔχων, ὅσῳπερ καὶ τὸ πρᾶγμα κρεῖττόν ἐστι. Καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν, ἢ μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην ἡμέραν προσάγωνται, καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσωσι. Τοῖς δὲ καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα, καὶ μόνους αὐτοὺς ὥσπερ τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν θεραπεύοντες, ἀλλ' ἥδιον δουλεύομεν τοῖς τοιούτοις, ἢ τῶν ἄλλων ἄρχομεν, πλείω χάριν ἔχοντες τοῖς πολλὰ προστάττουσιν, ἢ τοῖς μηδὲν ἐπαγγέλλουσι. Καὶ τοὺς μὲν ἐπ' ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν, καὶ κόλακας ἀποκαλοῦμεν· τοὺς δὲ τῷ κάλλει λατρεύοντας, φιλοκάλους καὶ φιλοπόνους

[l. 22.] Ἐπ' deest in vulgatâ, addidi cum cod. K. Sta-

quamque harum virtutum. Eorum autem quæ pulchritudine destituuntur, nihil reperias diligi, sed contemni potiùs omnia quæ hujus boni expertia sunt; & virtutem eò potissimùm celebrari quòd omnium studiorum pulcherrimum sit. Quantùm autem pulchritudo rebus omnibus antecellat, è nostris ergà unamquamque rem affectibus potest cognosci. Nam rebus ceteris quarum opus habemus, volumus potiri tantùm; ulteriùs ergà has animi propensione non progredimur. At pulchritudinis amor naturâ nobis insitus est: cujus amoris tantò major est vis quàm ut deliberandi spatium præbeat, quantò res ipsa est præstantior. Ac iis quidem qui vel sapientiâ, vel aliâ quâpiam facultate præcellunt, invidemus, nisi nos quotidianis beneficiis alliciant, & cogant ut ipsos amemus: formosis autem, primo statim affectu sumus benevolentes, & eos solos tanquam Deos colendo non defatigamur; sed libentiùs illis inservimus quàm aliis imperamus, iisdemque majorem habemus gratiam si multa imperent, quàm si nihil faciendum injungant. Jam si qui alteri cuipiam præcellentiæ serviunt, eos insectamur & adultatores nominamus; servos autem pulchritudinis stre-

---

tueram primò, juxtà mentem Volfii δȣ́λȣς addere antè γιγνομένȣς.

νομίζομεν εἶναι. Τοσαύτῃ δ' εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν ἰδέαν τὴν τοιαύτην, ὥστε καὶ αὐτῶν τῶν κεκτημένων τὸ κάλλος, τοὺς μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους περὶ τῆς αὑτῶν ἡλικίας, μᾶλλον ἀτιμάζομεν ἢ τοὺς εἰς τὰ τῶν ἄλλων σώματα ἐξαμαρτάνοντας· ὅσοι δ' ἂν τὴν αὑτῶν ὥραν διαφυλάξωσι, ἄβατον τοῖς πονηροῖς ὥσπερ ἱερὸν ποιήσαντες, τούτους εἰς τὸν ἐπίλοιπον χρόνον τιμῶμεν, ὥσπερ τοὺς ὅλην τὴν πόλιν ἀγαθόν τι δράσαντας.

Καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα διατρίβειν; ἀλλὰ Ζεὺς, ὁ κρατῶν ἁπάντων, ἐν μὲν τοῖς ἄλλοις τὴν αὑτοῦ δύναμιν ἐνδείκνυται· πρὸς δὲ τὸ κάλλος ταπεινὸς γιγνόμενος ἀξιοῖ πλησιάζειν. Ἀμφιτρύωνι μὲν γὰρ εἰκασθεὶς, ὡς Ἀλκμήνην ἦλθε· χρυσὸς δὲ ῥυεὶς, Δανάῃ συνεγένετο· Κύκνος δὲ γενόμενος, εἰς τοὺς Νεμέσεως κόλπους κατέφυγε· τούτῳ δὲ πάλιν ὁμοιωθεὶς, Λήδαν ἐνύμφευσεν· ἀεὶ δὲ μετὰ τέχνης, ἀλλ' οὐ μετὰ βίας, θηρώμενος φαίνεται τὰς φύσεις τὰς τοιαύτας. Τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος παρ' ἐκείνοις ἢ παρ' ἡμῖν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖς ἑαυτῶν ὑπὸ τούτου κρατουμέναις συγγνώμην ἔχουσι· καὶ πολλὰς ἄν τις ἐπιδείξειε τῶν ἀθανάτων, αἳ θνητοῦ κάλλους ἡττήθησαν, ὧν οὐδὲ μία λαθεῖν τὸ γεγενημένον, ὡς αἰσχύνην

nuos existimamus & elegantes. Tantâ denique pietate & curâ hoc naturæ commodum amplectimur, ut, si qui formosi malo consilio florem ætatis prostituerint, eos majore infamiâ notemus quàm eos qui aliena corpora violârunt. Quotquot verò suam ipsorum formam ità custodierunt, ut, tanquam in templum, nullus improbis pateat aditus, illos per reliquam ætatem perindè honoramus ac si toti civitati benefecissent.

2°. Et quid opus est humanis opinionibus recensendis immorari? Ipse Jupiter, supremus rerum dominus, in ceteris quidem potentiam suam demonstrat; ad pulchritudinem verò, susceptâ humili personâ, accedere non dedignatur. Amphitryoni enim factus similis, ad Alcmenam venit; in aureum imbrem defluens, cum Danaë congressus est; sub Cycni figurâ, in sinum Nemeseos confugit; atque, iterùm ejusdem avis indutâ specie, Ledam sibi despondit: denique semper arte, non vi, tales eum naturas consectatum esse novimus. Et apud Deos forma tantò est quàm apud nos honoratior, ut etiam suis uxoribus, quum ab eâ vincuntur, ignoscant: ac multæ dearum proferri possunt, quæ, quum humanæ formæ succubuerint, tantùm absuit ut ulla rem ea putaret sibi esse dede-

ἔχον, ἐζήτησεν, ἀλλ᾽ ὡς καλῶν ὄντων τῶν πεπραγμένων, ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι περὶ αὐτῶν ἠβουλήθησαν. Μέγιστον δὲ τῶν εἰρημένων τεκμήριον· πλείους γὰρ ἂν εὕροιμεν διὰ τὸ κάλλος ἀθανάτους γεγενημένους ἢ διὰ τὰς ἄλλας ἀρετὰς ἁπάσας.

Ὧν Ἑλένη τοσούτῳ πλέον ἔχεν, ὅσῳπερ καὶ τὴν ὄψιν αὐτῶν διήνεγκεν. Οὐ γὰρ μόνον ἀθανασίας ἔτυχεν, ἀλλὰ καὶ τὴν δύναμιν ἰσόθεον λαβοῦσα, πρῶτον μὲν τοὺς ἀδελφοὺς ἤδη κατεχομένους ὑπὸ τῆς πεπρωμένης, εἰς θεοὺς ἀνήγαγε. Βουλομένη δὲ πιστὴν ποιῆσαι τὴν μεταβολὴν, οὕτως αὐτοῖς τὰς τιμὰς ἐναργεῖς ἔδωκεν, ὥσθ᾽ ὁρωμένους ὑπὸ τῶν ἐν τῇ θαλάττῃ κινδυνευόντων σώζειν οἵτινες ἂν εὐσεβῶς αὐτοὺς ἐπικαλέσωνται. Μετὰ δὲ ταῦτα Μενελάῳ τοσαύτην χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων οὓς δι᾽ ἐκείνην ὑπέμεινεν, ὥστε, τοῦ γένους ἅπαντος τοῦ Πελοπιδῶν διαφθαρέντος, καὶ κακοῖς ἀνηκέστοις περιπεσόντος, οὐ μόνον αὐτὸν τῶν συμφορῶν τούτων ἀπήλλαξεν, ἀλλὰ καὶ θεὸν ἀντὶ θνητοῦ ποιήσασα, σύνοικον αὑτῇ καὶ πάρεδρον εἰς ἅπαντα τὸν αἰῶνα κατεστήσατο. Καὶ τούτοις ἔχω τὴν πόλιν τῶν Σπαρτιατῶν τὴν μάλιστα τὰ παλαιὰ διασώζουσαν, ἔργῳ παρασχέσθαι μαρτυροῦσαν. Ἔτι γὰρ καὶ νῦν ἐν Θεράπναις

cori,

cori, aut clàm habere ſtuderet, ut, tanquam re benè ac laudabiliter geſtâ, celebrari potiùs quàm ſileri voluerint. Ea autem quæ dicimus maximo hoc teſtimonio confirmantur, quòd plures feminas reperire ſit, qui ob formæ præſtantiam immortales factæ ſint, quàm ob ceteras virtutes univerſas.

A pulchritudine in genere revertitur orator ad pulcherrimam Helenam cujus divinam potentiam prædicat.

Quibus Helena tantò meliore conditione fuit, quantò eis etiam facie præſtitit. Non enim immortalitatem tantùm adepta eſt; ſed & poteſtatem divinam conſecuta, primùm fratres retulit in Deos. Cui mutationi quum autoritatem & fidem afferre vellet, honoribus illos donavit ità manifeſtis, ut in mari conſpecti, eos ſervent periclitantes quicumque ipſos piè invocârint. Deindè Menelao tantam habuit gratiam pro laboribus & periculis ſuâ causâ ſuſceptis, ut, quum genus omne Pelopidarùm interiſſet, malis oppreſſum immedicabilibus, non tantùm ex calamitatibus illis eum eripuerit, ſed & Deum pro mortali quum feciſſet, contubernalem ſibi & aſſeſſorem in omne ævum conſtituerit. Quarum mihi rerum Spartana civitas, diligentiſſima vetuſtatis cuſtos, reipsâ teſtimonium perhibet. Nam in hunc uſque diem Spartiatæ Therapnis, in

τῆς Λακωνικῆς, θυσίας αὐτοῖς ἁγίας καὶ πατρίους ἐπιτελοῦσιν, οὐχ ὡς ἥρωσιν, ἀλλ᾽ ὡς θεοῖς ἀμφοτέροις οὖσιν.

Ἐπεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς, ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἀπεστερημένος· ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς, τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε.

Λέγουσι δέ τινες καὶ τῶν Ὁμηριδῶν, ὡς ἐπιστᾶσα νυκτὸς Ὁμήρῳ προστάξαι ποιεῖν περὶ τῶν στρατευσαμένων ἐπὶ Τροίαν, βουλομένη τὸν ἐκείνων θάνατον ζηλωτότερον ἢ τὸν βίον τῶν ἄλλων καταστῆσαι· καὶ μέρος μέν τι καὶ διὰ τὴν Ὁμήρου τέχνην, μάλιστα δὲ διὰ ταύτην, οὕτως ἐπαφρόδιτον καὶ παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέσθαι τὴν ποίησιν.

Ὡς οὖν καὶ δίκην λαμβάνειν, καὶ χάριν ἀποδοῦναι δυναμένην, τοὺς μὲν τοῖς χρήμασι προέχοντας, ἀναθήμασι καὶ θυσίαις καὶ ταῖς ἄλλαις προσόδοις ἱλάσκεσθαι, καὶ τιμᾶν αὐτὴν χρή·

[l. 11.] Vel muta προστάξαι in προσέταξε, vel προστάξαι accipe in tertiâ perſonâ optativi aoriſti primi activi.

[Ibid.] Ποιεῖν, facere, i. e. ſcribere. Ποιεῖν propriè

Laconiâ, patrio ſanctoque ritu, utrique, non ut heroibus, ſed ut diis, ſacra faciunt.

Oſtendit etiam poetæ Steſichoro ſuam ipſius potentiam. Qui quum initio ſui carminis maledictis eam nonnihil perſtrinxiſſet, ſurrexit oculis orbatus: verùm ubi, causâ hujus calamitatis intellectâ, palinodiam, quam vocant, fecerat, ejuſdem beneficio viſum recepit.

Quin & Homeridarum quidam aiunt eam noctu Homero aſtantem mandaſſe ut de eis ſcriberet qui ad Trojam militaſſent; quò nempè mors eorum optabilior quàm aliorum vita redderetur: ac poeſim Homeri ex parte quidem ingenio etiam ipſius, imprimis autem propter Helenam, ità venuſtam & celebrem apud omnes eſſe factam.

Epilogus.

1°. Eam igitur, ut & quæ pœnam irrogare & gratiam referre valeat, oportet & divites donariis, ſacrificiis, ac ſupplicationibus, placare atque honorare; & viros eruditos aliquid de eâ dicere

---

dicebatur de poetis, undè ipſi dicti ſunt ποίηται.

[12 & 13.] Pro τὸν vulg. & edit. Baſ. dant τῶν, mendum evidens quod correxit Battie.

[l. 20.] Malim abeſſe ἄλλαις, ut inutile & ſenſum impediens.

τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι λέγειν περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ. Τοῖς γὰρ πεπαιδευμένοις πρέπει τοιαύτας ποιεῖσθαι τὰς ἀπαρχάς.

Πολὺ δὲ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστί. Καὶ χωρὶς γὰρ τεχνῶν καὶ φιλοσοφιῶν καὶ τῶν ἄλλων ὠφελειῶν, ἃς ἔχοι τις ἂν εἰς ἐκείνην καὶ τὸν πόλεμον τὸν Τρωϊκὸν ἀνενεγκεῖν, δικαίως ἂν καὶ τοῦ μὴ δουλεύειν ἡμᾶς τοῖς Βαρβάροις, Ἑλένην αἰτίαν εἶναι νομίζοιμεν. Εὑρήσομεν γὰρ τοὺς Ἕλληνας διὰ ταύτην ὁμονοήσαντας, καὶ κοινὴν στρατείαν ἐπὶ τοὺς Βαρβάρους ποιησαμένους, καὶ τότε πρῶτον τὴν Εὐρώπην κατὰ τῆς Ἀσίας τρόπαιον στήσασαν. Ἐξ ὧν τοσαύτης μεταβολῆς ἐτύχομεν, ὥστε τὸν μὲν ἐπέκεινα χρόνον, οἱ δυστυχοῦντες ἐν τοῖς Βαρβάροις, τῶν Ἑλληνίδων πόλεων ἠξίουν ἄρχειν· καὶ Δαναὸς μὲν ἐξ Αἰγύπτου φυγὼν Ἄργος κατέχε, Κάδμος δ᾽ ὁ Σιδώνιος Θηβῶν ἐβασίλευσε, Κᾶρες δὲ τὰς νήσους κατῴκουν, Πελοποννήσου δὲ συμπάσης ὁ Ταντάλου Πέλοψ ἐκράτησε· μετ᾽ ἐκεῖνον δὲ τὸν πόλεμον, τοσαύτην ἐπίδοσιν τὸ γένος ἡμῶν ἔλα-

[l. 1.] Τοὺς δὲ φιλοσόφους, viros eruditos, viros litte-

quod præclaris ipſius dotibus dignum habeatur: ſiquidem viris litteratis tales ei primitias offerre convenit.

2°. Plura ſunt autem quæ præterii quàm quæ commemoravi. Nam præter artes & ſcientias, ceterasque utilitates quæ in illam Trojanumque bellum referre poſſent, jure id quoque Helenæ adſcribetur, quòd Barbaris non ſerviamus. Conſtat enim propter eam Græcos iniiſſe concordiam, & communem contrà Barbaros ſuſcepiſſe expeditionem, atque tunc primùm Europam de Aſiâ triumphaſſe. Undè res noſtræ ità mutatæ ſunt, ut, quum ſuperioribus temporibus, ſi qui apud Barbaros calamitate premerentur, imperium in Græcas urbes ſibi arrogarent; Danaüsque ex Ægypto profugus, Argos occupaverit; Cadmus Sidonius imperaverit Thebis; Cares tenuerint inſulas; Pelops, Tantali filius, ſubegerit univerſam Peloponneſum: poſt illud bellum, noſtræ gentis opes adeò ſint auctæ,

ratos. Jam obſervavimus φιλοσοφεῖν apud Iſocratem ſignificare ſæpiùs, litteris ſtudere, ſicut οἱ φιλόσοφοι, viri litterati.

βεν, ὥστε καὶ πόλεις μεγάλας καὶ χώραν πολλὴν ἀφελέσθαι τῶν Βαρβάρων. Ἢν οὖν τινὲς βούλωνται ταῦτ' ἐπεξεργάζεσθαι καὶ μηκύνειν, οὐκ ἀπορήσουσιν ἀφορμῆς ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων ἕξουσιν ἐπαινεῖν, ἀλλὰ πολλοῖς καὶ καλοῖς καὶ καινοῖς λόγοις ἐντεύξονται περὶ αὐτῆς.



ut & magnas urbes & multas provincias Barbaris eripuerit. Quapropter ſi qui ſunt qui hæc expolire velint & dilatare, non eis occaſio deſutura eſt Helenæ extrà ea quæ diximus laudandæ; ſed multa & præclara & nova de eâ dicendi materies ſuppeditabitur.



ANALYSIS
LAUDATIONIS BUSIRIDIS.

PROPOSITUM.

ID intendit Iſocrates ut Sophiſtam quemdam Polycratem, qui exercendi ingenii causâ laudârat Buſiridem, eodem tractando argumento edoceat quomodo ſit inſtituenda laudatio.

Exordium.

Urbanè admodùm & ſolerter Polycratis animum ſibi conciliare ſtudet Iſocrates, dùm carpere vult & reipsâ carpit ipſius & Socratis accuſationem & Buſiridis laudationem. Oſtendit ipſum erraſſe in multis ſcriptâ oratione hunc collaudando, eumdemque ipſe laudare aggreditur quem non injuriâ *illaudatum* vocat Virgilius, quia ſcilicet iſtius laudes nullus unquam ſeriò celebravit.

Confirmatio.

Laudatur Buſirides,

I. Ab inclytâ nobilitate :

II. A magnitudine animi & prudentiâ, quòd regni ſedem elegerit in Ægypto, cujus ſitus variaque commoda magnificè deſcribuntur :

III. Ab eâ ratione quâ Ægyptum adminiſtravit. Et hîc longa enarratio optimæ Ægypti politiæ quæ adſcribitur Buſiridi.

Prædicantur itaque Ægyptiorum,

1°. Solertia & induſtria in excolendis artibus ſive placidis ſive bellicis :

2°. Diligentia & ſtudium in ſcientiis exercendis :

3°. Religio & pietas; hincque callida excuſatio ſuper-

ſtitionum Ægyptiacarum, & Pythagoræ Ægyptiorum diſcipuli mentio honorificentiſſima.

Objectio. Sed, inquit Polycrates, laudantur Ægyptiorum regio, leges, pietas, ſapientia, at non probatur harum rerum autorem fuiſſe Buſiridem.

Reſpondetur 1°. per retorſionem; ipſe Polycrates in laudatione Buſiridis multa facta adduxit in medium quæ non probavit, imò quæ fieri non poſſe demonſtrantur.

2°. Multò probabilius eſt Buſiridem ea peregiſſe quæ de Ægypto dicta ſunt quàm quemlibet alium.

3°. Confutantur præcipua crimina quæ Buſiridi objiciuntur.

4°. Hinc orator perſtringit poetarum fabulas qui de diis deorumque filiis impia finxerunt; hinc legentes, ipſumque præſertìm Polycratem, admonet piè de diis eſſe ſentiendum.

Concludit orationem eumdem ſophiſtam reprehendendo vehementiùs quòd laudationem Buſiridis & alia iſtiuſmodi argumenta ſuſceperit, ipſumque hortando ut de aliis ſcribere inſtituat, quibus & ſtudiis litterarum major autoritas, & legentibus certa quædam utilitas, & ſibimetipſi melior exiſtimatio, concilietur.

De hâc oratione non magis conſtat quàm de illâ quæ præcedit, quâ ætate ſcripſerit Iſocrates, ſed videtur tunc non fuiſſe annis provectior.



ὙΠΟΘΕΣΙΣ ΤΟΥ ΒΟΥΣΙΡΙΔΟΥ ἘΓΚΩΜΙΟΥ,

ἀδήλου τοῦ γράψαντος.

ΤΟΥΤΟΝ τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστὴν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφιστεύειν, διὰ πενίαν· Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. Γράφει δὲ αὐτῷ ὡς φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν, ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ ἐγκωμίῳ τοῦ Βουσίριδος, καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους. Αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ. Κατηγόρουν δὲ αὐτοῦ ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων δὴ, σέβειν ὄρνεα καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο διαφθείρειν τοὺς νέους τοὺς μανθάνοντας. Ἐζήτησαν δέ τινες, διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ' αὐτοῦ λόγον εἰσῆλθεν· εἴγε φείδεται τοῦ διδασκάλου; καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι,

---

(lineâ 7.) Αὐτὸς γάρ ἐστιν.... Huic facto contradicit Phavorinus apud Diogenem Laertium, ostenditque accusationem Socratis fuisse scriptam à Polycrate, exercendi duntaxat ingenii causâ.

(l. 9.) Ὡς ὅτι. Alterutrum, inquit Volfius, videtur redundare, nisi peculiaris idiotismus fuerit recentium sophistarum. Vide pag. 380, l. 8.

ARGUMENTUM

BUSIRIDIS LAUDATIONIS,

incerto autore.

HANC orationem ſcribit Iſocrates ad Polycratem, ſophiſtam quemdam, paupertate ad docendam rhetoricam adactum; qui, quum genere Athenienſis eſſet, tunc in Cypro docebat. Ad ipſum autem ſcribit tanquam amicus, ut ea ejus errata corrigeret quæ in orationibus duabus, laudatione Buſiridis & accuſatione Socratis, admiſerat. Hic enim eſt qui Anyto & Melito eam orationem ſuppeditavit quâ Socrates capitis accuſatus eſt. Illum porrò criminabatur quòd novos Deos apud Athenienſes introduceret, atque aviculas & canes & ejus generis alia coli juberet, atque hinc juvenes diſcipulos corrumperet. Quæſiverunt quidam cur Iſocrates non apertâ contrà illum oratione diſputârit: anne illi pepercit adoleſcentium magiſtro? Reſpondemus eum iram eſſe veritum Athenienſium, qui Socratem recens condemnârant. Vide-

(l. 13 & 14.) Εἶγε accipe hîc quaſi notam interrogationis: pro εἶγε malit Volfius ἦ. Διδασκάλε, *magiſtri*, i. e. Polycratis qui magiſter erat, & adoleſcentes erudiebat ad eloquentiam. Ignoro quid ſibi velit ἐ quod ſequitur, ſed hîc ſenſus patet.

ἀρτίως Σωκράτους καταψηφισάμενοι. Δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς, ὡς κακῶς καταψηφισαμένους. Καὶ γὰρ καὶ αὐτοὶ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν, καταψηφισάμενοι Σωκράτους· εἶτα καὶ σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ ἐγκατασκήψαντος αὐτοῖς, διὰ τὸν Σωκράτους θάνατον. Ἀπέθανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. Ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ, λέγειν περὶ Σωκράτους. Ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι, Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ, καὶ δεδιότος, ἀναπλάσασθαι Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη, καὶ εἰς τοὺς Ἀθηναίους· ἐκάνετε ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον· ὅ ἐστιν, ἐφονεύσατε. Καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ἠνίττετο. Γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥσπερ εἴπομεν, ἐπιλαμβανόμενος αὐτοῦ. Εἰ δέ τις ζητήσει τὴν αἰτίαν, διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην· λέγομεν, ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι, ἔναγχος καταψηφισάμενοι.

(l. 1.) Διὰ τούτου, nempè τοῦ λόγου.

(l. 3.) Antè μετέγνωσαν edit. Bas. & Ald. habent ὥσπερ quod rectè ejecit Stephanus ut malè repetitum ex præcedenti.

(l. 8 & seq.) Ὡς ὅτι hæ conjunctiones hærent suspensæ, nec habent ad quod referantur, non enim jungi possunt cum ἀναπλάσασθαι quod sequitur, & ad quod subaudiendum est αὐτόν.

tur utique per hancce orationem eos veluti arguere injustæ condemnationis. Nam & ipsos pœnituit quòd impiè egissent Socrate condemnato. Quin & gravi pestilentiâ moniti & afflicti, necis illius pœnas dederunt. Periit ille Lachete Archonte. Atque exindè jusserunt Athenienses ne quis in posterum Socratis publicè, verbi gratiâ in communi theatro, meminisset. Narratur autem hujusmodi quiddam accidisse : Euripidem, quum aliquid de illo dicere cuperet, nec auderet tamen, finxisse fabulam de Palamede, ut sub ejus personâ occasionem haberet obscurè ad Socratem & Athenienses alludendi : occidistis, occidistis, inquit, Græcorum optimum. Animadvertit universus populus qui in theatris considebat hæc verba pertinere ad Socratem, nec à lacrymis abstinere potuit. Scribit igitur Isocrates hanc orationem ad Polycratem, ipsius reprehendendi causâ, ut diximus. Jam si quis requirat cur non ab eo & oratio altera de Socrate scripta sit, respondemus id quod jam dictum est, ideò non scripsisse ut vitaret offensionem Atheniensium, qui recèns illum condemnârant.

(l. 11 & 12.) Ἐκάνετε.... Fabula Palamedis non pervenit ad nos; sed extant hi duo versus in Philostrati heroicis:

Ἐκάνετε ἐκάνετε τὰν πάνσοφον,
Τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσᾶν.

Diogenes Laertius qui hos eosdem versus citat dat ἐκτάνετε pro ἐκάνετε. Dicitur κτείνω & καίνω. Sophista non citat expressis verbis nisi ἐκάνετε, quod explicat per verbum ἐφονεύσατε.

Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη· Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως, εἵλετο τὴν ἐν Αἰγύπτῳ, καὶ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥ τις καὶ νῦν οὕτω κέκληται. Αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης, καὶ ὡς θύων τοὺς ξένους. Ὁ οὖν Πολυκράτης, ἅτε δὴ καὶ σοφιστὴς καὶ λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γράψαι ὑπὲρ τοῦ Βουσίριδος, καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται, καὶ ὑποτίθεται αὐτὸς πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. Διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστί.

(l. 3.) Οἰκήσεως, edit. Baſ. & Ald. habent οἰκειώσεως, malè.



Buſiridis argumentum hoc eſt. Buſiris Libyæ & Neptuni filius, natus in Libyâ regione, ſpretâ patriâ, in Ægyptum profectus, urbem ſibi cognominem, Buſirim condidit, quæ id nomen etiam hodie retinet. Crimini autem illi dabatur, quòd non tantùm non admitteret hoſpites, ſed etiam ſacrificaret. Polycrates igitur, ut ſophiſta & ſcriptor orationum, defenſionem Buſiridis, & criminum quæ illi objiciebantur purgationem, ſcribere inſtituit: in quo ab Iſocrate reprehenditur & admonetur quâ ratione ſcribenda fuiſſet laudatio. Quapropter oratio hæc inter quatuor laudationes numeratur.





ΒΟΥΣΙΡΙΔΟΣ

ἘΓΚΩΜΙΟΝ.

ΤΗΝ μὲν ἀποικίαν τὴν σὴν, ὦ Πολύκρατες, καὶ τὴν τοῦ βίου μεταβολὴν, παρ' ἄλλων πυνθανόμενος οἶδα· τῶν δὲ λόγων τινὰς, ὧν γέγραφας, αὐτὸς ἀνεγνωκὼς, ἥδιστα μὲν ἂν σοι περὶ ὅλης ἐπαρρησιασάμην τῆς παιδεύσεως, περὶ ἣν ἠνάγκασαι διατρίβειν (ἡγοῦμαι γὰρ τοῖς μὲν ἀναξίως δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν, ἅπαντας τοὺς πλείω πεπραγματευμένους, καὶ μᾶλλον ἀπηκριβωμένους, προσήκειν ἐθελοντὰς τοῦτον εἰσφέρειν τὸν ἔρανον)· ἐπειδὴ δ' οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ μὲν τῶν ἄλλων ὁπόταν εἰς ταὐτὸ συνέλθωμεν, τόθ' ἡμῖν ἐξέσται διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν· ἃ δ' ἐν τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα δ' ᾠήθην δεῖν σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλλους, ὡς οἷόν τε μάλιστα, ἀποκρύψασθαι. Γινώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων ἔμφυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομέ-

iniquioribus

BUSIRIDIS LAUDATIO.

EXORDIUM.

QUUM tuam, Polycrates, in terram alienam emigrationem, mutatumque vitæ genus, cognovissem ex aliis, & orationum tuarum quasdam ipse legissem, de totâ quidem docendi ratione ad quam necessitate compulsus es, libentissimè tecum ac liberè disseruissem (arbitror enim iis qui nullâ suâ culpâ sunt infelices, & è litterarum studio rem facere conantur, hanc quasi stipem conferre eos debere qui & exercitatiores sunt & accuratiorem rei cognitionem habent): sed quoniam nondùm ità contigit ut conveniremus, de ceteris quidem, quandò in unum congressi fuerimus, tunc nobis licebit pluribus sermonibus colloqui; quæ verò in præsentiâ tibi conferre possem, ea ut ad te scribenda, sic ceteros summo studio celanda esse duxi. Etsi autem intelligo plerisque velut innatum esse ut, quum admonentur, non ad secuturas utilitates respiciant, sed reprehensiones ferant tantò

[l. 1.] Pro ἀποικίαν vulg. habet ἐπιείκειαν, ex quo nullus sensus erui potest qui possit probari.

γνων, ὅσῳπερ ἄν τις ἀκριβέστερον αὐτῶν ἐξετάζῃ τὰς ἁμαρτίας· ὅμως δ' οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέχθειαν ταύτην, τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμβουλεύοντας διακειμένων.

Αἰσθανόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον, ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ, καὶ τῇ Σωκράτους κατηγορίᾳ, πειράσομαί σοι ποιῆσαι καταφανὲς ὅτι τοῦ δέοντος πολὺ ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες. Ἁπάντων γὰρ εἰδότων ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους, πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς τὰ προσόντα ἀποφαίνειν, τοὺς δὲ κατηγοροῦντας, τἀναντία τούτων ποιεῖν· τοσούτῳ δέεις οὕτω κεχρῆσθαι τοῖς λόγοις, ὥσθ' ὑπὲρ μὲν Βουσίριδος ἀπολογήσασθαι φάσκων, οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας, ἀλλὰ καὶ τηλικαύτην αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας, ἧς οὐκ ἔσθ' ὅπως ἄν τις δεινοτέραν ἐξευρεῖν δυνηθείη. Τῶν γὰρ ἄλλων τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν, τοσοῦτο μόνον περὶ αὐτοῦ βλασφημούντων ὡς ἔθυε τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ κατεσθίειν αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω. Σωκράτους δὲ κατηγορεῖν ἐγχειρήσας, ὥσπερ ἐγκωμιάσαι βουλόμενος, Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητήν, ὃν ὑπ' ἐκείνου μὲν οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ πολὺ

iniquioribus animis, quantò accuratiùs in eorum errata inquisitum fuerit: hæ tamen offensiones iis sunt subeundæ qui aliquibus ex animo benè volunt; operaque danda est ut qui hoc modo ergà consiliarios affecti sunt, ab istâ opinione deducantur.

Quum igitur animadvertam te vel imprimis gloriari, tùm defensione Busiridis, tùm Socratis accusatione, tibi manifestum facere conabor te in utrâque oratione longè ab oratoris officio aberrasse. Nam quum omnes sciant eis qui aliquem laudare volunt ostendendum esse pluribus illum bonis ornari quàm reverâ habeat, eis verò qui accusant contrariam viam esse insistendam; tantùm abest ut eam in dicendo rationem tu secutus sis, ut, Busiridis defensionem professus, non modò crimina quæ illi objiciuntur non refutâris, sed & insignem ei crudelitatem imputâris, quâ nulla gravior excogitari queat. Quum enim ceteri qui huic maledicere aggressi sunt, unum hoc convicium in eum dixerint, quòd nempè hospites sacrificaret qui ad ipsum veniebant, tu etiam quòd homines devoraret illum es criminatus. Quum verò Socratem accusare instituisses, ei Alcibiadem, quasi velles laudare, discipulum tribuisti: quem ab eo fuisse

---

[l. 5.] Τοὺς συμβουλεύοντας addidi cum Battie τοὺς quod abest à vulg.

διήνεγκε τῶν ἄλλων ἅπαντες ἂν ὁμολογήσειαν. Τοιγαροῦν, εἰ γένοιτο ἐξουσία τοῖς τετελευτηκόσι βουλεύσασθαι περὶ τῶν εἰρημένων, ὁ μὲν, χάριν ἂν εἰδείη σοὶ, ὁ δὲ, εἰ καὶ περὶ τοὺς ἄλλους πρᾶότατος ἦν, ἀλλ' οὖν ἐπί γε τοῖς ὑπὸ σοῦ λεγομένοις οὕτως ἀγανακτήσειεν, ὥστε μηδεμιᾶς ἂν ἀποσχέσθαι τιμωρίας. Καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ σεμνύνεσθαι προσήκει, τὸν παρὰ τοῖς λοιδορουμένοις ὑπ' αὐτοῦ μᾶλλον ἀγαπώμενον, ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις;

Οὕτω δὲ ἠμέλησας εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς, ὥστ' ἔφης μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως ζηλῶσαι δόξαν, ἀποφαίνεις δ' αὐτὸν οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύσαντα. Πότερον γὰρ τοῖς περὶ Αἰόλου λεγομένοις αὐτὸν παραβάλλωμεν; ἀλλ' ἐκεῖνος μὲν τῶν ξένων τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας, εἰς τὰς αὐτῶν πατρίδας ἀπέστελλεν· ὁ δ', (εἰ χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις πιστεύειν) τοὺς ξένους θύσας κατήσθιεν. Ἀλλὰ καὶ τοῖς Ὀρφέως ἔργοις ὁμοιώσομεν; ἀλλ' ὁ μὲν ἐξ ᾅδου τοὺς τεθνεῶτας ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας ἀπώλλυεν. Ὥσθ' ἡδέως ἂν εἰδείην ὅ,τι ποτ' ἂν ἐποίησεν εἰ καταφρονῶν αὐτῶν ἐτύγχανεν, ὃς, θαυμάζων τὴν ἀρετὴν ἐκείνων, ἅπαντα φαίνεται

[l. 9.] Vulg. αὐτὸν, correxi juxtà alias editiones

eruditum nemo nôrat, ſed longè aliis antecelluiſſe omnes confitentur. Itaque, ſi defunctis poteſtas daretur ſuo arbitratu de dictis à te ſtatuendi, alter tibi gratiam haberet; alter, tametſi in alios fuiſſet humaniſſimus, tuis verbis ſic indignaretur, ut quovis te ſupplicio afficeret. Quî autem illi non erubeſcendum potiùs quàm gloriandum, quem diligi magis conſtet ab iis quos vituperio læſerit quàm ab iis quos encomio ornârit?

Jamque adeò tibi curæ non fuit conſentanea loqui, ut dixeris Buſiridem Æoli & Orphei gloriam æmulatum eſſe, idemque demonſtres nulli rei hunc ſtuduiſſe quæ cum illorum inſtitutis congrueret. Numquid enim hujus facinora cum factis Æoli, quæ memorantur, conferemus? At is quidem hoſpites in regionem ipſius ejectos, in patriam quemque ſuam reducendos curavit; hic verò, ſi tuis verbis credendum eſt, hoſpites immolatos devoravit. Numquid hunc cum Orphei factis comparabimus? At is mortuos ab inferis reduxit; hic viventes antè fatum orco tradidit. Quapropter ſummopere ſcire velim quid iſte fuiſſet facturus ſi illos contempſiſſet, quem eorum virtutem admira-

αὐτοῦ; ego velim legi ὑφ' αὐτοῦ. Med. habet ὑπ' αὐτῶν.

τἀναντία διαπραττόμενος. Ὃ δὲ πάντων ἀτοπώτατον, ὅτι, περὶ τὰς γενεαλογίας ἐσπουδακὼς, ἐτόλμησας εἰπεῖν, ὡς τούτους ἐζήλωσεν, ὧν οὐδ᾽ οἱ πατέρες πω κατ᾽ ἐκεῖνον τὸν χρόνον γεγονότες ἦσαν.

Ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν, ἐπιλαμβάνεσθαι τῶν εἰρημένων, μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαί σοι διὰ βραχέων δηλῶσαι τὰ περὶ τὴν αὐτὴν ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν, οὐδὲ σεμνοὺς λόγους ἔχουσαν, ὡς δεῖ καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι.

Περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς οὐκ ἂν δυνηθείη ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν Ποσειδῶνος· μητρὸς δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διός. Ἣν φασι πρώτην γυναῖκα βασιλεύσασαν, ὁμώνυμον αὑτῇ τὴν χώραν καταστῆσαι. Τυχὼν δὲ τοιούτων προγόνων, οὐκ ἐπὶ τούτοις μέγα ἐφρόνησεν, ἀλλ᾽ ᾠήθη δεῖν καὶ τῆς ἀρετῆς τῆς αὑτοῦ μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν.

Τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν, ἐλάττω νομίσας ἢ κατὰ τὴν αὑτοῦ φύσιν εἶναι. Πλείστους δὲ καταστρεψάμενος, καὶ μεγίστην δύναμιν κτησάμενος, ἐν Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν· οὐκ ἐκ τῶν παρόντων μόνον, ἀλλ᾽ ἐξ ἁπάντων

tum contraria omnia perfeciſſe conſtat. Illud autem omnium eſt abſurdiſſimum, quod, in *genealogiarum* ſtudio verſatus, dicere non dubitaſti hunc illos æmulatum eſſe quorum patres illis temporibus nati nondùm erant.

Ne verò id quod cuivis in promptu eſt facere videar, ut à te dicta rèprehendam, meorumque proferam nihil, conabor tibi paucis oſtendere in hoc ipſo argumento (quanquam id minimè probum eſt, neque præclaram orationem ſuppeditat) quæ ſit tùm laudandi tùm defendendi ratio ineunda.

CONFIRMATIO.

I. De nobilitate igitur Buſiridis quis non facile dixerit? cui pater Neptunus, mater Libye fuit, Jovis ex Epapho neptis. Quam mulierem primam ferunt regno potitam, regioni ſuum nomen indidiſſe. Tales autem parentes nactus, non ſplendore natalium ſuperbiit; ſed ſuæ virtutis perpetuum monumentum putavit eſſe relinquendum.

II. Quare, maternum aſpernatus imperium, idque ſuo ingenio minus eſſe exiſtimans, multis vi armorum ſubactis, maximâque potentiâ partâ, in Ægypto regnum conſtituit, ratus ſedem illam non iis tantùm quas obtineret, ſed & univerſis regio-

---

[l. 9.] Ad τὰ ſub. κατὰ vel διά.

προκρίνας τὴν ἐκεῖσε πολὺ διαφέρειν οἴκησιν. ἑώρα γὰρ τοὺς μὲν ἄλλους τόπους οὐκ εὐκαίρως, οὐδ' εὐαρμόστως πρὸς τὴν τοῦ σύμπαντος κόσμου φύσιν ἔχοντας, ἀλλὰ τοὺς μὲν ὑπ' ὄμβρων καταλυζομένους, τοὺς δὲ ὑπὸ καυμάτων διαφθειρομένους· ταύτην δὲ τὴν χώραν, ἐν καλλίστῳ μὲν τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ παντοδαπὰ τἀγαθὰ φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει, τῷ Νείλῳ τετειχισμένην, ὃς οὐ μόνον φυλακὴν, ἀλλὰ καὶ τροφὴν ἱκανὴν αὐτῇ παρέχειν πέφυκεν· ἀνάλωτος μὲν ὢν καὶ δυσμάχητος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσι. Πρὸς γὰρ τοῖς εἰρημένοις, καὶ τὴν δύναμιν αὐτῶν πρὸς τὴν τῆς γῆς ἐργασίαν, ἰσόθεον πεποίηκε. Τῶν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν, τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας ἐστίν· ἐκείνων δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς αὑτοῦ κύριος καθέστηκεν. Εἰς τοσαύτην δ' ὑπερβολὴν εὐδαιμονίας ἥκουσιν, ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει τῆς χώρας, καὶ τῷ πλήθει τῶν πεδίων, ἤπειρον καρποῦνται· τῇ δὲ τῶν περιόντων διαθέσει, καὶ τῇ τῶν ἐλλειπόντων κομιδῇ, διὰ τὴν τοῦ ποταμοῦ δύ-

---

[l. 1.] Προκρίνας hîc accipe pro ſimplici κρίνας.

[l. 16.] Antè τοῖς vulg. habet ὧν quod delevi ut phraſim impediens.

nibus, multùm præſtare. Videbat enim cetera loca non commodè, nec convenienter ad univerſi mundi naturam poſita, partìm imbribus inundari, partìm fervoribus exuri: hanc verò regionem in pulcherrimâ orbis parte ſitam, plurimorum ac omnis generis bonorum eſſe feraciſſimam; & Nilo, immortali muro circumdatam, qui ad id à naturâ factus eſt, ut ipſi non præſidium tantummodò, verùm etiam victum ſufficientem, præbeat; inſuperabilis & inexpugnabilis adversùs hoſtium inſidias, iis autem qui intrà ipſùm habitant, ad derivationes & alia complura opportunus & utilis. Nam præter illa quæ diximus, horum quoque potentiam in colendâ terrâ propè divinam effecit. Imbrium quippe & ſiccitatum, quorum aliis Jupiter diſpenſator eſt, horum utrorumque poteſtatem quivis Ægyptiorum per ſe habet. Ac tàm immensâ felicitate ſunt, ut, ſi præſtantiam ſpectes naturamque regionis & camporum latitudinem, continente ſolo fruantur; at ſi conſideres exportationem rerum quibus abundant, & importationem quarum egent, ob fluminis hujus commoditatem, colant

---

[l. 21.] Περιόντων, vulg. habet ſimplex ὄντων. Deindè, vox διάθεσις idem eſt ac πρᾶσις, inquit Harpocratio. Propriè, venditio: interpretatus ſum, exportatio, quia bona regionis ſuperflua exportantur ut vendantur.

ναμιν, νῆσον οἰκοῦσιν. Κύκλῳ γὰρ αὐτὴν περιέχων, καὶ πᾶσαν διαῤῥέων, πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων τούτων πεποίηκεν.

Ἤρξατο μὲν οὖν ἐντεῦθεν ὅθενπερ χρὴ τοὺς εὖ φρονοῦντας, ἅμα τόπον ὡς κάλλιστον καταλαβὼν, καὶ τὴν τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐξευρών.

Μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους, τοὺς μὲν ἐπὶ ταῖς ἱερωσύναις κατέστησε, τοὺς δὲ ἐπὶ τὰς τέχνας ἔτρεψε, τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾷν ἠνάγκασεν· ἡγούμενος, τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας, ἔκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων δ᾽ εἶναι φυλακὴν ἀσφαλεστάτην, τήν τε περὶ τὸν πόλεμον ἐπιμέλειαν, καὶ τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν.

Ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβὼν, ἐξ ὧν ἄριστ᾽ ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν· εἰδὼς, τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας, πρὸς οὐδὲν τῶν ἔργων ἀκριβῶς ἔχοντας· τοὺς δ᾽ ἐπὶ ταῖς αὐταῖς πράξεσι συνεχῶς ἐπιμένοντας, εἰς ὑπερβολὴν ἕκαστον ἀποτελοῦντας. Τοιγαροῦν καὶ πρὸς τὰς τέχνας εὑρήσομεν αὐτοὺς πλεῖστον διαφέροντας τῶν περὶ τὰς αὐτὰς ἐπιστη-

[l. 3.] Antè τούτων admisi ἀμφοτέρων quod abest à vulgatâ, & quod dant Med. & Battie.

insulam. Ægyptum enim circumcircà ambiens fluvius, & totam interfluens, magnam eis opportunitatem utriusque rei suppeditat.

Indè igitur auspicatus Busiris undè sapientes ordiri decet, locum quàm amœnissimum occupavit, eumque talem undè incolis omnia ad victum necessaria abundè suppeterent.

III. Postea verò, civibus ordine distributis, alios præfecit sacris, alios variis artibus destinavit, alios rei militari coegit vacare, existimans scilicet necessitates vitæ simul & commoditates, tùm è terræ cultu, tùm ex opificiis, suppeditari oportere; earum autem custodiam tutissimam esse, tùm rei militaris exercitationem, tùm pietatem ergà Deos.

1°. Omnes itaque numeros earum rerum per quas optimè respublica constitui queat, quum vellet comprehendere, jussit ut easdem res semper tractarent singuli; haud ignarus eos qui subindè aliud atque aliud opus susciperent, nihil exquisitè cognitum habere; eos verò qui rebus iisdem perpetuò essent occupati, in suo scientiæ genere plurimùm excellere. Undè hoc illi consecuti sunt, ut & in singulis artibus longè plus aliis artificibus

[l. 5 & seq.] Vulg. καταλαβεῖν, ἐξευρεῖν, recepi in textum καταλαβὼν, ἐξευρὼν, quod Stephanus dat in margine.

[l. 24.] Hîc πλεῖστον idem valet ac πλεῖον.

μας, ἢ τοὺς ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν· καὶ περὶ τὴν σύνταξιν, δι᾽ ἧς τήν τε βασιλείαν, καὶ τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς ἔχοντας, ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοιούτων λέγειν ἐπιχειροῦντας, καὶ μάλιστα εὐδοκιμοῦντας, τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν· καὶ Λακεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους, ἄριστα διοικεῖν τὴν αὐτῶν πόλιν. Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν, καὶ τὰ συσσίτια, καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ τὸ μηδενὸς τῶν ἀναγκαίων ἀποροῦντας, τῶν κοινῶν προσταγμάτων οὐκ ἀμελεῖν, μὴ δ᾽ ἐπὶ ταῖς ἄλλαις τέχναις διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις προσέχειν τὸν νοῦν, ἐκεῖθεν ἅπαντα ταῦτ᾽ εἰλήφασι. Τοσοῦτον δὲ χεῖρον τούτοις κέχρηνται τοῖς ἐπιτηδεύμασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάντες, βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν· ἐκεῖνοι δ᾽ οὕτως οἰκοῦσιν, ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμελοῦντας, μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. Γνοίη δ᾽ ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας. Εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα, καὶ διὰ τὴν ἔνδειαν τῶν καθ᾽ ἡμέραν, καὶ διὰ τὸν πόλεμον τὸν πρὸς ἡμᾶς αὐτούς. Εἰ δὲ τοῖς Αἰ-

præſtent, quàm ceteri artifices hominibus illarum ignaris; & ordinem quo regnum & reliquas reipublicæ partes tuentur, tàm præclarum ſervent, ut etiam philoſophi celeberrimi, quum his de rebus diſputationes inſtituunt, Ægyptiam reipublicæ formam ceteris anteponant, & Lacedæmonii qui quamdam illius partem ad ſe tranſtulerunt, ſuam ipſorum civitatem optimè adminiſtrent. Nam ut militum nemo ſine veniâ magiſtratuum peregrè abeat, & concœnationes, & corporum exercitationem, prætereaque ne inopiâ rerum neceſſariarum coacti publica edicta negligant, aut aliis artibus occupentur, ſed ad arma & expeditiones animum applicent ſuum; illinc hæc omnia petierunt. Tantò autem pejus his inſtitutis utuntur, quòd ipſi omnes militiæ dediti, ſua aliis per vim eripere ſtudeant; illi autem ità vivant ut eos decet qui nec ſua negligunt, nec alienis inſidiantur. Quantùm porrò inter utramque gerendæ reipublicæ rationem interſit, ex eo perſpici poteſt, quòd ſi omnes pigritiam & cupiditatem Lacedæmoniorum imitemur, mox perierimus tùm ob victûs quotidiani penuriam, tùm ob bella inteſtina: ſin Ægyptiorum inſtituta

---

[l. 4.] Ἔχοντας, ſe habentes, nempè Ægyptios. Ἔχοντας regitur ab εὑρήσομεν.

[l. 7.] Poſt ϗ ſub. ὥστε quod præceſſit.

γυπτίων χρῆσθαι νομίμοις βουληθείημεν, καὶ τοῖς μὲν ἐργάζεσθαι, τοῖς δὲ τὰ τούτων σώζειν δόξειεν, ἕκαστοι τὴν αὐτῶν ἔχοντες, εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν.

Καὶ μὴν δὴ, καὶ τῆς περὶ τὴν φρόνησιν ἐπιμελείας, εἰκότως ἄν τις ἐκεῖνον αἴτιον εἶναι νομίσειεν. Τοῖς γὰρ ἱερεῦσι παρεσκεύασεν, εὐπορείαν μὲν ταῖς ἐκ τῶν ἱερῶν προσόδοις· σωφροσύνην δὲ ταῖς ἀγνείαις ταῖς ὑπὸ τῶν νόμων προστεταγμέναις· σχολὴν δὲ ταῖς τῶν κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις. Μεθ' ὧν ἐκεῖνοι βιοτεύοντες, τοῖς μὲν σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρείαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην, ἀλλὰ τοιούτοις, ἃ τὴν μὲν ἀσφάλειαν ἔχει ὁμοίαν τῇ τροφῇ τῇ καθ' ἡμέραν, τὰς δὲ ὠφελείας τηλικαύτας, ὥστ' ἐκείνους ὁμολογουμένως ὑγιεινοτάτους καὶ μακροβιωτάτους εἶναι· ταῖς δὲ ψυχαῖς φιλοσοφίας ἄσκησιν κατέδειξαν, ἣ καὶ νομοθετῆσαι, καὶ τὴν φύσιν τῶν ὄντων δύναται ζητῆσαι. Καὶ τοὺς μὲν πρεσβυτέρους ἐπὶ τὰ βέλτιστα ἔταξε, τοὺς δὲ νεωτέρους ἀμελήσαντας τῶν ἡδονῶν, ἐν ἀστρονομίᾳ καὶ λογισμοῖς καὶ γεωμετρίᾳ διατρίβειν ἔπεισεν. Ὧν τὰς δυνάμεις, οἱ μὲν, ὡς πρὸς ἕτερα χρησίμους ἐπαινοῦσιν, οἱ δὲ, ὡς πλεῖστον πρὸς ἀρετὴν συλλαμβανομένας ἀποφαίνειν ἐπιχειροῦσι.

ſecutis, aliis opus facere, aliis horum fortunas tueri, viſum fuerit, ſuis quique contenti finibus, beatam vitam exegerimus.

20. Quin & ſapientiæ ſtudium Buſiridi meritò acceptum referetur. Nam ſacerdotibus proſpexit, ut & opes haberent è reditibus ſacrorum, & modeſtiam è caſtitate à legibus ſancitâ, & otium ex immunitate à belli periculis ceterisque laboribus. Per quas illi commoditates auxilium artis medicæ invenerunt, hujus, inquam, non ad periculoſa confugientis medicamenta, verùm ad talia quæ & non minùs tutò quàm cibi quotidiani ſumi poſſint, & tantas utilitates habeant, ut nemo neget ſaniſſimos eſſe & maximè vivaces Ægyptios: ingeniis autem philoſophiæ exercitium repererunt, quæ tùm leges ſancire, tùm rerum naturam indagare poteſt. Ac ſenibus quidem optima quæque munia mandavit Buſirides; adoleſcentibus autem perſuaſit ut, omiſſo voluptatum ſtudio, in aſtronomiâ, & arithmeticâ, & geometriâ, verſarentur. Quarum facultatem ut ad alia conducibilem alii laudant, eam alii ad virtutem quoque conſequendam adjumenti plurimùm afferre contendunt.

[l. 18.] Vulg. κατέδειξεν, dedi κατέδειξαν quod habet etiam cod. N.

[l. 20.] Antè ἔταξε, ſubaudi vel adde ἐκεῖνος, nempè ὁ Βυσιρίδης.

Μάλιστα δ' ἐπαινεῖν καὶ θαυμάζειν τὴν εὐσέβειαν αὐτῶν ἄξιον, καὶ τὴν περὶ τοὺς θεοὺς θεραπείαν. Ὅσοι μὲν γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν, ὥστ' ἢ κατὰ φιλοσοφίαν, ἢ κατ' ἄλλην τινὰ ἀρετὴν, ὑπολαμβάνεσθαι μειζόνως ἢ κατὰ τὴν ἀξίαν, οὗτοι βλάπτουσι τοὺς ἐξαπατηθέντας. Ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω προέστησαν, ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς τιμωρίας εἶναι δοκεῖν ἀκριβεστέρας τῶν συμβαινόντων, οἱ δὲ τοιοῦτοι πλεῖστα τὸν τῶν ἀνθρώπων βίον ὠφελοῦσιν. Καὶ γὰρ τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν ἐργασάμενοι τούτων, αἴτιοί γεγόνασι τοῦ μὴ παντάπασι θηριωδῶς διακεῖσθαι πρὸς ἀλλήλους. Ἐκεῖνοι τοίνυν οὕτως ἁγίως καὶ σεμνῶς περὶ ταῦτα ἔχουσι, ὥστε καὶ τοὺς ὅρκους πιστοτέρους εἶναι τοὺς ἐν τοῖς ἐκείνων ἱεροῖς, ἢ τοὺς παρ' ἄλλοις καθεστηκότας· καὶ τῶν ἁμαρτημάτων ἕκαστον οἴεσθαι παραχρῆμα δώσειν δίκην, ἀλλ' οὐ διαλήσειν τὸν παρόντα χρόνον, οὐδὲ εἰς τοὺς παῖδας ἀναβληθήσεσθαι τὰς τιμωρίας. Καὶ ταῦτ' εἰκότως δοξάζουσι· πολλὰς γὰρ αὐτοῖς καὶ παντοδαπὰς ἀσκήσεις τῆς θειότητος ἐκεῖνος κατέστησεν· ὅστις καὶ τῶν ζώων τῶν παρ' ἡμῖν καταφρονουμένων ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν, οὐκ ἀγνοῶν τὴν δύναμιν αὐτῶν, ἀλλ' ἅμα μὲν ἐθίζειν οἰόμενος δεῖν τὸν ὄχλον ἅπασιν ἐμμένειν τοῖς ὑπὸ τῶν ἀρχόντων προσαγ-

3°. Maximis autem laudibus & admiratione digna est illorum religio, & deorum immortalium cultus. Nam qui ità se parârunt, ut vel ob scientiam aliquam, vel ob aliam virtutem, pluris quàm ex merito æstimentur, hi deceptis nocent. Qui autem divinis rebus ità præsunt, ut & mercedes & pœnæ certiores ac paratiores quàm sunt reipsâ, esse videantur, hi verò vitæ mortalium plurimùm prosunt. Siquidem ii qui ab initio timorem harum rerum nobis injecerunt, in causâ fuere ne inter nos planè ferarum ritu viveremus. Ægyptii igitur hæc ità sanctè & augustè administrant, ut juramenta in ipsorum templis præstita sanctiora sint quàm quæ apud alios recepta sunt, iidemque existiment singulis juramentorum violationibus confestìm paratam esse pœnam, neque fore ut in præsentiâ delitescant, aut animadversio in liberos differatur. Atque sic illos opinari verisimile est. Busirides enim multas eis & varias rerum divinarum exercitationes constituit; qui quædam ex animalibus apud nos contemptis, coli & honorari statuerit: non quòd eorum vim ignoraret, sed partìm plebem assuefaciendam esse ad observanda omnia

---

[l. 12.] Τούτων refer ad ἐπιμελείας & τιμωρίας. Pro τούτων Battie legit τοῦτον. Ald. & Med. τούτων transponunt & post αἴτιοι collocant.

γελλομένοις, ἅμα δὲ βουλόμενος πεῖραν λαμβάνειν τοῖς φανεροῖς, ἥντινα περὶ τῶν ἀφανῶν διάνοιαν ἔχωσιν. Ἐνόμιζε γὰρ τοὺς μὲν τούτων ὀλιγωροῦντας· τυχὸν ἂν καὶ τῶν μειζόνων καταφρονήσειν· τοὺς δ᾽ ἐπὶ πάντων ὁμοίως ἐμμένοντας τῇ τάξει, βεβαίως ἔσεσθαι τὴν αὐτῶν εὐσέβειαν ἐπιδεδειγμένους.

Ἔχοι δ᾽ ἄν τις μὴ σπεύδειν ὡρμημένος πολλὰ καὶ μεγάλα περὶ τῆς ὁσιότητος αὐτῶν διελθεῖν· ἣν οὔτε μόνος, οὔτε πρῶτος ἐγὼ τυγχάνω καθεωρακὼς, ἀλλὰ πολλοὶ τῶν ὄντων καὶ τῶν προγεγενημένων· ὧν καὶ Πυθαγόρας ὁ Σάμιος εἷς ἐστιν. Ὃς ἀφικόμενος εἰς Αἴγυπτον, καὶ μαθητὴς ἐκείνων γενόμενος, τήν τε ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε, καὶ περὶ τὰς θυσίας τε καὶ τὰς ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς, ἐπιφανέστερον τῶν ἄλλων ἐσπούδασεν· ἡγούμενος εἰ καὶ μηδὲν αὐτῷ διὰ ταῦτα πλεῖον γίγνοιτο παρὰ τῶν θεῶν, ἀλλὰ παρά γε τοῖς ἀνθρώποις ἐκ τούτων μάλιστ᾽ ἂν εὐδοκιμήσειν. Ὅπερ αὐτῷ καὶ συνέβη. Τοσοῦτον γὰρ εὐδοξίᾳ τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε καὶ τοὺς νεωτέρους ἅπαντας ἐπιθυμεῖν αὐτοῦ μαθητὰς εἶναι, καὶ τοὺς πρεσβυτέρους ἥδιον ὁρᾶν τοὺς παῖδας τοὺς αὑτῶν ἐκείνῳ συγγιγνομένους, ἢ τῶν οἰκείων ἐπιμελουμένους. Καὶ τούτοις οὐχ οἷόν τε ἀπιστεῖν. Ἔτι γὰρ καὶ νῦν τοὺς

principum edicta exiſtimavit, partìm in rebus manifeſtis experiri voluit quid ipſa de occultis ſentiret. Arbitrabatur enim eos qui hæc negligerent fortaſſis etiam majora contempturos : eos autem qui ordinem ſervarent in omnibus, edidiſſe jam ſpecimen ſuæ in colendâ religione conſtantiæ.

Jam poſſet aliquis qui non feſtinare ſtuderet, multa & magna de ſanctitate Ægyptiorum commemorare. Quam ego neque ſolus, neque primus, perſpexi, ſed multi etiam cùm noſtræ tùm ſuperioris ætatis homines; quorum de numero fuit Samius ille Pythagoras. Qui quum, in Ægyptum profectus, illorum diſciplinæ ſe tradidiſſet, tùm reliquam philoſophiam primus inter Græcos intulit, tùm ſacrificiorum & conſecrationum in templis majus quàm ceteri ſtudium habuit; exiſtimans, etiamſi propterea nihilo plus à diis impetraſſet, at maximam celebritatem apud homines ob eam rem ſe conſecuturum. Id quod ei & contigit. Tantùm enim famâ ceteros antecelluit, ut & omnes adoleſcentes ejus diſcipuli eſſe cuperent, & ſenes libentiùs viderent ſuos liberos cum eo verſari quàm rem familiarem curare. Atque his fides abrogari

[l. 6.] Vulg. βεβαιώσεσθαι, dedi βεβαίως ἔσεσθαι quod dant etiam Battie & edit. Baſ.

προσποιουμένους ἐκείνου μαθητὰς εἶναι, μᾶλλον σιγῶντας θαυμάζομεν, ἢ τοὺς ἐπὶ τῷ λέγειν μεγίστην δόξαν ἔχοντας.

Ἴσως ἂν οὖν τοῖς εἰρημένοις ἀπαντήσειας, ὅτι τὴν μὲν χώραν καὶ τοὺς νόμους καὶ τὴν εὐσέβειαν, ἔτι δὲ καὶ τὴν φιλοσοφίαν, ἐπαινῶ τῶν Αἰγυπτίων· ὡς δὲ τούτων αἴτιος ἦν ὃν ὑπεθέμην, οὐδεμίαν ἔχω λέγειν ἀπόδειξιν.

Ἐγὼ δὲ, εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτιμᾶν. Σοὶ δ' οὐ προσήκει ταύτην ποιεῖσθαι τὴν ὑπόληψιν. Βουληθεὶς γὰρ Βούσιριν εὐλογεῖν, προείλου λέγειν ὡς τόν τε Νεῖλον περὶ τὴν χώραν περιέρρηξε, καὶ τῶν ξένων τοὺς εἰσαφικνουμένους κατήσθιεν. Ὡς δὲ ταῦτ' ἐποίησεν, οὐδεμίαν πίστιν εἴρηκας. Καίτοι πῶς οὐ καταγέλαστόν ἐστι, ταῦτα παρὰ τῶν ἄλλων ἀπαιτεῖν, οἷς αὐτὸς μηδὲ κατὰ μικρὸν κεχρημένος τυγχάνεις; ἀλλὰ τοσούτῳ πλέον ἡμῶν ἀπέχεις τοῦ πιστὰ λέγειν, ὅσον ἐγὼ μὲν οὐδενὸς αὐτὸν αἰτιῶμαι τῶν ἀδυνάτων, ἀλλὰ νόμων καὶ πολιτείας· αἵπερ εἰσὶ πράξεις τῶν ἀνδρῶν τῶν καλῶν καὶ ἀγαθῶν. Σὺ δὲ τοιούτων δημιουργὸν

[l. 18.] Vulg. τοσοῦτον, legi τοσούτῳ cum Battie.
[l. 20.] Αἰτιῶμαι, hîc αἰτιᾶσθαι non est, accusare,

nequit. Quippè etiam nunc qui illius diſcipulos ſe eſſe profitentur, eos magis admiramur tacentes, quàm alios eloquentiæ gloriâ præſtantiſſimos.

Objectio.

Fortaſſis autem, ô Polycrates, iis quæ diximus occurres, me regionem quidem, & leges, & pietatem, & ſapientiam Ægyptiorum laudare; ſed earum rerum eum eſſe autorem de quo dicere propoſui, nullo modo demonſtrare poſſe.

Reſponſio.

1°. Ego verò, ſi quis alius verba mea ſic argueret, eruditè me ab eo reprehendi putarem: ſed tibi ità argumentari nefas eſt. Quum enim Buſiridem voluiſſes laudare, dicere non dubitaſti hunc coegiſſe Nilum ut regionem circumflueret, & exteros qui eò adveniſſent devoraſſe; nec ullum argumentum quo probaretur hæc ab eo eſſe facta, protuliſti. Nonne igitur ridiculum fuerit ea te ab aliis poſtulare quæ tu præſtitiſti ne minimè quidem? Verùm eò longiùs ipſe quàm ego à credibilibus dicendis es remotus, quòd ego quidem nihil illi attribuerim quod fieri nequeat, at leges & reipublicæ conſtitutionem, quæ præſtantium virorum opera ſunt; tu verò talium facinorum

---

ſed αἴτιον εἶναι λέγειν, aſcribere, vel, tribuere aliquid alicui.

ἀποφαίνεις, ὧν οὐδέτερον οὐδεὶς ἂν ἀνθρώπων ποιήσειεν· ἀλλὰ τὸ μὲν τῆς τῶν θηρίων ὠμότητος, τὸ δὲ, τῆς τῶν θεῶν δυνάμεως ἔργον ἐστίν. Ἔπειτ' εἰ καὶ τυγχάνομεν ἀμφότεροι τὰ ψευδῆ λέγοντες, ἀλλ' οὖν ἐγὼ μὲν τούτοις κέχρημαι τοῖς λόγοις οἷσπερ χρὴ τοὺς ἐπαινοῦντας, σὺ δ' οἷς προσήκει τοὺς λοιδοροῦντας. Ὥστ' οὐ μόνον τῆς ἀληθείας αὐτῶν, ἀλλὰ καὶ τῆς ἰδέας ὅλης, δι' ἧς εὐλογεῖν δεῖ, φαίνη διημαρτηκώς.

Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν σὸν ἀπαλλαγέντα, τὸν ἐμὸν λόγον ἐξετάζειν, οὐδεὶς ἂν αὐτῷ δικαίως ἀπιστήσειεν. Εἰ μὲν γὰρ ἄλλος τις ἦν φανερὸς ὁ ταῦτα πράξας, ἃ ἐγὼ φημὶ γεγενῆσθαι δι' ἐκεῖνον, ὁμολογῶ λίαν εἶναι τολμηρὸς, εἰ περὶ ὧν ἅπαντες ἐπίστανται, περὶ τούτων μεταπείθειν ἐπιχειρῶ. Νῦν δ' ἐν κοινῷ τῶν πραγμάτων ὄντων, καὶ δοξάσαι δέον περὶ αὐτῶν, τίνα ἄν τις τῶν ἐκεῖ καθεστώτων, ἐκ τῶν εἰκότων σκοπούμενος, αἰτιώτερον εἶναι νομίσειεν, ἢ τὸν ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ Διὸς ὄντα, μεγίστην δὲ δύναμιν τῶν κατ' αὐτὸν κτησάμενον, καὶ παρὰ τοῖς ἄλλοις ὀνομαστότατον γεγενημένον; οὐ γὰρ δή που τοὺς ἅπασι τούτοις ἀπολελειμμένους προσήκει μᾶλλον ἢ ἐκεῖνον τηλικούτων ἀγαθῶν εὐεργέτην γεγενῆσθαι.

Καὶ μὲν δὴ καὶ τοῖς χρόνοις ῥᾳδίως ἄν τις τοὺς

opificem eum exhibeas, quorum neutrum quisquam mortalium fecerit; sed alterum belluinæ immanitatis, alterum divinæ potentiæ, opus est. Deindè, etiamsi falsa uterque dicamus, ego tamen his verbis sum usus quæ sunt laudantium, dùm tu ea adhibuisti quæ vituperantibus conveniunt. Quare non veritatem neglexisti tantùm, sed & à totâ laudationum formâ aberrasti.

2°. Præterea si, tuis omissis, mea oratio per se excutienda est, nemo ei jure fidem abrogabit. Nam si quem alium ea fecisse constaret quæ Busiridi nunc tribuo, confiterer me nimis esse audacem, qui notam omnibus veritatem extorquere conarer. Nunc quum res in medio positæ sint, & de iis necesse sit uti conjecturâ, quemnam aliquis receptorum illîc institutorum, si verisimilitudo spectetur, autorem potiùs esse credat, quàm eum qui & Neptuno genitus, & à Jove ortus per matrem, & maximâ potentiâ præditus, & ubique gentium nominatissimus fuerit? Nec enim consentaneum est his rebus omnibus inferiores aliquos potiùs quàm hunc tanta in Ægyptum beneficia contulisse.

3°. Quin etiam ipsâ ratione temporum, male-

λόγους τοὺς τῶν λοιδορούντων ἐκεῖνον ψευδεῖς ὄντας ἐπιδείξειεν. Οἱ γὰρ αὐτοὶ τῆς Βουσίριδος ξενοκτονίας κατηγοροῦσι, καὶ φασὶν αὐτὸν ὑφ' Ἡρακλέους ἀποθανεῖν. Ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν, Περσέως τοῦ Διὸς καὶ Δανάης Ἡρακλέα μὲν εἶναι τέτρασι γενεαῖς νεώτερον, Βούσιριν δὲ πλέον ἢ διακοσίοις ἔτεσι πρεσβύτερον. Καί τοι τὸν βουλόμενον διαλύσασθαι τὰς ὑπὲρ ἐκείνου διαβολὰς, πῶς οὐκ ἄτοπόν ἐστι ταύτην τὴν πίστιν παραλιπεῖν, τὴν οὕτως ἐναργῆ καὶ τηλικαύτην δύναμιν ἔχουσαν;

Ἀλλὰ γὰρ οὐδέν σοι τῆς ἀληθείας ἐμέλησεν, ἀλλὰ ταῖς τῶν ποιητῶν βλασφημίαις ἐπηκολούθησας. Οἳ δεινότερα μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς ἐκ τῶν ἀθανάτων γεγονότας, ἢ τοὺς ἐκ τῶν ἀνθρώπων τῶν ἀνοσιωτάτων· τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν θεῶν εἰρήκασιν, οὓς οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειεν εἰπεῖν. Οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρὰ ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν, ἀλλὰ καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς, καὶ μητέρων συνουσίας, καὶ πολλὰς ἄλλας ἀνομίας, ἐλογοποίησαν κατὰ τούτων. Ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν ἀτιμώρητοί γε διέφυγον· ἀλλ' οἱ μὲν αὐτῶν πλανῆται καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς κατέστησαν· οἱ δ' ἐτυ-

dictis illum insectantes mendacii facilè convincuntur. Nam iidem sunt qui Busiridem & cæsorum hospitum accusent, & ab Hercule interfectum esse dicant. Constat autem inter omnes historiarum scriptores, Perseo Jovis & Danaæ filio quatuor ætatibus Herculem esse juniorem, Busiridem verò plus quàm ducentis annis seniorem. Atenim quid absurdius quàm te, quum factas de illo calumnias refutare velles, argumentum hoc tàm evidens, tàm firmum, prætermisisse?

4°. Verùm tu, veritatis nullâ habitâ ratione, poetarum maledicta secutus es; qui ex diis immortalibus genitos atrociora tùm perpetrasse, tùm perpessos esse, asserunt, quàm filios hominum nefariorum, talesque fabulas de ipsis diis sunt commenti, quales nemo in suos inimicos dicere audeat. Nec enim furta solùm, & adulteria, & apud homines servitutes, illis exprobrârunt; sed & liberorum devorationes, & patrum exectiones, & matrum concubitus, & multa alia teterrima facinora, de iis confinxerunt. Pro quibus meritas quidem pœnas non dederunt, non tamen omninò effugerunt impuniti: sed alii errones fuerunt & victûs quotidiani inopes, alii obcæcati sunt, alii

φλώθησαν· ἄλλοι δὲ φεύγοντες τὴν πατρίδα, καὶ τοῖς οἰκείοις πολεμοῦντες, ἅπαντα τὸν χρόνον διετέλεσαν. Ὀρφεὺς δ᾽ ὁ μάλιστα τῶν τοιούτων λόγων ἁψάμενος, διασπασθεὶς τὸν βίον ἐτελεύτησεν.

Ὥστ᾽ ἂν σωφρονῶμεν, οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων, οὐδὲ περὶ μὲν τῆς ἀλλήλων κακηγορίας νομοθετήσομεν, τῆς δ᾽ εἰς τοὺς θεοὺς παῤῥησίας ὀλιγωρήσομεν· ἀλλὰ φυλαξόμεθα καὶ νομιοῦμεν ὁμοίως τούς τε λέγοντας τὰ τοιαῦτα πλημμελεῖν καὶ τοὺς πιστεύοντας αὐτοῖς. Ἐγὼ μὲν οὖν οὐχ ὅπως τοὺς θεοὺς, ἀλλ᾽ οὐδὲ τοὺς ἐξ ἐκείνων γεγονότας, οὐδεμιᾶς ἡγοῦμαι κακίας μετασχεῖν, ἀλλ᾽ αὐτούς τε τὰς πάσας ἔχοντας ἀρετὰς φῦναι, καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνας καὶ διδασκάλους γεγενέσθαι. Καὶ γὰρ ἄλογον εἰ τῆς μὲν ἡμετέρας εὐπαιδίας εἰς τοὺς θεοὺς τὴν αἰτίαν ἀναφέρομεν, τῆς δὲ σφετέρας αὐτῶν μηδὲν αὐτοὺς φροντίζειν νομίζομεν. Ἀλλ᾽ εἰ μὲν ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως καταστῇ κύριος, οὐδ᾽ ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι πονηρούς· ἐκείνων δὲ οὐ καταγινώσκοιμεν, εἰ τοὺς ἐξ αὐτῶν γεγονότας περιίδοιεν, οὕτως ἀσεβεῖς καὶ παρανόμους ὄντας; καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας, ἄν σοι πλησιάσωσι, βελ-

pulſi patriâ, per omne tempus bellum gerere non deſtiterunt contrà domeſticos: Orpheus autem, iſtarum fabularum autor præcipuus, in fruſta diſcerptus interiit.

Quare, ſi ſapimus, iſtorum deliramenta non imitabimur, neque committemus, quum tulerimus leges ne alter alteri maledicat, ut quidlibet de diis effutiendi omnis detur licentia; ſed cavebimus potiùs, eosque qui talia & dicunt & credunt, eadem putabimus delinquere. Ego verò arbitror non Deos tantùm, ſed & filios Deorum, ab omni ſcelere & vitio alienos, tùm ipſos naturâ virtutes omnes habuiſſe inſitas, tùm aliis ad honeſtiſſima & præclariſſima quæque ſtudia duces & magiſtros extitiſſe. Abſurdum eſt enim, ſi, quum noſtræ ſobolis proſperitatem diis acceptam referamus, exiſtimamus eos ſuam ipſorum nihil curare. Quòd ſi quis noſtrûm naturæ humanæ conſtitutus eſſet moderator, ne famulos quidem ſuos improbos eſſe pateretur; & illos non damnaremus, ſi genitos ex ſeſe adeò pravos & impios eſſe ſinerent! tu quidem, Polycrates, te putas etiam tibi prorsùs alienos, ſi te magiſtro utantur, optimos eſſe reddi-

[l. 8.] Vulg. *κατηγορίας*, dedi *κακηγορίας* quod dat etiam Battie.

[l. 20.] Poſt *τὶς* addidi *τῆς* quod dant Ald. edit. Baſ. Med. & Battie.

τίσους ποιήσειν, τοὺς δὲ θεοὺς οὐδεμίαν ἡγῇ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέλειαν; Καίτοι κατὰ τὸν σὸν λόγον, δυοῖν τοῖν αἰσχίστοιν οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μηδὲ βούλονται χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν· εἰ δὲ βούλονται μὲν, ἀποροῦσι δ᾽ ὅπως ποιήσωσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσι.

Πολλῶν δ᾽ ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν, οὐχ ἡγοῦμαι δεῖν μακρολογεῖν· οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιούμενος, ἀλλ᾽ ὑποδεῖξαί σοι βουλόμενος ὡς χρὴ τούτων ἑκάτερον ποιεῖν, διείλεγμαι περὶ αὐτῶν. Ἐπεὶ τόν τε λόγον ὃν συνέγραψας, οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος, ἀλλ᾽ ὁμολογίαν τῶν ἐγκαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν. Οὐ γὰρ ἀπολύεις αὐτὸν τῶν ἁμαρτιῶν, ἀλλ᾽ ἀποφαίνεις, ὡς καὶ τῶν ἄλλων τινὲς ταῦτα πεποιήκασι, ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγήν. Εἰ γὰρ τῶν μὲν ἀδικημάτων οὐ ῥᾴδιον εὑρεῖν, ὃ μήπω τυγχάνει γεγενημένον, τοὺς δ᾽ ἐφ᾽ ἑκάστοις αὐτῶν ἁλισκομένους, μηδὲν ἡγοίμεθα δεινὸν ποιεῖν, ὅτ᾽ ἂν ἕτεροι ταῦτα φαίνωνται διαπεπραγμένοι· πῶς οὐκ ἂν καὶ τὰς ἀπολογίας ἅπασι ῥᾳδίας ποιησαίμεθα, καὶ τοῖς βουλομένοις εἶναι πονηροῖς πολλὴν ἐξουσίαν κατασκευάσαιμεν;

turum : Deos verò existimas suorum liberûm nullam prorsùs curam habere ! Atque ex teipso à duobus turpissimis criminibus non absunt. Nam si bonos eos ne quidem esse volunt, deteriore quàm homines ingenio ; sin, quum velint, non habent quomodo id efficiant, minore quàm sophistæ potentiâ, sunt instructi.

Conclusio orationis.

Quamvis autem multa dici queant per quæ & laudatio & defensio dilatari posset, non tamen pluribus verbis opus esse autumo. Nec enim ostentandi meî apud alios, sed erudiendi tuî causâ, utque ostenderem quomodo horum utrumque fieri debeat, hæc disserui. Nam oratio quidem à te conscripta, non defensio Busiridis, sed criminum confessio, rectè existimari potest. Nec enim eum culpâ vacare, sed nonnullos alios eadem perpetrasse declaras, facillimo delinquentibus confugio excogitato. Quum enim non facile sit ullum reperire scelus quòd nondùm sit confectum, si in horum scelerum singulis deprehensos nihil grave admisisse putabimus, modò alios eadem fecisse constet, nonne omnibus expeditas parabimus defensiones, & iis qui improbi esse velint magnam licentiam aperiemus.

Μάλιστα δ' ἂν κατίδοις τὴν εὐήθειαν τῶν εἰρημένων, ἐπὶ σαυτοῦ θεωρήσας. Ἐνθυμήθητι γάρ εἰ, μεγάλων καὶ δεινῶν αἰτιῶν περὶ σὲ γεγονυιῶν, τοῦτον τίς σοι τὸν τρόπον συνείποι, πῶς ἂν διατεθείης; ἐγὼ μὲν οἶδ' ὅτι πολὺ μᾶλλον αὐτὸν μισήσειας, ἢ τοὺς κατηγοροῦντας. Καίτοι πῶς οὐκ αἰσχρὸν, τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας, ἐφ' αἷς ὑπὲρ σαυτοῦ λεγομέναις μάλιστ' ἂν ὀργισθείης;

Σκέψαι δὲ κἀκεῖνο, καὶ διέλθε πρὸς αὐτὸν, εἴ τις τῶν σοὶ συνόντων ἐπαρθεὶς ποιεῖν ἃ σὺ τυγχάνεις εὐλογῶν, πῶς οὐκ ἂν ἀθλιώτατος εἴη, καὶ τῶν ὄντων καὶ τῶν πώποτε γεγενημένων; Ἆρ' οὖν χρὴ τοιούτους λόγους συγγράφειν, οἷς τοῦτο προσέσται μέγιστον ἀγαθὸν, ἢν μηδένα πεῖσαι τῶν ἀκουσάντων δυνηθῶσιν.

Ἀλλὰ γὰρ ἴσως ἂν εἴποις ὡς οὐδὲ σὲ τοῦτο παρέλαθεν· ἀλλ' ἐβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν πραγμάτων ποιεῖσθαι τὰς ἀπολογίας. Ἀλλ' εἰ καὶ πρότερον ἠγνόεις, οἶμαί σοι νῦν γεγενῆσθαι φανερὸν, ὅτι πολὺ θᾶττον ἄν τις σωθείη μηδὲν φθεγξάμενος, ἢ τοῦτον τὸν τρόπον ἀπολογησάμενος. Καὶ μὴν δὴ καὶ τοῦτο δῆλον, ὅτι τῆς

Optimè autem perſpicies quàm ſtultè iſta dicta fuerint, ſi ad teipſum ea retuleris. Cogita enim ſi, de magnis & nefariis criminibus accuſatus, ad iſtum modum ab aliquo defenderêre, quem tandem animum habeas. Equidem ſcio te iſti defenſori multò infenſiorem futurum, quàm ipſis accuſatoribus. An verò turpe non eſt ità defendere alios, quemadmodum te defendi maximè ſuccenſeres?..

Illud quoque conſidera & apud animum tuum perpende, ſi quis tuorum familiarium induci ſe pateretur ad ea facienda quæ tu laudas, annon miſerrimus eſſet omnium qui nunc ſunt & qui unquam fuerunt? Decetne igitur ejuſmodi orationes conſcribere, quarum id ſummum bonum ſit, ſi ulli auditorum nihil perſuadere poſſint?

Forſan autem dices nec te id fefelliſſe, ſed litteratis viris relinquere voluiſſe exemplum, quâ ratione oporteat fœda crimina purgare & cauſas difficiles tueri. Verùm ſi priùs ignorabas, nunc ſaltem te intellexiſſe arbitror, multò faciliùs abſolutum iri aliquem ſi omninò dixerit nihil, quàm ſi eo modo ſe defenderit quo tu Buſiridem defendiſti. Jam & illud manifeſtum eſt, quum ſtudia litterarum in

φιλοσοφίας ἐπικήρως διακειμένης καὶ φθονουμένης, διὰ τοὺς τοιούτους τῶν λόγων ἔτι μᾶλλον αὐτὴν μισήσουσιν.

Ἢν οὖν μοι πείθῃ, μάλιστα μὲν οὐ ποιήσεις τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις· εἰ δὲ μή, τοιαῦτα ζητήσεις λέγειν, ἐξ ὧν μήτ' αὐτὸς χεῖρον εἶναι δόξεις, μήτε τοὺς μιμουμένους λυμανῇ, μήτε τὴν περὶ τοὺς λόγους παίδευσιν διαβαλεῖς. Καὶ μὴ θαύμαζε εἰ, νεώτερος ὢν καὶ μηδέν σοι προσήκων, οὕτω προχείρως ἐπιχειρῶ σε νουθετεῖν· ἡγοῦμαι γὰρ, οὐ τῶν πρεσβυτάτων, οὐδὲ τῶν οἰκειοτάτων, ἀλλὰ τῶν πλεῖστα εἰδότων, καὶ βουλομένων ὠφελεῖν, ἔργον εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν.

[l. 1.] Ἐπικήρως, adverbium, fluxè, infirmè, ca-



hoc

hoc calamitoſo ſtatu & in odio ſint, majorem etiam in litteras, per iſtius generis orationes, invidiam concitandam eſſe.

Itaque ſi mihi obtemperaveris, in poſterum improba argumenta maximè non tractabis, aut certè dabis operam ut ea dicas per quæ nec tuam imminuas exiſtimationem, nec imitatores tuî corrumpas, nec in odium adducas eloquentiæ diſciplinam. Neque verò mirari debes, ſi ipſe qui junior ſum, nec ullâ neceſſitudine tibi devinctus, monere te adeò alacriter inſtituerim. Nam ejuſmodi de rebus dare conſilia, neque natu maximorum, neque conjunctiſſimorum, ſed eorum qui & plurima ſciunt & prodeſſe volunt, munus eſſe exiſtimo.

---

lamitosè, fataliter.



ANALYSIS ORATIONIS INSCRIPTÆ ΠΑΝΑΘΗΝΑΙΚΌΣ.

Propositum.

Hæc oratio videtur inſcribi *Panathenaicus*, quia recitata fuit in *Panathenais*, feſtis Athenarum ſolemnibus. Id intendit orator ut laudet civitatem Athenienſem, ſed in hoc diſcrepat Panathenaicus à Panegyrico ubi laudatur pariter civitas Athenienſis, quòd illîc laudetur occaſione alterius argumenti, hîc autem ejus laudatio ſit ipſum orationis argumentum.

Præmiſſa.

Antequam ad ipſam orationem veniat, plurima præmittit Iſocrates.

I. Brevi exordio exponit quæ hactenùs tractanda ſuſceperit argumenta, & quo nunc utatur ſcribendi genere. Prædicit ſe inſtituere civitatem ſuam laudare, ſed multa priùs dicturum quæ ad ſeipſum pertinent. Itaque;

II. Queritur de ſemetipſo, quòd, quum à naturâ ſortitus fuerit mentem ſanam & corpus ſanum, non habuerit neque vocem neque audaciam idoneam ut ad populum concionaretur.

III. Queritur de populo, quòd, quum ipſe honeſtiſſima & Græcis maximè utilia tractaverit argumenta, populus tamen ipſi invídeat, & oratores maleſanos majori in honore habeat.

IV. Queritur de sophistis, qui malevolo & infenso animo carpebant scripta ipsius quæ æmulabantur & imitari cupiebant. Hîc commoratur paulisper,

1°. Sermones ab illis de se habitos refutando:

2°. Dubitando utrùm perrecturus sit de illis loqui:

3°. Studia illorum elevando:

4°. Pausò fusiùs explicando quæ sit doctrina verè utilis, verè necessaria.

V. Accedit ad propositum argumentum cujus magnitudinem ostendit, & significat quâ ratione illud sit tractaturus: nempè, ità laudabit civitatem Atheniensem ut eam conferat cum civitate Lacedæmoniensi, demonstretque Athenas Spartæ multò fuisse superiores.

Confirmatio.

Confirmatio constat tribus partibus: in quarum primâ orator docet quonam animo fuerit in Græcos utraque civitas, in secundâ quomodo se habuerit utriusque administratio, in tertiâ res utriusque bellicas commemorat; & semper concludit suæ civitatis præstantiam.

Confirmationis prima pars.

I. Sub Minois Cretensis imperio Athenienses id egerunt ut ex insulis expellerent Barbaros, & in illis collocarent Græçorum egentissimos. Lacedæmonii è contrâ circà idem tempus id unum studuerunt ut suum in Peloponneso imperium confirmarent & amplificarent.

II. In bello contrà Xerxem, tùm numero navium, tùm ducum excellentiâ, Athenienses Lacedæmoniis præstiterunt, undè ipsis Græci Spartæ ademptum imperium concessere.

III. Quamvis neutra civitas laudabili modo se gesserit quum tenuit maris imperium, Athenienses tamen multò moderatiùs egerunt cum Græcis quàm Lacedæmonii. Hinc Spartæ imperium in Græcos vix decem annos duravit, dùm

Athenarum in eosdem imperium permansit quinque & septuaginta annos : hinc debellata civitas Atheniensis vires mox recepit suas, dùm Spartana post unam cladem acceptam non potuit se restituere in integrum.

IV. Athenienses fœdus cum Persis multò gloriosius sanciverunt quàm Spartani.

V. Rerum prædictarum congregatio, & conclusio hujus primæ partis.

Objectio. Crimini dantur Atheniensibus acerba sociorum judicia, iniquæ tributorum exactiones, Meliorum & Scionæorum exitium.

Responsio per concessionem & recriminationem.

1°. Plures à Lacedæmoniis indictâ causâ sunt interfecti quàm ab Atheniensibus in jus vocati.

2°. Socii ultrò & sponte suâ tributa contulerunt ne duro laconicæ tyrannidis jugo premerentur. Deindè ipsorum commodis ità consuluerunt Athenienses, ut nihilò pauperiores essent Peloponnensibus nihil tributi pendentibus.

3°. Athenienses in parvas duntaxat & Græcorum plerisque ignotas insulas deliquerunt, dùm Lacedæmonii maximas Peloponnesi civitates everterunt, Messenam scilicet, Lacedæmona, & Argivorum civitatem, quæ duces præstantissimos, Nestorem, Menelaum, Agamemnonem, ad Trojam miserant. Hinc,

Longa & magnifica de Agamemnonis laudibus digressio, cujus egregia facinora ceterorum heroum facinoribus anteponuntur.

Deindè excusatio ejusdem digressionis, & reditus ad rem.

4°. Enumerantur fusiùs crudelitates & sævitiæ Lacedæmoniorum in Argivos, in Messenios, in Platæenses, in Ionas quos regi Persarum miserè vexandos tradiderunt, dùm è contrà Atheniensium civitas his omnibus populis humaniter

& benignè consuluit. Hujus excusantur violentia & durities quas, Spartanæ civitatis exemplo edocta, in aliquos edidit.

Transitus ad secundam confirmationis partem.

Confirmationis secunda pars.

Contendit orator Athenienses sapienti rerum administratione non minùs excelluisse quàm iis quæ suprà commemoravit.

I. Dicit se loqui de republicâ majorum, non de præsenti republicâ quam vituperat, & cujus perturbationem transfert in Lacedæmonios.

II. Laudat priscorum Atheniensium mansuetudinem, eorum qui regnaverunt Athenis, ac præsertìm Thesei, commendat sapientiam, de variis rerumpublicarum formis disputat solerter, veterem democratiam magnificè prædicat, præsentique opponit democratiæ cujus vitia vividè describit, ac denique asserit sanas rectæ administrationis regulas non ex Lacedæmoniis Athenienses, sed ex Atheniensibus Lacedæmonios, assumpsisse. Hæc omnia, objectionibus & responsionibus intermixta, fusè ac sparsìm, ut à sene plusquàm nonagenario, tractantur.

Confirmationis pars tertia.

Athenienses Lacedæmoniis virtute etiam bellicâ præstiterunt.

I. Isocrates reprehendit utramque civitatem ob adulationem Persicam & intestina bella, dicitque multò rectiùs & sensisse & egisse majores Atheniensium.

II. Illorum expeditiones commemorat de coloniis, & quanta ex illis expeditionibus bona evenerint.

III. Supplicationes factas ab Adrasto Atheniensibus narrat ut bellicæ potentiæ signum, sed narrat aliter ac in oratione panegyricâ. Quam diversitatem paucis defendit.

IV. Antequam persequatur res Atheniensium bellicas,

transire intendit ad bellica Lacedæmoniorum facinora. Factâ igitur mentione turbarum quibus primò agitata fuit Lacedæmon, & immanitatis quâ principes in plebem sævierunt, relaturus erat bella iniqua quibus populos sibi vicinos & cognatos vexavere; sed hîc multa desunt, ut ad hujus voluminis calcem planum facere enitar. Acriter invehitur orator in Spartanorum usurpationes & violentiam, tuncque redit ad res gestas quibus majores & patres Atheniensium nunc existentium inclaruerunt. Itaque,

V. Summatìm perstringit illorum bella præcipua, in quibus ipsis semper propositum fuit pro salute & dignitate Græciæ pugnare. Hanc tertiam confirmationis partem concludit illorum in rebus secundis moderationem prædicando.

Epilogus.

Hîc fingit Isocrates (namque hanc fictionem esse arbitror) se advocasse cum aliis aliquibus unum ex iis quem olim habuerat inter discipulos, ut ipsi orationem panathenaicam perlegeret. Supponit hunc fuisse virum inclytum, ingenio & eloquentiâ commendatum, Laconum imprimis amatorem & fautorem, hincque occasionem natam esse plura de Lacedæmoniis differendi. Ille igitur hos defendere aggreditur, ac dicere audet, etiamsi nullum aliud in Græcos beneficium contulissent, ob illud tamen eis jure omnes gratiam habituros quòd inventa à se pulcherrima instituta & usurpassent ipsi & aliis demonstrassent.

Illum refutat Isocrates, contenditque Lacedæmonios 1°. non invenisse pulcherrima instituta:

2°. Imò & turpissima usurpasse. Horum ex multis unum commemorat.

Iterùm loquitur philolaco, &, nonnullis concessis, Lacedæmoniorum exercitationem fortitudinis, concordiam & studium rei militaris singulare, extollit.

Philolaconem iterùm refutat orator:

1°. Per locum communem quo egregiè ostendit laudatissimas per se dotes laudandas esse vel vituperandas prout iis homines benè vel malè utuntur.

2°. Insectatur vehementer Spartanorum concordiam quâ ad perniciem Græcorum usi sunt.

Expositio eorum quæ disputationem sunt consecuta, & de edendâ oratione deliberatio.

Advocantur plures Isocratis discipuli, & consulitur idem Laconum amator; qui quidem,

1°. Artificium orationis fusiùs explicat, & aliqua de ipsâ magistro suo modestè dat consilia.

2°. Lacedæmoniorum laudes recenset ex ipsâ oratione depromptas.

3°. Congratulatur Isocrati ob scriptam orationem, & immortales honores pollicetur, hortando ut eam edat quamprimùm.

Approbatio data philolaconi, & totius orationis conclusio. Enarrantur facta aliqua ad orationem spectantia, recensentur variæ orationum species, & ii monentur qui hanc lecturi sunt.

Ex ipso Isocrate, quatuordecim & octoginta annos ipse natus erat quum hanc orationem scribere incepit: edita est triennio post, id est quum orator octogesimum & octodecimum annum ageret, antè Christum 339.





ΠΑΝΑΘΗΝΑΪΚΟΣ.

ΝΕΩΤΕΡΟΣ μὲν ὤν, προηρούμην γράφειν τῶν λόγων οὐ τοὺς μυθώδεις, οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστοὺς (οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν, ἢ τοῖς περὶ τῆς αὐτῶν σωτηρίας λεγομένοις), οὐδὲ τοὺς τὰς παλαιὰς πράξεις καὶ τοὺς πολέμους τοὺς Ἑλληνικοὺς ἐξηγουμένους (καίπερ εἰδὼς δικαίως αὐτοὺς ἐπαινουμένους), οὐδ᾽ αὖ τοὺς ἁπλῶς εἰρῆσθαι δοκοῦντας, καὶ μηδεμιᾶς κοσμιότητος μετέχοντας (οὓς οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾷν, εἴπερ βούλονται πλέον ἔχειν τῶν ἀντιδίκων)· ἀλλὰ πάντας τούτους ἐάσας, περὶ ἐκείνους ἐπραγματευόμην, τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει, καὶ τοῖς ἄλλοις Ἕλλησι, συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυμημάτων γέμοντας, οὐκ ὀλίγων δ᾽ ἀντιθέσεων, καὶ παρισώσεων, καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν, καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν. Νῦν δ᾽ οὐδ᾽ ὁπωσοῦν τοὺς τοιούτους. Ἡγοῦμαι γὰρ οὐχ ἁρμόττειν, οὔτε τοῖς ἔτεσι τοῖς ἐννενήκοντα καὶ τέσσαρσιν ὧν ἐγὼ



PANATHENAICUS.

PRÆMISSA.

I. QUUM essem junior, orationes scribere instituì, non fabulosas quidem, neque portenti mendaciique plenas, quibus hominum vulgus magis gaudet quàm iis quæ ad salutem suam pertinent; neque eas in quibus res olim gestæ & bella Græcorum explicantur, quamvis scirem ea jure laudari; neque eas etiam quæ simplices habentur, & omni ornatu carent, quas ii qui in litibus agendis solertes sunt, meditari juniores adhortantur, si modò adversarios vincere studeant: sed, his omnibus omissis, circà illas versabar quæ quid & reipublicæ nostræ & Græcis omnibus expediret, ostenderent, & essent refertæ cùm multis sententiis, tùm non paucis contrapositis & comparibus, ceterisque figuris quæ fulgeant in eloquentiâ, & auditores cogant voce & gestu applaudere. Nunc verò ne tales quidem ullo modo meditor orationes. Nec enim annis nonaginta quatuor quos ego natus

[lineâ 19 & 20.] Οὐδ' ὁπωσοῦν, neque quomodocumque, i. e. neutiquam. Τοὺς τοιούτους, subaudi μελετῶ, vel προαιροῦμαι.

[l. 21.] Ὧν ἐγώ. . . . Usitatius esset ἃ quàm ὧν.

τυγχάνω γεγονώς, οὐδ' ὅλως τοῖς ἤδη πολιὰς ἔχουσιν, ἐκεῖνον τὸν τρόπον ἔτι λέγειν· ἀλλ' ὡς ἅπαντες μὲν ἂν ἐλπίσειαν, ἢ βουληθεῖεν, οὐδεὶς δ' ἂν δυνηθείη ῥαδίως, πλὴν τῶν πονεῖν ἐθελόντων, καὶ σφόδρα προσεχόντων τὸν νοῦν. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ἵν' ἤν τισιν ὁ μέλλων λόγος λεχθήσεσθαι, μαλακώτερος ὢν φαίνηται τῶν πρότερον ἐκδεδομένων, μὴ παραβάλλωσι πρὸς τὴν ἐκείνων ποικιλίαν, ἀλλὰ πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι τὴν ἐν τῷ παρόντι δεδοκιμασμένην.

Διαλέξομαι δὲ περὶ τῶν τῇ πόλει πεπραγμένων, καὶ περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ τούτων ἀρξάμενος, ἀλλ' ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων. Ἐντεῦθεν γὰρ οἶμαι μᾶλλον κατεπείγειν.

Πειρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ τοῖς ἄλλοις ἀλύπως, οὐδένα διαλέλοιπα χρόνον, ὑπὸ μὲν τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος· ὑπ' ἄλλων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος, ἀλλὰ τοιοῦτος ὑπολαμβανόμενος, οἷον ἂν παρ' ἑτέρων ἀκούσωσι. Βούλομαι οὖν προδιαλεχθῆναι περί τε ἐμαυτοῦ, καὶ περὶ τῶν οὕτω πρός με διακειμένων· ἵν', ἤν πως οἷός τε γίνωμαι, τοὺς μὲν παύσω βλασφημοῦντας, τοὺς δὲ εἰδέναι ποιήσω περὶ ἃ πραγ-

ſum, nec omninò iis qui canos jam habent, convenire arbitror ut juxtà eam rationem adhuc dicant; ſed ità potiùs quemadmodum omnes ſperent aut optent, nemo autem facilè poſſit præter eos qui magnum laborem & ſtudium adhibere volunt. Hæc propterea ſum præfatus, ut, ſi quibus hæc oratio quæ nunc recitabitur, iis videatur mollior quæ priùs editæ ſunt, non eam cum illarum varietate conferant, at, juxtà id inſtitutum quod in præſentiâ probamus, de eâ judicent.

Diſſeram autem de rebus quas geſſit noſtra civitas, & de virtute majorum; non ab illis exorſus, ſed ab aliis quæ mihi ipſi evenerunt. Hæc enim antevertenda eſſe duco.

II. Ego, quum ſine crimine ac ſine cujuſquam moleſtiâ ſtuduerim, nullo tempore immunis fui quin improborum & obſcurorum quorumdam ſophiſtarum maledictis exagitarer, multis verò aliis ignotus, talis ab ipſis exiſtimarer, qualem me eſſe à nonnullis audiverant. Volo igitur & de meipſo imprimis dicere, & de iis qui ergà me eo ſunt animo, ut, ſi fortè id conſequi liceat, & maledicta illorum reprimam, & ceteris oſtendam in quibus

---

[l. 15 & 16.] Μᾶλλον κατεπείγειν, ſubaudi πρᾶγμα, hinc enim puto magis rem urgere, i. e. hinc puto ordiendum eſſe.

ρούμενος τυγχάνω διατρίβειν. Ἢν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον χρόνον αὐτός τε ἀλύπως διάξειν, καὶ τῷ λόγῳ τῷ μέλλοντι ῥηθήσεσθαι τοὺς παρόντας μᾶλλον προσέξειν τὸν νοῦν.

Οὐκ ὀκνήσω δὲ κατειπεῖν, οὔτε τὴν νῦν γιγνομένην ἐν τῇ διανοίᾳ μου ταραχὴν, οὔτε τὴν ἀτοπίαν ἣν ἐν τῷ παρόντι τυγχάνω γιγνώσκων, οὔτε εἴ τι πράττω τῶν μὴ δεόντων. Ἐγὼ γὰρ μετεσχηκὼς τῶν μεγίστων ἀγαθῶν, ὧν ἅπαντες ἂν εὔξαιντο μεταλαβεῖν, πρῶτον μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγιείας, οὐχ ὡς ἔτυχεν, ἀλλ᾽ ἐναμίλλως τοῖς μάλιστα περὶ ἑκάτερον τούτων ηὐτυχηκόσιν· ἔπειτα τῆς περὶ τὸν βίον εὐπορίας οὕτως, ὥστε μηδενὸς πώποτε ἀπορῆσαι τῶν μετρίων, μηδ᾽ ὧν ἄνθρωπος ἂν νοῦν ἔχων ἐπιθυμήσειεν· ἔτι δὲ τοῦ μὴ τῶν καταβεβλημένων εἶς εἶναι, μηδὲ τῶν κατημελημένων, ἀλλ᾽ ἐκείνων περὶ ὧν οἱ χαριέστατοι τῶν Ἑλλήνων καὶ μνησθεῖεν ἂν καὶ διαλεχθεῖεν ὡς σπουδαίων ὄντων· τούτων ἁπάντων μοι συμβεβηκότων, τῶν μὲν ὑπερβαλλόντως, τῶν δ᾽ ἐξαρκούντως, οὐκ ἀγαπῶ ζῶν ἐπὶ τούτοις· ἀλλ᾽ οὕτω μοι τὸ γῆρας ἐστὶ δυσάρεστον, καὶ μικρολόγον, καὶ μεμψίμοιρον, ὥστε πολλάκις ἤδη τὴν μὲν φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε,

versari studiis decreverim. Quæ si oratione ut par est explicare potuero, spero & me reliquum vitæ tempus sine molestiâ acturum, & eos qui adsunt ad orationem quæ jam recitabitur fore attentiores.

Non autem verebor proferre, tùm perturbationem in animo meo nunc exortam, tùm absurditatem quam in præsentiâ intelligo, nec omninò si quid rectè non sentiam. Ego enim maxima bona consecutus, quibus omnes se præditos esse optarent; primùm sanitatem mentis & corporis, neque eam pervulgato modo, sed ut cum illis certare possem quorum in hoc ipso summa est felicitas; deindè tantam rerum ad vitam necessariarum copiam, ut nullâ unquam re mediocri, quamve homo prudens expetendam censeat, caruerim; denique illud etiam, ne unus ex abjectis & contemptis essem, sed ex iis de quibus eruditissimi & honestissimi quique Græcorum, ut de viris bonis ac doctis, & meminerunt & loquuntur. Quæ omnia quum mihi contigerint, alia excellenter, alia sufficienter, tamen cum hisce vivere non contentus sum: sed mihi senectus adeò morosa est, adeo pusilla & querula, ut sæpè ingenium meum culpaverim quod nemo alius contempsit; & fortunam meam sim

[l. 9.] Τῶν μὴ δεόντων, vulg. τῶν δεόντων sine μή.

καὶ τὴν τύχην ὠδυρόμην· ταύτῃ μὲν οὐδὲν ἔχων ἐγκαλεῖν ἄλλο, πλὴν ὅτι περὶ τὴν φιλοσοφίαν ἣν προειλόμην, ἀτυχίαι τινές μοι καὶ συκοφαντίαι γεγόνασι· τὴν δὲ φύσιν εἰδὼς, πρὸς μὲν τὰς πράξεις ἀῤῥωστοτέραν καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος· πρὸς δὲ τοὺς λόγους, οὐ τελείαν, οὔτε πανταχῇ χρησίμην, ἀλλὰ δοξάσαι μὲν περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον δυναμένην τῶν εἰδέναι φασκόντων, εἰπεῖν δὲ παῤῥησίᾳ περὶ τῶν αὐτῶν τούτων ἐν συλλόγῳ πολλῶν ἀνθρώπων, ἁπασῶν, ὡς ἔπος εἰπεῖν, ἀπολελειμμένην. Οὕτω γὰρ ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ἡμῖν, φωνῆς ἱκανῆς, καὶ τόλμης, ὡς οὐκ οἶδ' εἴτις ἄλλος τῶν πολιτῶν· ὧν οἱ μὴ τυχόντες, ἀτιμότεροι γίνονται πρὸς τὸ μὴ δοκεῖν ἄξιοί τινος εἶναι, τῶν ὀφειλόντων τῷ δημοσίῳ. Τοῖς μὲν γὰρ ἐκτίσειν τὸ καταγνωσθὲν ἐλπίδες ὕπεισιν· οἱ δ' οὐδέποτ' ἂν τὴν φύσιν μεταβάλοιεν.

Οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας, περιεῖδον ἐμαυτὸν ἄδοξον οὐδ' ἀφανῆ παντάπασι γενόμενον· ἀλλ' ἐπεὶ τοῦ πεπολιτεῦσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν, καὶ πονεῖν, καὶ γράφειν ἃ διανοηθείην, κατέφυγον· οὐ περὶ μικρῶν τὴν προαι-

[l. 9.] Εἰπεῖν δὲ παῤῥησίᾳ, hùc transtuli παῤῥησίᾳ quod in vulg. legitur lin. seq. post πολλῶν. Battie recidit παῤῥησίᾳ.

miſeratus, quum nihil haberem aliud in quo hanc accuſarem, niſi quòd mea ſtudia calamitates quædam & calumniæ obſcurârunt ; ingenium verò meum quum ſcirem & ad res gerendas infirmius ac mollius eſſe quàm oporteat, & ad eloquentiam neque perfectum, nec ab omni parte ſufficiens, atque ut ad hoc idoneum ut cujusque rei veritatem meliùs inveſtiget quàm ii qui ſcientiam ſe habere profitentur, ità ſi in conventu magnâque hominum frequentiâ his ipſis de rebus liberè dicendum ſit, omnium fermè ineptiſſimum. Nam quæ duæ res apud nos plurimùm poſſunt, vocis magnitudo & audacia, eæ ſic deſunt mihi, ut haud ſcio an ulli civium. Quibus facultatibus qui deſtituuntur, contemptiores ſunt, & à negotiis publicis remotiores, quàm ii qui ærario debent. His enim ſpes aliqua ſubeſt mulctæ perſolvendæ; illi naturam haud unquam mutaverint.

III. Non tamen propter hæc abjecto animo, commiſi ut prorsùs inglorius & obſcurus viverem; ſed, quum mihi capeſſendæ reipublicæ facultas negata eſſet, ad impigrum ſapientiæ ſtudium, & ad ea ſcribenda quæ cogitando eruiſſem, confugi. Neque

---

[l. 15.] Vulg. πρὸς τῷ μὴ, dedi πρὸς τὸ μὴ quod dat etiam cod. N.

[l. 21.] Τοῦ abeſt à vulgatâ, addidi juxtà Volfii mentem.

ρεσιν ποιούμενος, οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων, οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν, ἀλλὰ περὶ τῶν Ἑλληνικῶν, καὶ βασιλικῶν, καὶ πολιτικῶν πραγμάτων. Δι' ἃ προσήκειν ᾤμην μοι τοσοῦτον μᾶλλον τιμᾶσθαι τῶν ἐπὶ τὸ βῆμα παριόντων, ὅσῳ περὶ μειζόνων καὶ καλλιόνων ἢ κεῖνοι, τοὺς λόγους ἐποιούμην· ὧν οὐδὲν ἡμῖν ἀποβέβηκε. Καίτοι πάντες ἴσασι τῶν μὲν ῥητόρων πολλοὺς, οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντας· ἐμὲ δὲ καὶ τοὺς ἐμοὺς οὐ μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως χρείας ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν δαπανωμένους· ἔτι δὲ τοὺς μὲν ἢ λοιδορουμένους ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυημάτων σφίσιν αὐτοῖς, ἢ λυμαινομένους τοὺς συμμάχους, ἢ τῶν ἄλλων, ὧν ἂν τύχωσι, συκοφαντοῦντας· ἐμὲ δὲ τῶν λόγων τούτων ἡγεμόνα γεγενημένον τῶν παρακαλούντων τοὺς Ἕλληνας, ἐπί τε τὴν ὁμόνοιαν τὴν πρὸς ἀλλήλους, καὶ τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους, καὶ τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν κοινῇ

[l. 1.] Vulg. *αἱρούμενος*, legi *ποιούμενος* cum Battie.

[l. 16.] *Μεσεγγυήματα*, pecuniæ apud ſequeſtrem depoſitæ. Hîc intelligo, lucra de quibus faciendis oratores inter ſe contendebant. Plura Suidas in *μεσεγγύημα*, ubi

Neque

Neque de parvis quibuſdam, nec de privatis contractibus de quibus nonnulli nugantur, inſtitui differere, ſed de ſtatu Græciæ, de regum & reipublicæ negotiis. Ac propterea me arbitratus ſum tantò magis quàm ii qui ſuggeſtum conſcendunt, honorandum fore, quantò majoribus & pulchrioribus de rebus verba facerem: quorum tamen nihil nobis contigit. Atqui omnes nôrunt multos oratorum non de iis quæ civitati proſint, at de iis ex quibus ipſi lucra ſe capturos ſperant, concionari audere: me autem & meos non tantùm à bonis publicis magis quàm alios abſtinere, ſed & de noſtrâ re privatâ ad ſublevandas reipublicæ neceſſitates, majores quàm pro noſtris opibus ſumptus facere. Ad hæc, illos in concionibus, aut propter lucra quibus inhiant, ſibi conviciari invicem, aut ſociis moleſtos eſſe, aut ſine diſcrimine quoslibet calumniari: me verò earum orationum principem extitiſſe, quæ Græcos hortentur tùm ad concordiam inter ipſos firmandam, tùm ad expeditionem contrà Barbaros ſuſcipiendam; & quæ ſuadeant communiter ab omnibus colonias in talem & tan-

---

hanc vocem in malam partem ſumi dicit de pecuniâ depoſitâ apud ſequeſtrem pœnæ nomine, quoties inter duos quidpiam contrà bonos mores aut adverſùs rempublicam convenit.

πάντας ἐπὶ τοιαύτην χώραν καὶ τοσαύτην, περὶ ἧς ὅσοι περ ἀκηκόασιν, ὁμολογοῦσιν, ἡμᾶς τε, εἰ σωφρονήσαιμεν καὶ παυσαίμεθα τῆς πρὸς ἀλλήλους μανίας, ταχέως ἄνευ πόνων καὶ κινδύνων κατασχεῖν αὐτὴν, ἐκείνην τε ῥᾳδίως ἂν ἅπαντας δέξασθαι τοὺς ἐνδεεῖς ἡμῶν ὄντας τῶν ἐπιτηδείων. Ὧν πράξεις εἰ πάντες συνελθόντες ζητοῖεν, οὐδέποτ' ἂν εὕροιεν καλλίους οὐδὲ μείζους, οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφερούσας.

Ἀλλ' ὅμως οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων ἡμῶν, καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου τὴν αἵρεσιν, οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλήφασιν, ἀλλὰ ταραχώδη καὶ παντάπασιν ἄλογον. Τῶν τε γὰρ ἄλλων ῥητόρων τὸν τρόπον ψέγοντες, προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται, καὶ κυρίους αὐτῶν καθιστᾶσιν· ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες, αὐτῷ μοὶ φθονοῦσι δι' οὐδὲν ἕτερον, ἢ διὰ τούτους οὓς ἀποδεχόμενοι τυγχάνουσιν· οὕτως ἀτυχῶς φέρομαι παρ' αὐτοῖς.

Καὶ τί δεῖ θαυμάζειν τῶν οὕτω διακεῖσθαι πεφυκότων πρὸς ἁπάσας τὰς ὑπεροχὰς, ὅπου καὶ τῶν οἰομένων διαφέρειν, καὶ ζηλούντων ἐμὲ, καὶ μιμεῖσθαι γλιχομένων, τινὲς ἔτι δυσμενέστερον ἔχουσι τῶν ἰδιωτῶν; Ὧν τίνας ἄν τις εὕροι πονηροτέρους; (εἰρήσεται γὰρ, εἰ καί τι δόξω νεώτερα καὶ

tam regionem esse deducendas, de quâ quicumque audivere fatentur & nos, si resipuerimus & mutuam istam insaniam omiserimus, celeriter sine laboribus ac periculis occupaturos, & illam Græcos facilè recepturam quotquot rerum necessariarum penuriâ laborant. His incœptis, si omnes in unum congregati perquirerent diligentiùs, nunquam vel pulchriora, vel majora, vel magis nobis omnibus conducibilia, comperirent.

Quamvis igitur mens illorum & mea adeò longè discrepent, tantóque meum institutum sit honestius, non tamen æqua sunt populi de nobis judicia, sed perturbata & planè inconsiderata. Nam quum aliorum oratorum mores vituperet, illos ipsos reipublicæ præfectos facit, & suî dominos constituit: meas autem orationes dùm laudat, mihi ipsi invidet ob nihil aliud quàm ob eas ipsas quas probat; adeò mecum infeliciter apud ipsum agitur.

IV. Quid verò mireris eos qui ità nati sunt ut nullam ferre possint excellentiam; quum & illi qui se egregios esse putant, meque æmulantur & imitari cupiunt, ipsis etiam indoctis mihi sint infensiores? Quibus quosnam improbiores reperias? dicetur enim, tametsi audaciùs atque acerbiùs quàm

---

[l. 13 & 14.] Vel ταραχώδη & ἀλόγιστον adverbialiter sumendum est, referendo ad ὑπειλήφασιν, vel addendum δόξαν ἔχουσιν.

βαρύτερα λέγειν τῆς ἡλικίας)· οἵτινες οὔτε φράζειν οὐδὲν μέρος ἔχοντες τοῖς μαθηταῖς ἄνευ τῶν εἰρημένων ὑπ' ἐμοῦ, τοῖς τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς, καὶ ζῶντες ἐντεῦθεν, τοσούτου δέουσι χάριν ἔχειν, ὥστ' οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν.

Ἕως μὲν οὖν τοὺς λόγους ἡμῶν ἐλυμαίνοντο, παραναγιγνώσκοντες ὡς δυνατὸν κάκιστα τοῖς ἑαυτῶν, καὶ διαιροῦντες οὐκ ὀρθῶς, καὶ κατακνίζοντες, καὶ πάντα τρόπον διαφθείροντες, οὐδὲν ἐφρόντιζον τῶν ἀπαγγελλομένων, ἀλλὰ ῥαθύμως εἶχον· μικρὸν δὲ πρὸ τῶν Παναθηναίων τῶν μεγάλων ἠχθέσθην δι' αὐτούς. Ἀπαντήσαντες γάρ μοι τινὲς τῶν ἐπιτηδείων, ἔλεγον ὡς ἐν τῷ Λυκείῳ συγκαθεζόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων σοφιστῶν, καὶ πάντα φασκόντων εἰδέναι, καὶ ταχέως πανταχοῦ γιγνομένων, διαλέγοιντο περί τε τῶν ἄλλων ποιητῶν, καὶ τῆς Ἡσιόδου καὶ Ὁμήρου ποιήσεως; οὐδὲν μὲν παρ' αὐτῶν λέγοντες, τὰ δ' ἐκείνων ῥαψῳδοῦντες, καὶ τῶν πρότερον ἄλλοις τισὶν εἰρημένων τὰ χαριέστατα μνημονεύοντες. Ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν, ἕνα τὸν τολμηρότατον ἐκείνων ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ' ὡς ἐγὼ πάντων καταφρονῶ τῶν τοιούτων, καὶ τάς τε φιλοσοφίας

pro ætate meâ dicere videbor. Qui quum nullam artis rhetoricæ partem, sine his quæ à me dicta sunt, suis discipulis explicare queant, & meis orationibus pro exemplis utantur, & indè victitent, tantùm abest ut mihi habeant gratiam, ut me ne negligere quidem velint, sed mihi usque studeant obtrectare.

1°. Dùm igitur nostras orationes malè tractarent, & quàm pessimè fieri poterat, cum suis conferentes, recitarent, neque singula ritè distinguerent, sed scripta miserè divellerent, & omnibus modis corrumperent; non curavi ea quæ mihi nuntiabantur, verùm æquo animo tuli. Paululùm autem antè magna Panathenæa propter eos graviter commotus sum. Quidam enim ex meis familiaribus mihi obviam facti, dicebant tres aut quatuor gregariorum sophistarum qui se omnia scire profitentur & ad quasvis litterarum partes celeriter transvolant, in Lyceo considentes, cùm de aliis poetis, tùm de Homeri & Hesiodi poematibus, disseruisse, nihil quidem suum afferentes, sed & horum carmina rhapsodorum more decantantes, & elegantissima quæque dicta veterum referentes: quum autem corona circumstantium disputationem eorum approbasset, unum quemdam inter eos audacissimum cœpisse me maledictis aggredi; quum diceret me istiusmodi omnia contemnere, & stu-

τὰς τῶν ἄλλων καὶ τὰς παιδείας ἁπάσας ἀναιρεῖν, καὶ φημὶ πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς. Τούτων δὲ ῥηθέντων, ἀηδῶς τινὰς τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς. Ὡς μὲν οὖν ἐλυπήθην καὶ συνεταράχθην ἀκούσας ἀποδέξασθαί τινας τοὺς λόγους τούτους εἶναι ἐμοὺς, οὐκ ἂν δυναίμην εἰπεῖν. Ὤμην γὰρ οὕτως ἐπιφανὴς εἶναι τοῖς ἀλαζονευομένοις πολεμῶν, καὶ περὶ ἐμαυτοῦ μετρίως διειλεγμένος, μᾶλλον δὲ ταπεινῶς, ὥστε μηδένα ποτὲ γενέσθαι πιστὸν τῶν λεγόντων ὡς ἐγὼ τοιαύταις ἀλαζονείαις ἐχρησάμην. Ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν τὴν παρακολουθήσασάν μοι πάντα τὸν χρόνον διὰ τοὺς τοιούτους. Αὕτη γάρ ἐστιν αἰτία, καὶ τῆς ψευδολογίας τῆς περὶ ἐμὲ γιγνομένης, καὶ τῶν διαβολῶν, καὶ τοῦ φθόνου, καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν τῆς δόξης ἧς ἄξιός εἰμι, μηδὲ τῆς ὁμολογουμένης, μηδ᾽ ἣν ἔχουσί τινες τῶν πεπλησιακότων ἐμοὶ καὶ πανταχῇ τεθεωρηκότων ἡμᾶς. Ταῦτα μὲν οὖν οὐχ οἷόν τε ἄλλως ἔχειν, ἀλλ᾽ ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσι.

Πολλῶν δέ μοι λόγων ἐφεστώτων, ἀπορῶ πότερον ἀντικατηγορῶν τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περὶ ἐμοῦ γενήσομαι, καὶ λέγειν ἀνεπιτή-

[l. 14.] Διὰ τοὺς τοιούτους, vulg. τοῖς τοιούτοις.

[l. 23 & 24.] Ἀντικατηγορῶν γενήσομαι, modus

dia & inſtitutionem aliorum omnium evertere, & profari omnes delirare præter eos qui meæ diſciplinæ fuerint participes: his autem dictis, quoſdam ex iis qui aderant, à me fuiſſe alienatos. Quantùm igitur doluerim ac ſim perturbatus, quum audiviſſem hos ſermones tanquam meos ab aliquibus admiſſos fuiſſe, dicendo conſequi non poſſum. Putabam enim ità eſſe notum omnibus, me cum glorioſis bellum gerere, & de meipſo modicè vel potiùs ſubmiſsè loqui, ut nemini unquam ſuis verbis talem mihi arrogantiam affingenti fides haberetur. Atenim initio non ſine causâ deploravi meam infelicitatem, quæ ab iſto hominum genere orta, perpetuò me ſecuta eſt. Hæc quippè eſt cauſa & mendaciorum quibus mea fama contaminatur, & calumniarum & invidiæ; eademque obſtitit ne palàm de me pro merito meo ità exiſtimetur, ut de me eodem ſentiunt diſcipuli mei & familiares, quibus ego planè perſpectus ſum. Verùm hæc non poſſunt mutari, ſed iis acquieſcere neceſſe eſt quæ jam contigerunt.

2°. Quum autem multa mihi veniant in mentem, incertus ſum an vera criminando eos refellere debeam qui de me perpetuò mentiri ſolent, eaque

loquendi inuſitatus pro ἀντικατηγορήσω. Battie legit ἀντικατηγορῶ recidendo γενήσομαι.

δεινόν τι τολμώντων. Ἀλλ' εἰ φανείην σπουδάζων, καὶ πολλοὺς λόγους ποιούμενος περὶ ἀνθρώπων οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου, δικαίως ἂν μωρὸς εἶναι δοκοίην. Ἀλλὰ τούτους ἐάσειν ὡς φθονοῦντας, πειρῶμαι διδάσκειν τοὺς ἄλλους ὡς οὐ δικαίως οὐδὲ προσηκόντως περὶ ἐμοῦ ταύτην ἔχουσι τὴν γνώμην. Καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν δι' ἕτερον δυσκόλως πρός με διακειμένους, ἢ τὸ δοκεῖν χαριέντως εἰρηκέναι περί τινων, τούτους οἰηθείην, ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον, παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους, ἀλλ' οὐ μᾶλλον ἀλγήσειν; ἄλλως τε ἂν καὶ φανῶ μηδὲ νῦν πω τηλικοῦτος ὤν, μὴ παραληρεῖν. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο ποιεῖν οὐδεὶς ἄν μοι συμβουλεύσειεν, ἀμελήσαντι τούτων καὶ καταβάλλοντι, περαίνειν τὸν λόγον ὃν προήρημαι, βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειόνων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν, ἢ τὴν Λακεδαιμονίων. Εἰ γὰρ τοῦτο ἤδη ποιοίμην, μήτε τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις, μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι τοῖς εἰκῇ καὶ φορτικῶς, καὶ χύδην, ὅ,τι ἂν ἐπέλθῃ, λέγουσιν·

[l. 5.] Pro πειρῶμαι malim πειρήσομαι.

in me conferre non dubitant à quibus ſum prorsùs alienus. Sed ſi rem ſeriò agere inſtituerem, ac prolixiùs loquerer de iis hominibus quorum nemo judicat ullam habendam eſſe rationem, ego jure ſtultus viderer. Neglectis igitur iſtis tanquam invidis, reliquos docere conabor eos immeritò & injuriâ ità de me ſentire. Quis enim non ſtultiſſimum eſſe me pronunciet, ſi eos qui non aliam ob rem mihi ſunt infenſi, niſi quòd eleganter quædam dicere viſus ſim, eos putem, ſi eodem modo quo priùs diſſeruero, minùs ob ea quæ à me dicuntur dolituros, ac non potiùs futuros acerbiores; præſertìm ubi viderint ne in extremâ quidem ſenectute me delirare? Atenim ne illud quidem faciendum quiſquam mihi perſuaſerit ut, his relictis & abjectis, eam orationem abſolvam quam inſtitui, quâque decrevi oſtendere noſtram civitatem plura in Græcos beneficia contuliſſe, quàm Lacedæmoniorum rempublicam. Quòd ſi nunc facerem, neque his finem imponerem quæ modò ſcripſi, neque illorum quæ dicenda ſunt exordium concluſioni horum quæ jam dicta ſint attexerem, tunc ſimilis eorum viderer qui temerè & importunè & confusè quidquid in os venit effutiunt; quæ cavenda nobis

---

[l. 9.] Ἢ τὸ, velim interponi διά.

ἃ φυλακτέον ἡμῖν ἐστί. Κράτιστον οὖν ἐξ ἁπάντων τούτων, περὶ ὧν ἐξ ἀρχῆς διενοήθην εἰπεῖν· οἶμαι γὰρ ἢν ἐξενέγκω γράψας καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην περί τε τῆς παιδείας καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας, καὶ λέγοντας ὅ,τι ἂν τύχωσιν.

Ἀλλ᾽ ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα, παρακελεύω μὴ πονεῖν καὶ μὴ προσέχειν τὸν νοῦν ἅπασι τούτοις·· λέγων ὡς, εἰ καὶ μηδὲν ἄλλο δυνήσεται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθὸν, ἀλλ᾽ οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. Τοῖς μὲν οὖν τηλικούτοις οὐδέ ποτ᾽ ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων, οὐδὲ μᾶλλον πρεπούσας· τοῖς δὲ πρεσβυτέροις, καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις, οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. Ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων, ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ᾽ εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν. Τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων, καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων,

[l. 7.] Ἀλλ᾽ ὅμως vulgò significat, verumtamen,

potiſſimùm. His igitur omnibus utrimque conſideratis, optimum fuerit ea loqui pergere quæ incœpi. Si enim ſcriptis protulero & oſtendero quænam ſit mea de inſtitutione ac de poetis ſententia, iſtos arbitror deſituros falſa crimina comminiſci, & quodcumque obvium fuerit garrire.

3°. Ceterùm ego moneo illos qui in has res ſummo ſtudio feruntur, ne laborent, neve ad iſta omnia animum intendant. Dico enim has diſciplinas, ut nihil aliud afferrent boni, avertere tamen adoleſcentes à multis aliis delictis, nec ullas exercitationes huic ætati inveniri poſſe utiliores aut convenientes magis. Sed natu majoribus, & iis qui jam ad virilem ætatem pervenerunt, eadem hæc ſtudia apta eſſe nego. Quippè video nonnullos qui, quum diſciplinas iſtas ità perfectè cognitas habeant, ut & alios docere poſſint, ſuâ illâ ſcientiâ non tempeſtivè uti, & in ceteris vitæ negotiis diſcipulis eſſe imprudentiores; nec enim audeo dicere famulis. Idem etiam ſentio de iis qui poſſunt concionari, & de his qui conſcriptione orationum laudem ſibi acquiſiverunt, denique de

---

ego verti latinè, ceterùm, & hîc mihi videtur reſpondere huic quod dicimus gallicè, quoi qu'il en ſoit.

[Ibid.] Ἐπὶ ταῦτα, intellige, ad ſtudia ſophiſtarum.

ὅλως δὲ, καὶ περὶ ἁπάντων τῶν κατὰ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων. Οἶδα γὰρ καὶ τούτων τοὺς πολλοὺς, οὔτε τὰ περὶ σφᾶς αὐτοὺς καλῶς διοικήσαντας, οὔτ' ἐν ταῖς ἰδίαις συνουσίαις ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντας, ἄλλων τε πολλῶν καὶ μεγάλων ἁμαρτημάτων γέμοντας· ὥστ' οὐδὲ τούτους ἡγοῦμαι μετέχειν τῆς ἕξεως περὶ ἧς ἐγὼ τυγχάνω διαλεγόμενος.

Τίνας οὖν ἔχω πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας, καὶ τὰς ἐπιστήμας, καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; Πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας, καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος. Ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας. Ἔτι δὲ τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους, καὶ τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν. Τέταρτον, ὅπερ

[l. 14.] Hîc δόξαν pro ψυχὴν vel νοῦν accipitur,

omnibus qui præcellunt aliquâ vel ſcientiâ vel facultate. Novi enim & ex iſto genere multos, qui neque ſuas res probè geſſerunt, neque in privatis congreſſibus poſſunt tolerari, & ceterorum civium negligunt judicia, & aliis multis & magnis vitiis abundant. Quapropter ne hos quidem arbitror iis dotibus eſſe præditos de quibus ego diſſero.

4°. Quoſnam igitur numero inter eruditos, quandò & artes, & ſcientias, & facultates, improbo? Primùm eos qui rectè utuntur negotiis quotidie incidentibus, & occaſiones modumque rerum prudenter animadvertunt, & plerumque id poſſunt aſſequi quod utiliſſimum eſt. Deindè eos qui ità ut decet & æquum eſt, cum iis omnibus verſantur quibuſcum aliquid rei habent; quique, quum aliorum acerbitatem & importunitatem æquis animis & facilè ferant, ipſi moribus ſunt quàm facillimis & quàm moderatiſſimis in vitæ conſuetudine. Præterea eos qui ſemper voluptatibus imperant, & rebus adverſis non nimiùm franguntur, ſed in iis ſe gerunt viriliter & juxtà naturæ illius dignitatem cujus participes ſumus. Quartò, quod maximum

---

judicium, mentem. Ἐπιτυχῆ regit τῶν καιρῶν.

[l. 19 & 20.] Vulg. ἐλαφρολέρυς, dedi ἐλαφρολάτυς, juxtà Harpocrationem. Quem vide in hanc vocem.

μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν, μηδ᾽ ἐξισταμένους αὐτῶν, μηδ᾽ ὑπερηφάνους γιγνομένους, ἀλλ᾽ ἐμμένοντας τῇ τάξει τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς, ἢ τοῖς διὰ τὴν αὐτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. Τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων, ἀλλὰ πρὸς ἅπαντα ταῦτα, τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ, καὶ φρονίμους εἶναι, καὶ τελείους ἄνδρας, καὶ πάσας ἔχειν τὰς ἀρετάς. Περὶ μὲν οὖν τῶν πεπαιδευμένων ταῦτα γινώσκων τυγχάνω.

Περὶ δὲ τῆς Ὁμήρου καὶ τῶν ἄλλων ποιήσεως, ἐπιθυμῶ μὲν εἰπεῖν· οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τὰ ἐκείνων, καὶ ληροῦντας τὰ περὶ αὐτῶν· αἰσθάνομαι δ᾽ ἐμαυτὸν ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης προοιμίοις. Ἔστι δ᾽ ἀνδρὸς νοῦν ἔχοντος, μὴ τὴν εὐπορίαν ἀγαπᾶν ἣν ἔχει τις περὶ τῶν αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν, ἀλλὰ τὴν εὐκαιρίαν διαφυλάττειν περὶ ὧν ἂν ἀεὶ τυγχάνῃ διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστί. Περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἢν μή με προανέλῃ τὸ γῆρας. Περὶ γὰρ σπουδαιοτέρων πραγμάτων ἔχομεν λέγειν ἢ τούτων.

Περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν τῶν εἰς

eſt, eos qui ſecundis rebus non corrumpuntur, nec diſcedunt à ſemeptiſis, nec arrogantes fiunt, ſed moderationem, prudentium virorum propriam, retinent, nec magis fortunæ muneribus delectantur, quàm bonis quæ initio ab indole & prudentiâ habuerunt. Qui autem non ad horum ſingula duntaxat, ſed ad univerſa hæc ſimul, animis ſunt benè compoſitis, eos aſſero & prudentes eſſe, & perfectos viros, & omnibus virtutibus ornatos. Ac de eruditis quidem hæc ſtatuo.

De Homeri verò & ceterorum poematibus, velim aliquid dicere; arbitror enim me effecturum ut iſti ſileant qui in Lyceo verſus illorum canunt, & de eis nugas effutiunt: verùm animadverto me extrà eum limitem ferri qui exordiis eſt præfinitus. Eſt autem viri prudentis non indulgere dicendi copiæ quâ poſſit de iiſdem plura dicere quàm ceteri; at in iis omnibus de quibus diſſerit ſervare modum: quod & mihi faciendum eſt. De poetis igitur aliàs dicemus, niſi me priùs ſenium abſtulerit. Nam de rebus gravióribus quàm iſtæ ſunt nobis nunc dicendum eſt.

V. De beneficiis autem à noſtrâ civitate in Græ-

τοὺς Ἕλληνας ἤδη ποιήσομαι τοὺς λόγους· οὐχ ὡς οὐ πλείους ἐπαίνους πεποιημένος περὶ αὐτῆς ἢ σύμπαντες οἱ περὶ τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως καὶ νῦν. Τότε μὲν γὰρ ἐν τοῖς λόγοις περὶ ἑτέρων πραγμάτων ἐμεμνήμην αὐτῆς, νῦν δὲ περὶ ταύτης τὴν ὑπόθεσιν ποιησάμενος. Οὐκ ἀγνοῶ δ' ἡλίκος ὢν, ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος· ἀλλ' ἀκριβῶς εἰδὼς, καὶ πολλάκις εἰρηκὼς, ὅτι τὰ μὲν μικρὰ τῶν πραγμάτων ῥᾴδιον τοῖς λόγοις αὐξῆσαι· τοῖς δ' ὑπερβάλλουσι τῶν ἔργων, καὶ τῷ μεγέθει καὶ τῷ κάλλει, χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους. Ἀλλ' οὐδὲν μᾶλλον ἀποστατέον ἐστὶν αὐτῶν, ἀλλ' ἐπιτελεστέον, ἤνπερ ἔτι ζῆν δυνηθῶμεν· ἄλλως τε καὶ πολλῶν παροξυνόντων γράφειν αὐτόν· πρῶτον μὲν τῶν εἰθισμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως ἡμῶν· ἔπειτα τῶν χαριέντως μὲν, ἀπείρως δὲ καὶ καταδεεστέρως, ἐπαινούντων αὐτήν· ἔτι δὲ τῶν ἑτέρων μᾶλλον δεῖν λέγειν τολμώντων, οὐκ ἀνθρωπίνως, ἀλλ' οὕτως ὥστε πολλοὺς ἀντιτάττεσθαι πρὸς αὐτούς· πάντων δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης, ἣ τοὺς ἄλλους πέφυκεν ἀποτρέπειν. Ἐλπίζω γὰρ, ἢν μὲν κατορθώσω, μείζω λήψεσθαι δόξαν τῆς ὑπαρχούσης· ἢν δὲ

[l. 6 & 7.] Hîc velim legi & distingui, ποιησάμε-

cos

cos collatis, jam verba faciam: non quin eam plus laudârim quàm omnes & poetæ & oratores, at non eodem modo nunc quo priùs id facere decrevi. Tunc enim in orationibus de alio argumento conſcriptis ejus mentionem faciebam; nunc autem eam ipſam orationis meæ argumentum feci. Non ignoro ſcilicet quàm provectâ ætate, quàm ingenti de re dicere aggrediar: ſed quum & optimè ſciam, & ſæpè dixerim, res exiguas oratione facilè poſſe amplificari; factis verò tàm magnitudine quàm pulchritudine excellentibus difficile eſſe laudationes exæquare: ab incœpto tamen non deſiſtendum eſt, at perficiendum quod ſuſcepimus, ſiquidem vita adhuc ſuppetit. Præſertìm quum multa me ad hanc orationem ſcribendam hortentur: ac primùm illi qui civitatem noſtram petulanter accuſare ſolent; deindè qui bono quidem ſtudio, ſed & imperitè, nec pro dignitate, eam prædicant; præterea, qui extollere illam non dubitant præ ceteris, non humano more, ſed ſic ut ipſis multi contradixerint; omnium verò maximè hæc ætas, quæ alios dehortari ſolet. Spero enim ſi mihi res ſucceſſerit, gloriæ meæ aliquid acceſſurum; ſin dete-

---

νος· οὐκ ἀγνόων δὴ ἡλίκος.

[l. 19.] Ἑτέρων regitur à *μᾶλλον*, præterea eorum qui audent laudare (civitatem Athenienſem) magis quàm alias civitates.

ἐνδεέστερον τύχω διαλεχθεὶς, πολλῆς συγγνώμης τεύξεσθαι παρὰ τῶν ἀκουόντων.

Ἃ μὲν οὖν ἠβουλήθην, καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων, ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος, προαναβαλέσθαι, ταῦτά ἐστιν. Ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομένους ἐγκωμιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίως, μὴ μόνον ποιεῖσθαι περὶ αὐτῆς τοὺς λόγους περὶ ἧς προῃρημένοι τυγχάνουσιν, ἀλλ' ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεωροῦμεν, καὶ δοκιμάζομεν ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων, καὶ τῆς τιμῆς τῆς αὐτῆς ἀξιουμένων· οὕτω καὶ ταῖς πόλεσι παριστάναι, μὴ τὰς μικρὰς ταῖς μεγάλαις, μηδὲ ταῖς πάντα τὸν χρόνον ὑφ' ἑτέραις οὔσαις τὰς πάντα τὸν χρόνον ἄρχειν εἰθισμένας, μηδὲ τὰς σώζεσθαι δεομένας πρὸς τὰς σώζειν δυναμένας· ἀλλὰ τὰς παραπλησίαν καὶ τὴν δύναμιν ἐχούσας, καὶ περὶ τὰς αὐτὰς πράξεις γεγενημένας, καὶ ταῖς ἐξουσίαις ὁμοίαις κεχρημένας. Οὕτω γὰρ ἂν μάλιστα τῆς ἀληθείας τύχοιεν. Ἢν δή τις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται, καὶ παραβάλῃ μὴ πρὸς τὴν τυχοῦσαν πόλιν, ἀλλὰ πρὸς τὴν Σπαρτιατῶν, ἣν οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δέ τινες, ὥσπερ τῶν ἡμιθέων ἐκεῖ πεπολιτευμένων, μέμνηνται

[l. 8.] Ad ἧς addidi περὶ quod deest in vulgatâ. Ad

riùs fortè dixero, multam ab auditoribus veniam impetraturum.

Ac quæ tùm de meipſo, tùm de aliis, ut antè ſpectacula chorus muſicorum, quaſi præludendo præfari volui, hæc ſunt. Eos autem qui civitatem aliquam accuratè ac juſtè laudare voluerint, debere arbitror non hujus tantùm de quâ dicere inſtituerunt facere mentionem; at quemadmodum purpuram atque aurum ſpectamus & probamus aliorum collatione, quæ & ſpeciem præſeferunt eamdem, & ejuſdem eſſe pretii putantur: ſic ipſos debere etiam civitatibus è regione collocare non parvas magnis, neque eas quæ aliorum imperio perpetuò parent iis quæ perpetuò imperare conſueverunt, neque eas quæ alienâ ope indigent iis quæ poſſunt opitulari; ſed illas inter ſe conferre quæ conſimili potentiâ inſtructæ ſunt, & iiſdem verſatæ in negotiis, & poteſtate pari potitæ. Ità enim maximè veritatem aſſequentur. Quòd ſi quis nos hoc modo ſpectet, & conferat non cum civitate quâlibet, ſed cum Spartanâ, quam plerique moderatè laudant, nonnulli autem, tanquam illîc ſemidei habitent, ſic de eâ meminerunt; Spartia-

προηρημένοι τυγχανῦσιν ſubaudi λέγειν.

περὶ αὐτῶν· φανησόμεθα καὶ τῇ δυνάμει, καὶ ταῖς πράξεσι, καὶ ταῖς στρατηγίαις ταῖς περὶ τοὺς Ἕλληνας, πλέον ἀπολελοιπότες αὐτοὺς ἢ ἐκεῖνοι τοὺς ἄλλους.

Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας, τοὺς ὑπὲρ τῶν Ἑλλήνων γενομένους, ὕστερον ἐροῦμεν. Νῦν δὲ ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους, ἀρξάμενος ἐπειδὴ κατέσχον τὰς πόλεις τὰς Ἀχαΐδας, καὶ πρὸς Ἀργείους καὶ Μεσηνίους διείλοντο τὴν χώραν. Ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ αὐτῶν. Οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν, καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωϊκῶν, διαφυλάττοντες, καὶ μένοντες ἐν τοῖς αὐτοῖς.

Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι, κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκείνους, οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς. Καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ᾽ ἑκάτερα τῆς ἠπείρου καὶ μεγάλας ἔκτισαν· καὶ τοὺς μὲν βαρβάρους ἀνέστησαν ἀπὸ τῆς θαλάσσης, τοὺς δὲ

[l. 16.] Τὰς Κυκλάδας νήσους regitur ab ἐξιδιώσασθαι,

tas & potentiâ, & rebus geſtis, & beneficiis in Græcos collatis, longiore intervallo à nobis relictos eſſe conſtabit, quàm ab eis ceteros.

CONFIRMATIO.

CONFIRMATIONIS PRIMA PARS.

Ac vetera quidem certamina inita pro Græcis poſtea narrabimus. Nunc autem de Lacedæmoniis ſermonem habebo, indè exorſus quum Achaicas urbes occupârunt, & regionem cum Argivis & Meſſeniis ſunt partiti: hinc enim nos dicendi primordia capere convenit. Apparebit igitur noſtros majores, & concordiam Græcorum, & inimicitias Barbarorum jam indè à Trojanis temporibus ſuſceptas, conſervaſſe, & in iiſdem ſtudiis perſeveraſſe.

I. Ac primùm illi Cyclades inſulas, de quibus multæ turbæ ortæ ſunt, ſub Minois Cretenſis imperio, Caribus qui poſtremò eas occupârant ejectis, non auſi ſunt proprias ſibi provincias facere, ſed Græcorum egentiſſimis colendas tradiderunt. Deindè in utrâque continente multis & magnis urbibus conditis, cùm Barbaros repulerunt à mari, tùm

---

quod verbum etiam regit τὰς χώρας.

[l. 22.] Ἑκάτερα, ſubaudi μέρη, niſi mavis legere ἑκατέρᾳ in ablativo, in utrâque continentis, i. e. in utrâque continente.

Ἕλληνας ἐδίδαξαν ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας, καὶ πρὸς οὓς πολεμοῦντες, μεγάλην τὴν Ἑλλάδα ποιήσειαν. Λακεδαιμόνιοι δὲ περὶ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπεῖχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις, καὶ τοῦ τοῖς μὲν Βαρβάροις πολεμεῖν, τοὺς δὲ Ἕλληνας εὐεργετεῖν, ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν· ἀλλ' ἔχοντες πόλιν ἀλλοτρίαν, καὶ χώραν, οὐ μόνον ἱκανὴν, ἀλλ' ὅσην οὐδεμία πόλις τῶν Ἑλληνίδων, οὐκ ἔστερξαν ἐπὶ τούτοις· ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων, κατὰ μὲν τοὺς νόμους, τάς τε πόλεις καὶ τὰς χώρας τούτων εἶναι δοκούσας τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων· κατὰ δὲ τὴν ἀλήθειαν, τούτων γιγνομένας τῶν τὰ περὶ τὸν πόλεμον κάλλιστα ἀσκούντων, καὶ νικᾷν τοὺς πολεμίους ἐν ταῖς μάχαις δυναμένων· ταῦτα διανοηθέντες, ἀμελήσαντες γεωργιῶν, καὶ τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες, καὶ κακῶς ποιοῦντες, καὶ καταστρέψαντες, πλὴν τῆς Ἀργείων. Συνέβαινεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαι τὴν Ἑλλάδα, καὶ τὴν Εὐρώπην κρείττω γίνεσθαι τῆς Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦντας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ Βαρβάρων τοὺς εἰθισμένους ὑβρίζειν, ἐκπίπτειν τῆς αὐτῶν, καὶ φρονεῖν ἔλαττον

docuerunt Græcos quo pacto suas civitates administrare, & contrà quos bella gerere deberent, si Græciam vellent amplificatam. Lacedæmonii autem circà idem tempus tantùm abfuerunt ut aliquid majorum nostrorum operibus simile præstarent, sive Barbaros oppugnando, sive Græcis benefaciendo, ut ne quiescere quidem voluerint; sed quum urbem haberent alienam, & regionem non modò sufficientem, sed quantam nulla alia Græcarum urbium habuit, his contenti non fuerint; at ipso eventu edocti, secundùm leges quidem, urbes & regiones eorum esse videri qui eas justè & legitimè possiderent, reverâ autem eorum fieri qui rem militarem exercerent pulcherrimè & hostes superare possent in præliis: hæc, inquam, secum cogitantes, agriculturâ neglectâ, & opificiis, & ceteris omnibus, nunquam destiterunt singulatìm quasque Peloponnesi civitates oppugnare, & vexare, & evertere, Argivorum urbe exceptâ. Contigit igitur ex iis quæ nos fecimus, ut Græcia augeretur, & Europa potentior fieret quàm Asia, & ad hæc, ut inopes Græci urbes caperent & agros; dùm Barbari qui priùs magnâ ferociâ grassabantur, suâ ipsorum regione pulsi, humiliora

[l. 9.] Vulg. ὅσον, legi ὅσην cum Battie.

[l. 14.] Περὶ τῶν in vulg. emendavi cum Battie περὶ τὸν.

ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκείνων μόνην μεγάλην γίνεσθαι, καὶ πασῶν μὲν τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν ταῖς ἄλλαις φανερὰν εἶναι, καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐτῶν. Ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν γιγνομένην, δεινὴν δὲ νομίζειν τὴν αὑτῇ τὰ συμφέροντα διαπραττομένην· καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως αὑτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους, φοβεῖσθαι δὲ καὶ δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα διακειμένους, πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὑτῶν διοικοῦντας. Τὴν μὲν οὖν ἀρχὴν ταῖν πολέοιν ἑκατέρα τοιαύτην ἐποιήσατο.

Χρόνῳ δ' ὕστερον γιγνομένου τοῦ Περσικοῦ πολέμου, καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος, τριήρεις μὲν συναγαγόντος διακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς, πεντακοσίας μυριάδας τῶν πάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ δὲ δυνάμει στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν ἄρχοντες Πελοποννησίων εἰς τὴν ναυμαχίαν τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου, δέκα μόνον συνεβάλοντο τριήρεις· οἱ δὲ πατέρες ἡμῶν ἀνάστατοι γιγνόμενοι, καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον, κρείττους ναῦς παρέχον, καὶ μείζω

de ſe cogitarent : ex iis verò quæ Spartani fecerunt, evenit ut ipſorum tantummodò civitas magna fieret, & apud alias conſpiceretur omnibus Peloponneſi civitatibus imperare, & magnâ ab ipſis obſervantiâ coli. Itaque laudanda eſt ea quæ multa in alios beneficia contulit, quæ autem ea ſolùm exequitur quæ ſibi utilia ſunt, formidabilis exiſtimanda ; eorumque amicitiam expetere par eſt qui ità cum aliis agunt ut cum ſemetpſis, eos verò metuere & pertimeſcere qui, quum in ſemetipſos amiciſſimo ſint animo, ità ſe gerunt publicè, ut in alios alienis & hoſtilibus animis eſſe videantur. Hæc igitur fundamenta jecerunt utraque civitas.

II. Multò poſt, exorto bello Perſico, quum Xerxes, qui tùm regnabat, triremes mille & ducentas, pedeſtris exercitûs quinquies millies millia univerſorum, ſepties centena millia bellicoſorum coegiſſet, tantisque viribus bellum Græcis intuliſſet ; Spartiatæ quidem qui Peloponnenſibus imperabant, ad navale prælium, quo belli totius inclinatio ſecuta eſt, decem tantùm triremes contulerunt : patres verò noſtri, extorres facti, & urbe deſertâ, quòd tunc temporis munita non eſſet, meliores naves præbuerunt, & majoribus

[l. 1.] Ἐξ ὧν ὁι Σπαρτιάται, ſubaudi ἔπρατῖον.
[l. 26.] Pro κρείτῖυς malim πλεῖυς.

δύναμιν ἐχούσας, ἢ σύμπαντες οἱ κινδυνεύσαντες. Καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τοὺς Ἕλληνας· οἱ δ᾽ ἡμέτεροι Θεμιστοκλέα τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα, καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων. Τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες, τοῖς ἡμετέροις παρέδοσαν. Καίτοι τίνας ἄν τις κριτὰς ἱκανοτέρους ποιήσαιτο καὶ πιστοτέρους τῶν τότε πραχθέντων; ἢ τοὺς ἐν αὐτοῖς τοῖς κινδύνοις παραγενομένους; τίνα δ᾽ ἄν τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης;

Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ὅλως μὲν οὖν οὐδ᾽ ἑτέραν ἐπαινῶ. Πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν. Οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν, ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. Οἱ μὲν γὰρ ἡμέτεροι πατέρες, ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν τοιαύτην ἥνπερ αὐτοὶ διετέλουν ἀγαπῶν-

copiis inſtructas, quàm univerſi alii unà prælian-tes. Ac ducem illi miſerunt Eurybiadem, qui ſi ea quæ deſtinârat perfeciſſet, nihil obtitiſſet quominùs Græci periiſſent: noſtri Themiſtoclem, qui ſine controverſiâ omnibus viſus eſt in causâ fuiſſe, ut & navale prælium ritè conficeretur, & cetera omnia illo tempore feliciter ſuccederent. Cujus rei hoc maximum eſt argumentum, quòd ii qui periculorum ſocii fuerant, adeptum Lacedæmoniis imperium noſtris tradiderunt. Atenim quinam peritiores & integriores judices rerum tunc geſtarum conſtitui queant quàm ii qui pugnæ ipſius fuerunt participes? Quòd verò beneficium majus dici poteſt eo quo ſervata univerſa Græcia manſit incolumis?

III. Poſt hæc igitur contigit ut utraque civitas maris imperio potiretur; quod utri tenuerint, pleraſque urbium ſibi habent ſubjectas. Ac neutram quidem civitatem omninò laudo; quippè in multis ambæ reprehendendæ ſunt. Verùm in hâc quoque rerum adminiſtratione, non minùs Lacedæmoniis antecelluimus, quàm in his quæ paulò ante commemoravi. Noſtri enim patres ſociis perſuaſerunt ut eam reipublicæ formam amplecterentur quà ipſi perpetuò uſi fuerant: quod ſignum eſt

τες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν ἅ τινες παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν. Λακεδαιμόνιοι δὲ κατέστησαν, οὐθ' ὁμοίαν τῇ παρ' αὐτοῖς, οὔτε ταῖς ἄλλοθί που γιγνομέναις, ἀλλὰ δέκα μόνους ἄνδρας ἑκάστης πόλεως ἐποίησαν· ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς, οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. Καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος, ἀνόητόν ἐστιν· ὀλίγα δὲ κατὰ πάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσουσι τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως ἐξεῦρον. Νῦν δ' οὐδὲν ὑπέρχεταί μοι τοιοῦτο· ἀλλὰ παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὐτοὺς ἀπώλεσαν, καὶ τοὺς φίλους, καὶ τὰς πατρίδας τὰς ἑαυτῶν· ἀλλὰ καὶ Λακεδαιμονίους πρὸς τοὺς συμμάχους διαβάλλοντες, εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον, ὅσας οὐδεὶς πώποτε αὐτοῖς γενήσεσθαι προσεδόκησε.

Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν· δεύτερον δ', ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος. Σπαρτιᾶται μὲν γὰρ ἔτη

benevolentiæ & amicitiæ, ſi qui aliis fuerint autotores iiſdem inſtitutis utendi quæ ſibi profuiſſe exiſtimârint. Lacedæmonii verò eam adminiſtrandi rationem conſtituerunt, neque ſuæ, neque aliarum urbium adminiſtrationi ſimilem; ſed decem tantummodò viros ſingulis urbibus præfecerunt: quos qui triduum aut quatriduum continenter accuſârit, nullam partem eorum quæ iſti deliquerint expoſuiſſe videatur. Singulatìm igitur tot & tantas injurias velle recenſere dementiæ fuerit: pauca verò de omnibus dicere, quæ audientes juſtâ indignatione commoverent, ſi forem junior, fortaſsè potuiſſem. Nunc mihi nihil tale in mentem venit; niſi quod inter omnes conſtat iſtos injuſtitiâ & rapacitate veteres ità ſuperaviſſe, ut non ſolùm ſemetipſos perdiderint, & amicos, & ſuas ipſorum patrias; verùm etiam Lacedæmonios in crimen & odium apud ſocios adducendo, in tot tantasque calamitates conjecerint, quot & quantas nemo unquam eis eventuras eſſe crediđiſſet.

Hinc igitur quis maximè perſpicere poſſit, quantò nos moderatiùs & clementiùs omnia geſſerimus; deindè ex eo quod jam dicetur. Nam Spartiatæ

δέκα μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέχομεν τὴν ἀρχήν. Καίτοι πάντες ἴσασι τὰς πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσι, ὑφ' ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν. Ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι, κατέστησαν εἰς πόλεμον καὶ ταραχήν. Ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἂν ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν· Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι, κατὰ γῆν πρὸς Θηβαίους μόνους πολεμήσαντας, καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους καὶ συμφοραῖς αἷσπερ ἡμεῖς. Καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν ἐλάττοσιν ἔτεσιν ἀναλαβοῦσαν αὐτὴν ἢ κατεπολεμήθη· Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτὴν ἕξιν ἐξ ἧσπερ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.

Τὰ τοίνυν πρὸς τοὺς Βαρβάρους ὡς ἑκάτεροι προσηνέχθημεν, δηλωτέον. Ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. Ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς οὔτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ κατα-

[l. 1.] Αὐτῶν, nempè, τῶν πραγμάτων.

vix decem annos Græcis imperârunt : nos quinque & sexaginta perpetuos imperium tenuimus. Atqui omnes sciunt urbes aliis subjectas diutissimè in eorum fide permanere à quibus minimis malis afficiuntur. His itaque de causis ambæ civitates, invisæ factæ, in bella & tumultus inciderunt. In quibus nostram quidem quis invenerit, quum omnes & Græci & Barbari eam invasissent, per decennium iis resistere potuisse; Lacedæmonios autem, dùm adhuc imperarent, cum Thebanis solis terrâ bello gesto, & unâ pugnâ devictos, omnibus opibus spoliatos fuisse, nec minoribus quàm nos infortuniis & calamitatibus conflictatos : præterea nostram rempublicam paucioribus annis vires suas recepisse quàm debellata fuerat; Spartiatas verò, post cladem acceptam, ne multiplici quidem temporis spatio se in integrum restituere, pristinumque dignitatis gradum recuperare potuisse, sed in iisdem malis adhuc versari.

IV. Nunc quales utrique nos contrà Barbaros præbuerimus, exponendum est; siquidem hoc adhuc restat. Sub nostro igitur imperio licuit eis neque pedestribus copiis intrà Halyn fluvium des-

---

[l. 6.] Τούτων, scilicet κακῶν.

βαίνειν, οὔτε μακροῖς πλοίοις ἐπὶ τἄνδον πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς Λακεδαιμονίων, οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν ὅπου βουληθεῖεν ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέστησαν.

Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλείστων καὶ μεγίστων τοῖς μὲν Βαρβάροις κακῶν, τοῖς δ᾽ Ἕλλησιν ἀγαθῶν, αἰτίαν γεγενημένην· ἔτι δὲ τῆς μὲν Ἀσίας τὴν παραλίαν, καὶ πολλὴν ἄλλην χώραν τοῖς μὲν πολεμίοις ἀφελομένην, τοῖς δὲ συμμάχοις κτησαμένην, καὶ τοὺς μὲν ὑβρίζοντας, τοὺς δ᾽ ἀποροῦντας, παύσασαν· πρὸς δὲ τούτοις ὑπὲρ αὐτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα, καὶ τὰς συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων· πῶς οὐ δίκαιόν ἐστιν ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον, ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην; Περὶ μὲν οὖν τῶν πραχθέντων παράλληλα, καὶ τῶν κινδύνων ἅμα καὶ πρὸς σφᾶς αὐτοὺς γενομένων, ἐν τῷ παρόντι ταῦτ᾽ εἴχομεν εἰπεῖν.

Οἶμαι δὲ σφᾶς ἀηδῶς ἀκούοντας τῶν λόγων τούτων, τοῖς μὲν εἰρημένοις οὐδὲν ἂν ἀντειπεῖν ὡς οὐκ

[l. 1.] Τἄνδον, nempè τὰ ἔνδον.
[l. 19.] Παράλληλα sume adverbialiter & junge

cendere,

cendere, neque longis navibus intrà Phaselidem navigare. Lacedæmoniis autem imperantibus, non solùm eundi & navigandi quò vellent potestatem nacti sunt, sed dominatu etiam multarum Græcarum urbium sunt aucti.

V. Civitatem igitur quæ cum Persarum rege fœdus fecerit generosius atque animosius; quæ maximis plurimisque tùm Barbaros cladibus, tùm Græcos beneficiis, affecerit; quæ oram Asiæ maritimam, ac multas alias regiones, & hostibus ademerit & sociis tribuerit; quæ tàm illorum ferociam compescuerit, quàm horum inopiæ consuluerit; quæ insuper pro suâ ipsius salute fortiùs dimicaverit quàm illa quæ ob rem militarem maximè celebratur, & calamitates celeriùs quàm ipsi Spartiatæ propulsaverit: eam civitatem, inquam, nonne æquum est laudare magis & honorare quàm illam quæ in his omnibus fuit inferior? ac de rebus quidem separatìm gestis utriusque reipublicæ, & de periculis simul & contrà eosdem aditis, hæc habuimus in præsentiâ quæ diceremus.

Objectio.

Arbitror autem eos qui hæc inviti audiunt, vera esse ea quæ diximus non negaturos, neque facinora

---

cum τῶν πραχθέντων, de rebus factis separatìm, sic enim mihi videtur intelligendum.

ἀληθέσιν οὖσιν· οὐδ' αὖ πράξεις ἑτέρας ἕξειν εἰπεῖν περὶ ἃς Λακεδαιμόνιοι γενόμενοι πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν· κατηγορεῖν δὲ τῆς πόλεως ἡμῶν ἐπιχειροῦσιν, ὅπερ ἀεὶ ποιεῖν εἰώθασι, καὶ διεξιέναι τὰς δυσχερεστάτας τῶν πράξεων τῶν ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν γεγενημένων· καὶ τάς τε δίκας καὶ τὰς κρίσεις τὰς ἐνθάδε γιγνομένας τοῖς συμμάχοις, καὶ τὴν τῶν φόρων εἴσπραξιν διαβαλοῦσι, καὶ μάλιστα διατρίψουσι περὶ τὰ Μηλίων πάθη καὶ Σκιωναίων· οἰόμενοι τῆς κατηγορείας ταύτης καταρυπαίνειν τὰς τῆς πόλεως εὐεργεσίας, τὰς ὀλίγῳ πρότερον εἰρημένας.

Ἐγὼ δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα κατὰ τῆς πόλεως, οὔτ' ἂν δυναίμην ἀντειπεῖν, οὔτ' ἂν ἐπιχειρήσαιμι τοῦτο ποιεῖν. Καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον ἤδη καὶ πρότερον, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων, ἐγὼ γλιχοίμην καὶ πειρώμην πείθειν ὡς περὶ οὐδὲν πώποτε τὸ κοινὸν ἡμῶν πεπλημμέληκεν. Οὐ μὴν ἀλλ' ἐκεῖνό γ' οἴομαι ποιήσειν, τήν τε πόλιν τὴν Σπαρτιατῶν ἐπιδείξειν περὶ τὰς πράξεις τὰς προειρημένας πολὺ πικροτέραν καὶ χαλεπωτέραν τῆς ἡμετέρας γεγενημένην· τούς

[l. 4.] Pro ἐπιχειροῦσι velim legi ἐπιχειρήσουσι.

alia habituros quæ referant, per quæ Lacedæmonii multorum bonorum Græcis autores fuerint. Sed nostram civitatem accusare conabuntur, id quod semper consuescunt, eaque enarrare quæ acciderunt acerbissima dùm maris imperium teneremus. accusationes item & judicia criminabuntur quæ hîc socii subierunt, maximè autem Meliorum & Scionæorum immorabuntur infortuniis; existimantes se istis criminationibus civitatis nostræ beneficiis paulò antè commemoratis labem & maculam esse aspersuros.

Responsio per concessionem & recriminationem.

Ego verò ea omnia quæ civitati nostræ verè objiciuntur, neque refutare dicendo possim, neque id facere instituam. Nam erubescerem, id quod priùs etiam alicubi dixi, si, quum alii ne Deos quidem inculpabiles esse existiment, ego studerem ac conarer persuadere rempublicam nostram in nullâ unquam re deliquisse. Illud tamen me facturum puto, ut ostendam tùm Spartanorum civitatem in rebus modò dictis nostrâ multò fuisse acerbiorem ac sæviorem, tùm eos qui in illorum gratiam nobis

---

[l. 20.] Τὸ κοινὸν ἡμῶν, commune nostrûm, i. e. nostra respublica.

τε ὑπὲρ ἐκείνων βλασφημοῦντας καθ' ἡμῶν, ὡς δυνατὸν ἀφρονέστατα διακειμένους, καὶ τοῦ κακῶς ἀκούειν ὑφ' ἡμῶν τοὺς φίλους αὐτῶν, αἰτίους ὄντας. Ἐπειδὰν γὰρ τοιαῦτα κατηγορῶσιν οἷς ἔνοχοι Λακεδαιμόνιοι μᾶλλον τυγχάνουσιν ὄντες, οὐκ ἀποροῦμεν τῶν περὶ ἡμῶν ῥηθέντων μεῖζον ἁμάρτημα κατ' ἐκείνων εἰπεῖν.

Οἷον καὶ νῦν, ἢν μνησθῶσι τῶν ἀγώνων τῶν ἐν τοῖς συμμάχοις ἐνθάδε γινομένων, τίς ἐστιν οὕτως ἀφυὴς, ὅστις οὐχ εὑρήσει πρὸς τοῦτ' ἀντειπεῖν, ὅτι πλείους Λακεδαιμόνιοι τῶν Ἑλλήνων ἀκρίτους ἀπεκτόνασι, τῶν παρ' ἡμῖν, ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων;

Τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν φόρων, ἤν τι λέγωσιν, ἕξομεν εἰπεῖν. Πολὺ γὰρ ἐπιδείξομεν συμφορώτερα πράξαντας τοὺς ἡμετέρους ἢ Λακεδαιμονίους ταῖς πόλεσι ταῖς τὸν φόρον ἐνεγκούσαις. Πρῶτον μὲν γὰρ, οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ' ἐποίουν, ἀλλὰ καὶ αὐτοὶ γνόντες, ὅτε τὴν ἡγεμονίαν ἡμῖν τὴν κατὰ θάλασσαν ἔδοσαν. Ἔπειτ' οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον, ἀλλ' ὑπὲρ τῆς δημοκρατίας, καὶ τῆς ἐλευθερίας τῆς αὐτῶν, καὶ τοῦ μὴ περιπεσεῖν, ὀλιγαρχίας γινομένης, τηλικούτοις κακοῖς τὸ μέγεθος, ἡλίκοις ἐπὶ τῶν δεκαρχιῶν, καὶ τῆς δυναστείας τῆς

maledicunt, omnium ſtolidiſſimos, & in causâ eſſe cur ipſorum amici à nobis malè audiant. Quum enim eorum nos accusârint quibus Lacedæmonii potiùs obnoxii ſunt, non deerit nobis occaſio majora crimina quàm in nos collata fuere, in illos regerendi.

1°. Veluti etiam nunc, ſi judiciorum de ſociis hîc factorum meminerint, quis adeò ſtupidus eſt quin facilè reſpondeat plures Græcos à Lacedæmoniis indictâ causâ eſſe interfectos, quàm à nobis, ex quo urbem incolimus, in jus vocatos, & cauſam dicere coactos?

2°. Eodemque modo, ſi de tributorum exactione aliquid dixerint, reſpondere poterimus. Noſtros enim oſtendemus earum civitatum quæ tributa pependerint commodis longè meliùs conſuluiſſe quàm Lacedæmonios. Nam primùm nullo edicto noſtro, ſed ſuo potiùs decreto id fecerunt, quum maris imperium nobis offerrent. Deindè pependerunt non noſtræ ſalutis causâ; ſed ut ſuam ipſorum democratiam & libertatem tuerentur, neve, conſtitutâ paucorum potentiâ, in tanta mala inciderent, quanta ſub decemviris & Lacedæmo-

Λακεδαιμονίων. Ἔτι δ᾽, οὐκ ἐκ τούτων ἔφερον ἐξ ὧν αὐτοὶ διέσωσαν, ἀλλ᾽ ἀφ᾽ ὧν δι᾽ ἡμᾶς εἶχον· ὑπὲρ ὧν, εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς, δικαίως ἂν χάριν εἶχον ἡμῖν. Παραλαβόντες γὰρ τὰς πόλεις αὐτῶν, τὰς μὲν παντάπασιν ἀναστάτους γεγενημένας ὑπὸ τῶν Βαρβάρων, τὰς δὲ πεπορθημένας, εἰς τοῦτο προηγάγομεν, ὥστε μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντας, μηδὲν ἐλάττονας ἔχειν τοὺς οἴκους Πελοποννησίων τῶν οὐδένα φόρον ὑποτελούντων.

Περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων ὑφ᾽ ἑκατέρας τῶν πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνειδίζουσιν, ἐπιδείξομεν πολὺ δεινότερα πεποιηκότας, οὓς ἐπαινοῦντες διατελοῦσιν. Ἡμῖν μὲν γὰρ συνέπεσε περὶ νησύδρια τοιαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος ἐξαμαρτάνειν, ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ᾽ ἴσασιν. Ἐκεῖνοι δὲ, τὰς μεγίστας πόλεις τὰς ἐν Πελοποννήσῳ, καὶ τὰς πανταχῇ προεχούσας τῶν Ἑλλήνων, ἀναστάτους ποιήσαντες, αὐτοὶ τἀκείνων ἔχουσι. Ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν πρότερον αὐταῖς ὑπῆρξεν ἀγαθὸν, τῆς μεγίστης δωρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν διὰ τὴν στρατείαν τὴν ἐπὶ Τροίαν, ἐν ᾗ σφᾶς αὐτὰς παρεῖχον προστευ-

[l. 9.] Τοὺς οἴκους, domos, i. e. fortunas, quo

niorum dominatu toleravere. Præterea, nihil contulerunt ex iis quæ ipsi conservârant, sed ex iis quæ nostrâ ope ipsis relicta erant. De quibus, si vel modico ratiocinio uterentur, meritò gratiam nobis habuissent. Quum enim eorum urbes suscepissemus, partìm à Barbaris omninò eversas, partìm vastatas, eò illas perduximus, ut, quum proventuum suorum partem nobis exiguam impertirent, nihilò essent pauperiores Peloponnensibus nihil tributi pendentibus.

3°. Jam quòd ad eas urbes attinet, quæ ab utrâque civitate sunt eversæ, quod nonnulli nobis solis exprobrant; ostendemus eos multò crudeliora perpetrasse quos isti nunquam laudare desinunt. Nobis enim usuvenit ut in tales & tantillas delinqueremus insulas quas ignorant plerique Græcorum: illi autem, maximis Peloponnesi urbibus quæ omnibus modis inter Græcos excellunt, eversis, earum opes ipsi tenent. Quas, etsi antiquitùs earum merita nulla extarent, maxima à Græcis præmia consequi decuisset ob expeditionem Trojanam: in quâ se principes exhibuerunt, & mise-

---

sæpiùs sensu hæc vox accipitur apud scriptores Græcos.

[l. 15.] Τηλικαῦτα accipe in sensu diminutivo, ut sæpiùs fit, tantilla; nisi fortè accipiendum sit, tanta & tàm magna, sensu ironico.

ούσας, τούς θ' ἡγεμόνας, ἀρετὰς ἔχοντας οὐ μόνον τὰς τοιαύτας ὧν πολλοὶ καὶ φαῦλοι κοινωνοῦσιν, ἀλλὰ κἀκείνας ὧν οὐδεὶς ἂν πονηρὸς ἂν δυνηθῇ μετασχεῖν. Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε, τὸν φρονιμώτατον ἁπάντων τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων· Λακεδαίμων δὲ Μενέλαον, τὸν διὰ σωφροσύνην μόνον ἀξιωθέντα Διὸς γενέσθαι καὶ κληθῆναι κηδεστήν· ἡ δ' Ἀργείων πόλις Ἀγαμέμνονα, τὸν οὐ μίαν οὐδὲ δύο μόνον ἔχοντα ἀρετάς, ἀλλὰ πάσας ὅσας ἔχοι τις ἂν εἰπεῖν, καὶ ταύτας οὐ μετρίως, ἀλλ' ὑπερβαλλόντως. Οὐδένα γὰρ εὑρήσομεν τῶν ἁπάντων, οὔτ' ἰδιωτέρας πράξεις μεταχειρισάμενον, οὔτε καλλίους, οὔτε μείζους, οὔτε τοῖς Ἕλλησιν ὠφελιμωτέρας, οὔτε πλειόνων ἐπαίνων ἀξίας. Καὶ τούτοις οὕτω μὲν ἀπηριθμημένοις εἰκότως ἂν ἀπιστήσειαν πολλοί· μικρῶν δὲ περὶ ἑκάστου ῥηθέντων, ἅπαντες ἂν ἀληθῆ με λέγειν ὁμολογήσειαν.

Οὐ δύναμαι δὲ κατιδεῖν, ἀλλ' ἀπορῶ ποίοις λόγοις μὲν ταῦτα χρησάμενος, ὀρθῶς ἂν εἴην βεβουλευμένος. Αἰσχύνομαι γὰρ εἰ τοσαῦτα περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς προειρηκὼς, μηδενὸς μνησθήσομαι τῶν ὑπ' ἐκείνου πεπραγμένων, ἀλλὰ δόξω τοῖς ἀκούουσιν ὅμοιος εἶναι τοῖς ἀλαζονευομένοις,

[l. 1.] Τοὺς θ' ἡγεμόνας, subaudi παρεῖχον.

runt duces, qui virtutibus præditi fuere, non iis modò quæ in pravis etiam & contemptis hominibus reperiantur, ſed & illis quæ improbo nemini contingere queant. Meſſena enim Neſtorem præbuit, omnium ſuâ ætate prudentiſſimum; Lacedæmon Menelaum, qui ob modeſtiam ſolus meruit Jovis gener & eſſe & vocari; Argivorum civitas Agamemnonem, non unâ atque alterâ virtute inſtructum, ſed omnibus quas nominare poſſis, neque iis mediocriter, ſed excellenter. Neminem enim ex omnibus inveniemus qui res vel magis ipſius proprias, vel pulchriores, vel majores, vel Græcis utiliores, vel pluribus dignas laudibus, gerendas ſuſceperit. Et his quidem ità enumeratis, multi fortaſsè fidem denegarent: ſi verò ſingula explicentur paucis, omnes me vera dicere fateantur.

Longa & magnifica in Agamemnonis laudes digreſſio.

Equidem perſpicere rem non poſſum, ſed dubito quibus deinceps verbis mihi utendum ſit ut rectè ſtatuiſſe videar. Pudet enim ſi, de virtute Agamemnonis tàm multa præfatus, nihil eorum quæ ab illo præclarè geſta ſunt commemorem: ſed audientibus videbor eorum ſimilis eſſe qui temerè ac

καὶ λέγουσιν ὅ,τι ἂν τύχωσιν. Ὁρῶ δὲ τὰς πράξεις τὰς ἔξω λεγομένας τῶν ὑποθέσεων, οὐκ ἐπαινουμένας, ἀλλὰ ταραχώδεις εἶναι δοκούσας· καὶ πολλοὺς μὲν ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς, πολὺ δὲ πλείους τοὺς ἐπιτιμῶντας. Διὸ δέδοικα μὴ καὶ περὶ ἐμὲ συμβῇ τι τοιοῦτο. Οὐ μὴν ἀλλ' αἱροῦμαι βοηθῆσαι τῷ ταὐτὸν ἐμοί τε καὶ πολλοῖς ἄλλοις πεπονθότι, καὶ διημαρτηκότι τῆς δόξης ἧς προσῆκε τυχεῖν αὐτὸν, καὶ μεγίστων ἀγαθῶν αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δ' ἐπαινουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.

Τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὃς τηλικαύτην μὲν ἔσχε τιμὴν, ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν, οὐδέποτ' ἂν εὑρεῖν δυνηθεῖεν; μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος ἠξιώθη γενέσθαι στρατηγός. Ὁπότερον δ' εἴθ' ὑπὸ πάντων αἱρεθεὶς, εἴτ' αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν· ὁποτέρως δὲ συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε τῆς περὶ αὐτὸν δόξης τοῖς ἄλλως πως τιμηθεῖσι. Ταύτην δὲ λαβὼν τὴν δύναμιν, οὐκ ἔστιν ἥν τινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν· ἀλλ' οὕτως ἦν πόῤῥω τούτου, ὡς καί τινας ἐν πολέμῳ καὶ ταραχαῖς, καὶ πολλοῖς ἄλλοις κακοῖς ὄντας, τούτων μὲν αὐτοὺς ἀπήλλαξεν· εἰς ὁμόνοιαν δὲ καταστήσας, τὰ μὲν πλεῖστα τῶν ἔργων καὶ τερα-

insolenter quidquid menti obvium fuerit, effundunt. Atqui ea video quæ dicuntur per digressionem non laudari solere, sed vituperari ut turbulenta; & cùm multos esse qui ista importunè usurpent, tùm multò plures qui reprehendant. Quare vereor ne mihi etiam tale aliquid eveniat. Verùm decrevi opem illi ferre cui idem quod mihi & multis aliis accidit, ut eâ fraudaretur gloriâ quæ meritis ejus debebatur, & qui, quum illis temporibus optimè de Græciâ meritus fuerit, minùs laudatur tamen quàm qui nihil unquam memorabile gesserunt.

Quid enim ei defuit qui tantum honorem sit adeptus, quo, si omnes in unum congressi majorem quærant, nequaquam sint inventuri? Solus enim totius Græciæ imperator factus est. Utrùm delectus fuerit ab omnibus, an eam dignitatem ipse per sese comparaverit, dicere nequeo. At utro modo res contigerit, nihil quo tantam gloriam superarent reliqui fecit eis qui alio quopiam modo honorati fuere. Hanc verò potentiam nactus, nulli omninò Græcarum urbium molestus fuit; sed ab eâ re adeò fuit alienus, ut etiam nonnullos qui bello & turbis & multis aliis malis agitabantur, illis incommodis liberaverit. Quibus inter se reconciliatis, & omnibus rebus quæ ostentationis & pro-

τάδη, καὶ μηδὲν ὠφελοῦντα τοὺς ἄλλους, ὑπερεῖδε, στρατόπεδον δὲ συστήσας ἐπὶ τοὺς Βαρβάρους ἤγαγεν. Τούτου δὲ κάλλιον στρατήγημα, καὶ τοῖς Ἕλλησιν ὠφελιμώτερον οὐδεὶς φανήσεται πράξας, οὔτε τῶν κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκιμησάντων, οὐδὲ τῶν ὕστερον ἐπιγιγνομένων. Ἃ ἐκεῖνος πράξας, καὶ τοῖς ἄλλοις ὑποδείξας, οὐχ οὕτως εὐδοκίμησεν ὡς προσῆκεν αὐτὸν, διὰ τοὺς μᾶλλον ἀγαπῶντας τὰς θαυματοποιΐας τῶν εὐεργεσιῶν, καὶ τὰς ψευδολογίας τῆς ἀληθείας· ἀλλὰ τοιοῦτος γενόμενος, ἐλάττω δόξαν ἔχει τῶν οὐδὲ μιμήσασθαι τολμησάντων αὐτόν.

Οὐ μόνον δ' ἐπὶ τούτοις ἄν τις αὐτὸν ἐπαινέσειεν, ἀλλὰ καὶ ἐφ' οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπραξεν. Εἰς τοῦτο γὰρ μεγαλοφροσύνης ἦλθεν, ὥστ' οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν ὁπόσους ἐξ ἑκάστης ἠβουλήθη τῶν πόλεων, ἀλλὰ τοὺς βασιλεῖς τοὺς ποιοῦντας ἐν ταῖς αὐτῶν ἃ βούλονται, καὶ τοῖς ἄλλοις προστάττοντας, τούτους ἔπεισεν ὑφ' αὑτῷ γενέσθαι καὶ συνακολουθεῖν ὑφ' οὓς ἂν ἡγήσηται, καὶ ποιεῖν τὸ προσταττόμενον, καὶ βασιλικὸν βίον στρατιωτικῶς ζῆν, ἔτι δὲ κινδυνεύειν καὶ πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Μενέλεω γυναικὸς, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα πάσχειν ὑπὸ

digii plus habent quàm utilitatis publicæ, despectis, exercitum contraxit, & contrà Barbaros duxit. Quâ expeditione constat nullam præstantiorem, aut Græcis utiliorem, à nemine fuisse susceptam, vel celeberrimorum illius ætatis, vel omnium posteà natorum. Quæ quum ille fecerit, & aliis facienda ostenderit, non ità celebratus est ut merebatur, eorum culpâ qui portenta beneficiis, mendacia veritati, præferunt; tantâque præstantiâ vir minorem existimationem est consecutus quàm ii qui nec imitari ipsum sunt ausi.

Neque verò propter hæc tantùm laudandus est, sed ob ea etiam quæ circà idem tempus gessit. Nam tanta in eo fuit magnanimitas, ut ei non satis esset milites privatæ conditionis delegisse, quot ex urbibus singulis voluit; verùm etiam regibus qui in suo ipsorum imperio faciunt quæ libeat, & aliis imperant, persuaserit ut sibi subjecti essent, & contrà quoscumque duxisset sequerentur, & facerent imperata, & regiam vitam militari more degerent, atque insuper pericula adirent & bellum gererent, non pro suâ ipsorum patriâ & regno, sed verbo quidem pro Helenâ, Menelai uxore, re autem verâ ne Græcia pateretur à Barbaris, vel

τῶν Βαρβάρων μήτε τοιαῦτα μήθ' οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπάσης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ, τῆς πόλεως τῆς Ἀργείων, Κάδμου δὲ, Θηβῶν. Ὧν, τίς ἄλλος φανήσεται προνοηθεὶς ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν ἔτι γίγνεσθαι τοιοῦτο, πλὴν τῆς ἐκείνου φύσεως καὶ δυνάμεως;

Τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προειρημένων ἔλαττόν ἐστι, τῶν δὲ πολλάκις ἐγκεκωμιασμένων μεῖζον καὶ λόγου μᾶλλον ἄξιον. Στρατόπεδον γὰρ συνεληλυθὸς ἐξ ἁπασῶν τῶν πόλεων, τοσοῦτο πλῆθος ὅσον εἰκὸς πολλοὺς ἔχειν, τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δὲ ἐξ αὐτῶν τῶν θεῶν, γεγονότας, οὐχ ὁμοίως διακειμένους τοῖς πολλοῖς, οὐδὲ ἴσον φρονοῦντας τοῖς ἄλλοις, ἀλλ' ὀργῆς καὶ θυμοῦ, καὶ φθόνου, καὶ φιλοτιμίας μεστοὺς· ἀλλ' ὅμως τοὺς τοιούτους ἔτη δέκα κατέσχεν, οὐ μισθοφοραῖς μεγάλαις, οὐδὲ χρημάτων δαπάναις, αἷς νῦν πάντες δυναστεύουσιν, ἀλλὰ τῷ πολλῷ καὶ τῇ φρονήσει διαφέρειν, καὶ δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων τοῖς στρατιώταις πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον ἄμεινον ὑπὲρ τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας, ἢ τοὺς ἄλλους περὶ σφῶν αὐτῶν. Τὸ τοίνυν τέλος ὃ πᾶσι τούτοις προσέθηκεν οὐδενὸς ἧττον προσήκει θαυμάζειν· οὐ γὰρ ἀπρεπὲς οὐδ' ἀνάξιον τῶν προει-

eadem, vel qualia ipſi olim contigerant, quum Pelops totam Peloponneſum, Danaus urbem Argivorum, Cadmus Thebas occupaſſet. Horum quis alius reperietur aut cogitaſſe, aut reipsâ obſtitiſſe ne quid ejuſmodi poſtea fieret, niſi illius ingenium & potentia?

Jam id quod ſequitur, ut iis quæ modò dicta ſunt minus eſt, ità majus iis quæ ſæpè laudata ſunt, memoriâque dignius. Quum enim copiæ ex omnibus urbibus conveniſſent, tot numero quot erat conſentaneum eos habere qui partìm è familiâ deorum, partìm ex ipſis diis, geniti erant, nec ità affecti ut vulgus, nec eadem quæ alii ſentientes, verùm iracundiâ & impetu & invidiâ & gloriæ ſtudio pleni; tamen eos ipſos per annos decem continuit, non magnis ſtipendiis, neque pecuniarum ſumptibus, per quæ nunc omnes vigent & regnant: ſed quòd & prudentiâ ceteris longè præſtaret, & commeatum ex hoſtili agro militibus poſſet ſuppeditare, & potiſſimùm quod putaretur aliorum ſaluti rectiùs conſulere quàm alii ſibimetipſis conſulunt. Ille porrò finis quem his omnibus impoſuit, non minimâ admiratione dignus eſt. Nec enim is indecorus, neque à ſuprà commemoratis abhorrens

[l. 4.] Ὧν conſtruitur cum μηδὲν quod ſequitur.

ρημένων φανήσεται ποιησάμενος. Ἀλλὰ λόγῳ μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας, ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ τῶν Βαρβάρων κινδυνεύων, οὐκ ἀπεῖπεν, οὐκ ἀπῆλθε, πρὶν τήν τε πόλιν τοῦ τολμήσαντος ἐξαμαρτεῖν ἐξηνδραποδίσατο, καὶ τοὺς Βαρβάρους ἔπαυσεν ὑβρίζοντας.

Οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς· οὐδ' ὅτι τούτων τοσούτων ὄντων, καθ' ἓν μὲν ἕκαστον εἴ τινες σκοποῖντο τί ἂν ἀποδοκιμάσαιεν, οὐδεὶς ἂν οὐδὲν ἀφελεῖν αὐτῶν τολμήσαιεν· ἐφεξῆς δ' ἀναγιγνωσκομένων, ἅπαντες ἂν ἐπιτιμήσειαν, ὡς πολὺ πλείοσιν εἰρημένοις τοῦ δέοντος.

Ἐγὼ δ' εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων, ᾐσχυνόμην ἂν εἰ γράφειν ἐπιχειρῶν περὶ ὧν μηδεὶς ἂν ἄλλος ἐτόλμησεν, οὕτως ἀναισθήτως διεκείμην. Νῦν δ' ἀκριβέστερον ᾔδειν τῶν ἐπιπλήττειν μοι τολμησάντων, ὅτι πολλοὶ τούτοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην οὐχ οὕτως ἔσεσθαι δεινὸν, ἢν ἐπὶ τοῦ μέρους τούτου δόξω τισὶ τῶν καιρῶν ἀμελεῖν, ὡς, ἐὰν περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος, παραλείπω τι τῶν ἐκείνῳ τε προσόντων ἀγαθῶν κἀμοὶ προσηκόντων εἰπεῖν. Ὠόμην δὲ καὶ παρὰ τοῖς χαριεστάτοις τῶν

fuit:

fuit : ſed verbo quidem ille contrà civitatem unam, rè autem verâ non tantùm contrà omnes Aſiam incolentes, at contrà multas etiàm alias gentes Barbaras dimicando, nullis periculis defatigatus eſt, nec priùs diſceſſit quàm ejus urbem excidiſſet qui in Græcos delinquere auſus fuerat, & Barbarorum inſolentiam coercuiſſet.

Atqui non ignoro quàm multa de Agamemnonis virtute dixerim; neque illud etiam me præterit, licet hæc tàm multa ſint, ſi qui ſigillatìm ea conſiderantes perpendant quidnam ſit improbandum, fore neminem qui detrahère quidquam audeat; ſed ſi omnia ordine legantur, omnes reprehenſuros ut multò prolixiora quàm oportuerit.

Excuſatio digreſſionis, & reditus ad rem.

Ego verò, ſi me ignoraverim modum excedere, erubeſcam, me qui de rebus iis de quibus nemo alius auderet, ſcribere ſim agreſſus, uſque adeò eſſe ſtupidum. Nunc autem novi certiùs quàm iſti qui me vituperare non dubitant, multos hæc eſſe reprehenſuros : ſed exiſtimavi minùs grave fore, ſi in hâc parte videar aliquibus temporis & modi rationem non habere, quàm ſi de tali viro diſſerens aliquas laudes præterirem, quæ & ad ipſum pertinerent, & quas exponere mihi conveniret. Atque etiam apud auditores politiſſimos hoc mihi laudi

ἀκροατῶν εὐδοκιμήσειν, ἐὰν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς λόγους ποιούμενος· ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον σπουδάζων, ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν· καὶ ταῦτα σαφῶς εἰδὼς, τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν. Ἀλλ' ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας, τὸ δίκαιον προειλόμην. Οὐ μόνον δ' ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην ἔχων τὴν διάνοιαν, ἀλλ' ὅλως ἐπὶ πάντων. Ἐπεὶ καὶ τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν εὐδοκιμοῦσιν, ἢ τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσι. Καίτοι τῶν μὲν ῥηθέντων, εἰ καὶ μηδὲν ἕτερον συμβαλοίμην, ἅπαντες ἂν ἐμοὶ τὴν αἰτίαν ἐπιθεῖεν· τῶν δ' ὀρθῶς πραττομένων, εἰ καὶ πάντες εἰδεῖεν ἐμὲ αἴτιον συμβουλόν τε γεγενημένον, οὐδεὶς ὅς τις οὐκ ἂν αὐτὸν τὸν μεταχειριζόμενον τὰς πράξεις ἐπαινέσειεν.

Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως τυγχάνω φερόμενος, δέον προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον, παντάπασι πόῤῥω γεγονότα τῆς ὑποθέσεως. Λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο πλὴν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μα-

[l. 15.] Εἰ καὶ μηδὲν. . . . etiamsi nihil aliud contu-

ſore arbitrabar, ſi, quum de virtute verba facerem, in eo elaborarem magis ut pro dignitate illius loquerer, quàm ne eſſem æquo prolixior; idque haud ignarus tàm neglectum orationis modum meæ gloriæ nociturum eſſe, quàm prudens de ipſis rebus conſilium illis quos laudarem profuturum: attamen, utilitate neglectâ, juſtitiam delegi. Neque verò ſolùm in his quæ nunc dicta ſunt, me hoc animo fuiſſe apparebit, ſed prorsùs in omnibus. Conſtabit enim me etiam inter diſcipulos meos iis ampliùs delectari qui vitâ & moribus excellunt, quàm iis qui eloquentiâ inclareſcunt. Atqui ſcitè dictorum, etiamſi nihil omninò contulerim, omnes me autorem dicerent: rectè factorum autem, tametſi omnes nôrint me fuiſſe ſuaſorem, nemo eſt quin eum ipſum qui perfeciſſet res, laudandum diceret.

Verùm neſcio quò abripior, quum me ad jam dicta adhuc dicenda adjicere oporteret, poſtquam longiſſimè ab inſtituto digreſſus fuerim. Nihil igitur aliud reſtat, niſi ut, petitâ ſenectuti meæ obli-

---

liſſem, ſubaudi, præter illud quòd ipſorum magiſter fui.

[l. 21.] Poſt ἐμὲ admiſi in textum αἴτιον quod habent in margine editiones Stephani & Baſileenſis. Cod. N legit ἐμὲ σύμβουλον γεγενήμενον.

[l. 21.] Poſt δέον ſubaudi ἐμέ.

χρολογίας, τῶν εἰθισμένων παραγίνεσθαι τοῖς τηλικούτοις, ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον ἐξ οὗπερ ἐξέπεσον εἰς τὴν περιττολογίαν ταύτην. Οἶμαι δὴ δεῖν καθορᾶν ὅθεν ἐπλανήθην.

Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς, ἀντέλεγον, οὐχ ὡς οὐχ ἡμαρτημένων τούτων, ἀλλ' ἐπιδεικνύων τοὺς ἀγαπωμένους ὑπ' αὐτῶν, πολὺ μείζους καὶ πλείους πόλεις ἡμῶν ἀναστάτους πεποιηκότας. Ἐν οἷς καὶ περὶ τῆς ἀρχῆς τῆς Ἀγαμέμνονος, καὶ Μενελάου καὶ Νέστορος, διελέχθην, ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως τῶν μετρίων. Τοῦτο δ' ἐποίουν ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα τοῦτο δείξειν εἶναι τῶν τολμησάντων ἀναστάτους ποιῆσαι τὰς πόλεις τὰς γεννησάσας καὶ θρεψάσας τοιούτους ἄνδρας. Περὶ ὧν καὶ νῦν ἔχοι τις ἂν πολλοῖς καὶ καλοῖς χρήσασθαι λόγοις· ἀλλὰ γὰρ ἴσως ἀνόητόν ἐστι περὶ μίαν πρᾶξιν διατρίβειν, ὥσπερ ἀπορίας οὔσης τί ἂν ἔχοι τις εἰπεῖν περὶ τῆς ὠμότητος καὶ χαλεπότητος τῆς Λακεδαιμονίων, ἀλλ' οὐ πολλῆς ἀφθονίας ὑπαρχούσης.

Οἷς οὐκ ἐξήρκεσε περὶ τὰς πόλεις ταύτας καὶ τοὺς ἄνδρας τούτους ἐξαμαρτάνειν, ἀλλὰ καὶ περὶ

[l. 10.] Ἐν οἷς, mihi videtur ſumendum adverbia-

vionis & loquacitatis veniâ, quæ vitia nostram ætatem comitari solent, ad illum locum redeam ex quo in hanc garrulitatem incidi. Mihi igitur circumspiciendum esse arbitror undè aberraverim.

Nam istis qui nostræ civitati Meliorum, & talium oppidulorum calamitates exprobrant, respondi: non quòd in his rebus nullum inesset peccatum; sed ostendi eos quos isti diligunt, multò majores & plures urbes quàm nos evertisse. Inter quæ de imperio Agamemnonis & Menelai & Nestoris disserui, mendacium quidem nullum locutus, at plura fortasè quàm decuit. Existimabam enim me demonstraturum insignem fuisse illorum injuriam qui ausi sunt eas urbes evertere quæ tales viros genuerunt & educârunt. De quibus plura etiam, eaque præclara, proferri queant; sed stultum fortassis est uni facto immorari, tanquam deesset quod de crudelitate & sævitiâ Lacedæmoniorum conqueramur, & non amplissima rerum copia suppetat.

4°. Qui, non contenti ergà has urbes & hos viros deliquisse, in eos etiam deliquerunt graviùs qui

---

liter, & respondere huic quod dicimus gallicè, à ce sujet.

[l. 13 & 14.] Οὐδενὸς ἔλαττον, nihilò leviùs, scilicet, aliis peccatis.

[l. 24.] Post ἀλλὰ καὶ subaudi ἐξημάρτανον.

τοὺς ἐκ τῶν αὐτῶν ὁρμηθέντας, καὶ κοινῶς τὴν στρατείαν ποιησαμένους, καὶ τῶν αὐτῶν κινδύνων μετασχόντας. Λέγω δὲ περὶ Ἀργείων καὶ Μεσσηνίων· καὶ γὰρ τούτους ἐπεθύμησαν ταῖς αὐταῖς συμφοραῖς περιβαλεῖν αἷσπερ ἐκείνους. Καὶ Μεσσηνίους μὲν οὐ πρότερον ἐπαύσαντο, πρὶν ἐξέβαλον ἐκ τῆς χώρας. Ἀργεῖοι δ' ὑπὲρ τῶν αὐτῶν τούτων ἔτι καὶ νῦν πολεμοῦσιν. Ἃ τοίνυν περὶ Πλαταιέας ἔπραξαν, ἄτοπος ἂν εἴην, εἰ ταῦτ' εἰρηκὼς, ἐκείνων μὴ μνησθείην, ὧν ἐν τῇ χώρᾳ στρατοπεδευσάμενοι μεθ' ἡμῶν καὶ τῶν ἄλλων συμμάχων, καὶ παραταξάμενοι τοῖς πολεμίοις, καὶ θυσάμενοι τοῖς θεοῖς τοῖς ὑπ' ἐκείνων ἱδρυμένοις, οὐ μόνον ἠλευθερώσαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν ὄντας, ἀλλὰ καὶ τοὺς ἀναγκασθέντας γενέσθαι μετ' ἐκείνων. Καὶ ταῦτα ἐπράξαμεν Πλαταιέας μόνους λαβόντες Βοιωτῶν συναγωνιστάς. Οὓς οὐ πολὺν χρόνον διαλιπόντες Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαντες ἅπαντας ἀπέκτειναν, πλὴν τῶν ἀποδρᾶναι δυνηθέντων· περὶ οὓς ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν ἐκείνοις. Οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλλάδος, καὶ τοὺς συγγενεῖς τοὺς αὐτῶν, τὰ τοιαῦτα ἐξαμαρτάνειν ἐτόλμησαν· οἱ δ' ἡμέτεροι, Μεσσηνίων μὲν τοὺς

[l. 14.] Ἠλευθερώσαμεν, hîc constructio parùm

oriundi ex eodem loco, communiter cum iis expeditionem ſuſceperant, & eadem ſubierant pericula. De Argivis loquor & Meſſeniis, quos iiſdem cladibus quibus illos, afficere ſtuduerunt. Ac Meſſenios quidem non priùs deſtiterunt oppugnare, quàm regione ejeciſſent: Argivi autem ejuſdem cladis propulſandæ causâ etiam nunc bellum gerunt. Jam quemadmodum cum Platæenſibus egerint, abſurdè facerem, ſi, injuriis ipſorum commemoratis, non meminiſſem eorum in quorum agro nobiſcum & cum aliis ſociis caſtrametati ſunt; & quum ibi nos aciem contrà hoſtes inſtruxiſſemus, & ſacra diis quorum illi extruxerant altaria, feciſſemus, non iis modò Græcis qui nobiſcum conjuncti, ſed eis etiam qui caſtra hoſtium ſequi coacti fuerant, reſtituimus libertatem. Et egimus hæc quum Platæenſes ſolos ex omnibus Bœotis adjutores haberemus. Quos, non longo tempore poſt, in Thebanorum gratiam, Lacædemonii, urbe captâ, omnes interfecerunt, iis exceptis qui fugâ ſalutem quæſivere. Ergà quos noſtra urbs ſe longè aliam præbuit quàm Spartana civitas. Spartiatæ enim, & in benè meritos de Græciâ, & in ſuos ipſorum cognatos, ità crudeliter ſunt graſſati: noſtri verò &

---

eſt regularis, quâ orator tranſit à tertiâ perſonâ ad primam.

διασωθέντας εἰς Ναύπακτον κατῴκισαν· Πλαταιέων δὲ τοὺς περιγενομένους πολίτας ἐποιήσαντο, καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων μετέδοσαν. Ὥστ᾽ εἰ μηδὲν ἔχοιμι ἄλλο περὶ τοῖν πολέοιν εἰπεῖν, ἐκ τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν τρόπον ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους ἀναστάτους πεποίηκεν.

Αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν καὶ λήθην ἐνέπεσον, νῦν δ᾽ οἶδα σαφῶς ἐμαυτὸν οὐκ ἐμμένοντα τῇ πραότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον ὅτ᾽ ἠρχόμην γράφειν αὐτὸν, ἀλλὰ λέγειν ἐπιχειροῦντα ταῦτα, περὶ ὧν οὐκ ᾤόμην ἐρεῖν, θρασύτερόν τε διακείμενον ἢ κατ᾽ ἐμαυτὸν, ἀκρατῆ τε γινόμενον ἐνίων, λέγω δὲ διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιῤῥεόντων. Ἐπειδὴ τοίνυν ἐπελήλυθέ μοι τὸ παῤῥησιάσασθαι, καὶ λέλυκα τὸ στόμα, καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην, ὥστε μήτε καλὸν εἶναι, μήτε δυνατὸν, παραλιπεῖν τὰς τοιαύτας πράξεις ἐξ ὧν οἷόν τ᾽ ἐστὶν ἐπιδεικνύναι πλείονος ἀξίαν τὴν πόλιν γεγενημένην ἡμῶν περὶ τοὺς Ἕλληνας, τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν, τῶν οὔπω μὲν εἰρημένων, ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων· ἀλλ᾽ ἐπιδεικτέον τοὺς μὲν ἡμετέρους ὀψε-

Messeniorum reliquis Naupactam dederunt habitandum, & Platæenses quicumque Athenas confugerant, donârunt civitate, rerumque omnium pari jure secum frui permiserunt. Itaque si nihil aliud de ambabus civitatibus possemus dicere; ex his tamen utriusque mores perspicere facile esset, & utra plures & majores evertisset civitates.

Sed nunc accidere mihi quiddam sentio contrarium iis quæ paulò antè dixi. Tunc enim incidebam in ignorantiam & oblivionem; nunc satis scio me ab eâ lenitate orationis deficere, quam mihi, quum primùm scribere cœpissem, proposueram, & de rebus quas decreveram prætermittere, disputare velle, atque audaciorem esse factum quàm pro indole meâ, & in quibusdam temperare mihi non posse, idque propter copiam eorum quæ dicenda mihi affluunt. Postquam igitur audacter loqui cœpi, & solvi os, & tale jeci fundamentum orationis meæ, ut ea silentio præteriri neque debeant, neque possint, per quæ demonstretur nostram civitatem de Græcis meliùs esse meritam quàm Lacedæmonios, non silendum est etiam de ceteris malis, quæ nondùm quidem à me dicta, sed inter Græcos facta sunt, & ostendendum nos-

---

[l. 2.] Παρασενομένους. Malim cum Volfio περιγενομένους, i. e. διασωθέντας, superstites, reliquias.

[l. 15.] Λέγω δὲ potest servari, sed malim abesse.

μαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δέ, τὰ μὲν πρώτους, τὰ δὲ μόνους, ἐξημαρτηκότας.

Πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν ταῖν πολέοιν, ὅτι προσποιούμενοι κινδυνεῦσαι πρὸς τοὺς Βαρβάρους ὑπὲρ τῶν Ἑλλήνων, οὐκ εἴασαν τὰς πόλεις αὐτονόμους εἶναι, καὶ διοικῆσαι τὰ σφέτερ' αὐτῶν ὅπως ἑκάστῃ συνέφερεν· ἀλλ' ὥσπερ αἰχμαλώτους εἰληφυῖαι, διελόμεναι κατεδουλώσαντο πάσας αὐτάς, καὶ παραπλήσιον ἐποίησαν τοῖς παρὰ μὲν τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις, σφίσι δ' αὐτοῖς δουλεύειν ἀναγκάζουσι.

Τοῦ δὲ λέγεσθαι ταῦτα, καὶ πολὺ πλείω, καὶ πικρότερα τούτων, οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, ἀλλ' οἱ νῦν μὲν ἐν τοῖς λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δὲ ἄλλον χρόνον ἐν τοῖς πραττομένοις ἅπασι. Τοὺς μὲν γὰρ ἡμετέρους προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν, ἐν τοῖς ἐπέκεινα χρόνοις τοῖς ἀναριθμήτοις, οὐδὲ μιᾶς πόλεως, οὔτε μείζονος οὔτε ἐλάττονος, ἄρχειν ἐπιχειρήσαντας. Λακεδαιμονίους δὲ πάντες ἴσασιν, ἀφ' οὗπερ εἰς Πελοπόννησον εἰσῆλθον, οὐδὲν ἄλλο πράττοντας, οὐδὲ βουλευομένους, πλὴν ὅπως μάλιστα μὲν ἁπάντων ἄρξουσιν· εἰ δὲ μή, Πελοποννησίων. Ἀλλὰ μὴν καὶ τὰς στάσεις, καὶ τὰς σφαγάς, καὶ τὰς τῶν πολιτειῶν μεταβολάς, ἐκεῖνοι μὲν ἂν φα-

tos ista serò didicisse, Lacedæmonios verò quædam primos, quædam solos admisisse.

Plurimi sanè utramque civitatem accusant, quòd id prætexentes se pro Græcis contrà Barbaros dimicasse, non permiserint civitatibus ut sui juris essent, & suas administrarent res ut singulis expediret, sed tanquam bello captas partitæ, omnes illas servitute oppresserint, & perindè fecerint ac si qui servos ab aliis abductos, atque assertos in libertatem, sibi servire cogant.

Ut autem hæc, & longè plura his atque acerbiora dicerentur, non in causâ nos fuimus, sed illi qui nunc in dictis adversantur, & anteà in omnibus factis adversati sunt. Nostros enim majores per infinita superiorum temporum spatia nemo demonstrârit vel civitatis unius sive majoris, sive minoris, imperium affectasse. Lacedæmonios autem nôrunt omnes, ex quo in Peloponnesum venerunt, nihil aliud agere aut moliri, nisi ut vel omnibus imperent, quod imprimis optant; vel, si id fieri nequeat, saltem Peloponnensibus. Præterea seditionibus, cædibus, administrationum mu-

---

[l. 25 & seq.] Ἀλλὰ μὴν . . . . νοσημάτων. Tota hæc phrasis non facilis est intellectu : ego recidi ὧν quod vulg. habet antè ἐκεῖνοι, & quod abest ab Ald. à Med. & à Codd. N, X; deindè ad τὰς στάσεις & alios accusativos subaudio κατὰ, quantùm & ad seditiones, & ad cædes. . . .

νεῖεν ἁπάσας τὰς πόλεις, πλὴν ὀλίγων, μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν καὶ νοσημάτων· τὴν δὲ ἡμετέραν πόλιν, οὐδεὶς ἂν εἰπεῖν τολμήσειε περὶ τῆς ἀτυχίας τῆς ἐν Ἑλλησπόντῳ γενομένης, ὡς τοιοῦτον ἐν τοῖς συμμάχοις τὶ διαπεπραγμένην. Ἀλλ᾽ ἐπειδὴ Λακεδαιμόνιοι κύριοι καταστάντες τῶν Ἑλλήνων, πάλιν ἐξέπιπτον ἐκ τῶν πραγμάτων· ἐν τούτοις τοῖς καιροῖς, στασιαζουσῶν τῶν ἄλλων πόλεων, δύο ἢ τρεῖς τῶν στρατηγῶν τῶν ἡμετέρων (οὐ γὰρ ἀποκρύψαιμι τ᾽ ἀληθὲς) ἐξήμαρτον περί τινας αὐτῶν, ἐλπίζοντες, ἢν μιμήσωνται τὰς Σπαρτιατῶν πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν. Ὥστε δικαίως ἐκείνοις μὲν ἅπαντες ἐγκαλέσαιμεν, ὡς ἀρχηγοῖς γεγενημένοις καὶ διδασκάλοις τῶν τοιούτων ἔργων· τοῖς μέντοι ἡμετέροις, ὥσπερ τῶν μαθητῶν τοῖς ὑπὸ τῶν ὑπισχνουμένων ἐξηπατημένοις, καὶ διημαρτηκόσι τῶν ἐλπίδων, εἰκότως ἂν συγγνώμην ἔχοιμεν.

Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καθ᾽ αὑτοὺς ἔπραξαν, τίς οὐκ οἶδεν ὅτι κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς Βαρβάρους καὶ τοὺς βασιλέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι, καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτοντες, καὶ τῆς χώρας ἡμῖν θαμινὰ

tationibus, his, inquam, calamitatibus & morbis omnes illi civitates, paucis exceptis, implevisse reperientur. Nostram verò civitatem nemo dicere auderet, antè cladem apud Hellespontum acceptam, ullum tale facinus in socios commisisse. Sed quum Lacedæmonii, Græciæ dominatum adepti, summâ rerum denuò excidissent, & his temporibus reliquæ urbes essent seditiosæ, duo aut tres nostrorum ducum (nec enim veritatem dissimulabo) in earum quasdam acerbiùs egerunt, sperantes scilicet se, morem Lacedæmoniorum imitatos, faciliùs eas in officio continere posse. Quapropter illos jure omnes incusaverimus ut qui talium operum duces & autores fuerint: nostratibus autem, ut discipulis quos pollicitationes deceperunt, & spes frustrata est, meritò veniam dederimus.

Postremum autem illud quod isti soli per se egerunt, quis ignorat? nempè, quum communes inimicitiæ nobis cum Barbaris eorumque regibus intercedant, nos multis petitos bellis, & gravibus interdùm malis conflictatos, quum etiam ager noster subindè vastaretur, nunquam ad illorum

---

[l. 5.] Τοιοῦτον. Aldus, editio Basileensis, & codex X, habent τοιοῦτο.

πορθουμένης, οὐδὲ πώποτε ἀπεβλέψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν· ἀλλ' ὑπὲρ ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν, μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον, ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας; Λακεδαιμόνιοι δὲ, οὔτε πάσχοντες κακὸν οὐδὲν, οὔτε μέλλοντες, οὔτε δεδιότες, εἰς τοῦτο ἀπληστίας ἦλθον, ὥστ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς ἡμετέρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι· καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας. Πίστεις δὲ δόντες τούτων ἀμφοτέροις, καὶ καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὡμολόγησαν, κατεδουλώσαντο μᾶλλον ἢ τοὺς Εἵλωτας· βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν, ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον, ὄντα νεώτερον, ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ συναγαγόντες, καὶ Κλέαρχον στρατηγὸν ἐπιστήσαντες, ἀνέπεμψαν ἐπ' ἐκεῖνον. Ἀτυχήσαντες δ' ἐν τούτοις, καὶ γνωσθέντες ὧν ἐπεθύμουν, καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πόλεμον καὶ ταραχὰς τοσαύτας κατέστησαν, ὅσον εἰκὸς τοὺς περὶ τοὺς Ἕλληνας καὶ τοὺς Βαρβάρους ἐξημαρτηκότας. Περὶ ὧν οὐκ

amicitiam & ſocietatem reſpexiſſe, at propter inſidias quas Græcis ſtruxerant, conſtantiùs illos odiſſe quàm hos qui nos infeſtabant in præſentiâ; Lacedæmonios autem, quum nihil mali accepiſſent, nec eſſent accepturi, nec timerent, cupiditate flagraſſe tàm inſatiabili, ut non ipſis ſatis eſſet terreſtre imperium, verùm & maris dominatum concupiverint, iiſdemque temporibus & ſocios noſtros ad defectionem impulerint libertatem polliciti, & cum rege de amicitiâ & ſocietate egerint, promittentes ſe omnes Aſiæ incolas illi tradituros? His conditionibus fide utrimque datâ, nobisque debellatis, eos quidem quos liberaturos eſſe ſe profitebantur, graviori ſervitute quàm Hilotas oppreſſerunt, eamque regi retulerunt gratiam, ut ejus fratri Cyro, natu minori, perſuaſerint ut de regno armis contenderet, collectoque exercitu Clearchum ducem contrà eum miſerint. In his autem fruſtrati ſpe ſuâ, & cogniti quales eſſent, & omnium odio habiti, in tantum bellum tantasque turbas inciderunt, in quantas incidere conſentaneum erat qui & Græcos & Barbaros violârant. Quibus de rebus

---

[l. 21.] Καὶ Κλέαρχον .... hæc dicuntur accuſatoriè contrà hiſtoriam. Nam Clearchus à Lacedæmoniis exilio fuerat mulctatus: non igitur Lacedæmonis autoritate & nomine Cyro militabat.

οἶδ᾽ ὅτι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως, καὶ τῆς Κόνωνος στρατηγίας, τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην, ἧς οὐδεὶς ἂν ἐπιδείξειν οὔτε αἰσχίω ποτὲ γενομένην, οὔτ᾽ ἐπονειδιστοτέραν, οὔτ᾽ ὀλιγωροτέραν τῶν Ἑλλήνων, οὔτ᾽ ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων. Οἵ τινες ὅτι μὲν ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων κατέστησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν· ἐπεὶ δὲ καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτοῦ παρέδωκαν, ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες, χρῆσθαι τοῦθ᾽ ὅτι ἂν αὐτὸς βούληται. Καὶ οὐκ ᾐσχύνθησαν τοιαύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο, καὶ τῶν Ἑλλήνων κύριοι κατέστησαν, καὶ τὴν Ἀσίαν ἅπασαν ἤλπισαν καθέξειν· ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοί τ᾽ ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν, καὶ τοὺς συμμάχους ἠνάγκασαν.

Τοὺς μὲν οὖν ἄλλους οὐκ οἶμαι πράξεων ἑτέρων ἐπιθυμήσειν ἀκούειν, ἀλλ᾽ ἐκ τῶν προειρημένων ἱκανῶς μεμαθηκέναι νομίζειν, ὁποία τις τοῖν πολέοιν ἑκατέρα περὶ τοὺς Ἕλληνας γεγο-

plura

plura dicendo immorari, haud scio quorsùm attineat; nisi quòd navali certamine, tùm à regiis exercitibus, tùm imperatoriâ Cononis peritiâ superati, talem pacem fecerint, quâ nemo demonstrârit neque turpiorem ullam unquam esse factam, neque contumeliosiorem, neque Græcorum negligentiorem, neque magis contrariam iis quæ à quibusdam de Lacedæmoniorum virtute prædicantur. Nam quum rex dominos Græcorum ipsos effecisset, regnum ei & fortunas omnes eripere studuerunt: iidemque, postquam ipsos navali prælio superatos, humiles reddidit, non exiguam illi partem tribuerunt, sed omnes eos tradiderunt qui Asiam incolerent, disertis verbis scribentes, his ipsum suo arbitratu usurum: nec erubuerunt tales pactiones facere de viris quorum societate usi, & nos subegerant, & Græcos redegerant in suam potestatem, & in spem venerant Asiæ totius occupandæ; verùm tale fœdus & in suis ipsorum templis inscripserunt, & socios inscribere coegerunt.

Transitus ad secundam confirmationis partem.

Ac ceteros quidem puto non alias desideraturos esse probationes, sed existimare ex his ipsis abundè didicisse qualisnam utraque civitas ergà Græcos fue-

νῦν. Ἐγὼ δ' οὐχ οὕτω τυγχάνω διακείμενος, ἀλλ' ἡγοῦμαι τὴν ὑπόθεσιν ἣν ἐποιησάμην, ἄλλων τε πολλῶν προσδεῖσθαι λόγων, καὶ μάλιστα τῶν ἐπιδειξόντων τὴν ἄνοιαν τῶν ἀντιλέγειν τοῖς εἰρημένοις ἐπιχειρησάντων· οὓς οἶμαι ῥᾳδίως εὑρήσειν.

Τῶν γὰρ ἀποδεχομένων ἁπάσας τὰς Λακεδαιμονίων πράξεις, τοὺς μὲν βελτίστους αὐτῶν ἡγοῦμαι καὶ πλεῖστον νοῦν ἔχοντας, τὴν μὲν Σπαρτιατῶν πολιτείαν ἐπαινέσεσθαι, καὶ τὴν αὐτὴν γνώμην ἕξειν περὶ αὐτῆς ἥνπερ πρότερον, περὶ δὲ τῶν εἰς τοὺς Ἕλληνας πεπραγμένων, ὁμολογήσειν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· τοὺς δὲ φαυλοτέρους οὐ μόνον τούτων ὄντας, ἀλλὰ καὶ τῶν πολλῶν, καὶ περὶ μὲν ἄλλου πράγματος οὐδενὸς ἂν οἵους τε γενομένους ἀνεκτῶς εἰπεῖν, περὶ δὲ Λακεδαιμονίων οὐ δυναμένους σιωπᾶν, ἀλλὰ προσδοκῶντας ἢν ὑπερβάλλοντας τοὺς ἐπαίνους περὶ ἐκείνων ποιῶνται, τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς ἀδροτέροις αὐτῶν καὶ πολὺ βελτίοσιν εἶναι δοκοῦσι· τοὺς δὴ τοιούτους, ἐπειδὰν αἴσθωνται τοὺς τόπους ἅπαντας προκατειλημμένους, καὶ μηδὲ πρὸς ἓν ἀντειπεῖν ἔχωσι τῶν εἰρημένων, ἐπὶ τὸν λόγον οἶμαι τρέψεσθαι τὸν περὶ τῶν πολιτειῶν, καὶ παραθέντας τἀκεῖ καθεστῶτα τοῖς ἐνθάδε, καὶ μάλιστα τὴν σωφροσύνην καὶ τὴν πειθαρχίαν

rit. Ego verò non in eâdem ſententiâ ſum; at argumentum hoc à me inſtitutum multa alia requirere arbitror, tùm verò ea quæ illorum amentiam oſtendant, qui his quæ dicta ſunt adverſari ſuſceperint; quæ quidem facilè me inventurum reor.

Nam inter eos qui omnia Lacedæmoniorum facta approbant, optimos quosque & prudentiſſimos Spartanam rempublicam laudaturos eſſe exiſtimo, & de illâ eamdem quam priùs ſententiam habituros, de rebus autem contrà Græcos geſtis meæ orationi aſſenſuros. Qui verò non hiſce tantùm, ſed vulgo etiam deteriores ſunt, & quum nullâ de re aliâ tolerabiliter dicere queant, de Lacedæmoniis nequeunt tacere; verùm ſi illos immenſis laudibus extulerint, ſe ſperant eamdem gloriam conſecuturos, quâ ii florent qui longè ipſis copioſiores habentur & præſtantiores. Hos igitur, ubi occupata eſſe loca omnia, & ne unum quidem eorum quæ à me dicta ſunt ſe refutare poſſe viderint, ad diſputationem de rebuspublicis ſe converſuros opinor, & cum noſtris hiſce collatis illorum inſtitutis, ac temperantiâ præſertìm & obedientiâ quæ illîc vigent

πρὸς τὰς παρ' ἡμῖν ὀλιγωρίας, ἐκ τούτων ἐγκωμιάσειν τὴν Σπάρτην.

Ἣν δὴ τοῦτο ἐπιχειρῶσι ποιεῖν, προσήκει τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτούς. Ἐγὼ γὰρ ὑπεθέμην οὐχ ὡς περὶ τῶν πολιτειῶν διαλεξόμενος, ἀλλ' ὡς ἐπιδείξων τὴν πόλιν ἡμῶν πολὺ πλείονος ἀξίαν ἢ τὴν Λακεδαιμονίων περὶ τοὺς Ἕλληνας γεγενημένην. Ἢν μὲν οὖν ἀναιρῶσί τι τούτων, ἢ πράξεις ἑτέρας κοινὰς λέγωσι, περὶ ἃς ἐκεῖνοι βελτίους ἡμῶν γεγόνασιν, εἰκότως ἂν ἐπαίνου τυγχάνοιεν· ἢν δὲ λέγειν ἐπιχειρῶσι περὶ ὧν ἐγὼ μηδεμίαν μνείαν ἐποιησάμην, δικαίως ἂν ἅπασιν ἀναισθήτως ἔχειν δοκοῖεν.

Οὐ μὴν ἀλλ' ἐπειδὴ περ αὐτοὺς οἴομαι τὸν λόγον τὸν περὶ τῶν πολιτειῶν εἰς τὸ μέσον ἐμβαλεῖν, οὐκ ὀκνήσω διαλεχθῆναι περὶ αὐτῶν. Οἴομαι γὰρ ἐν αὐτοῖς τούτοις τὴν πόλιν ἡμῶν ἐπιδείξειν πλέον διενεγκοῦσαν, ἢ τοῖς ἤδη προειρημένοις.

Καὶ μηδεὶς ὑπολάβῃ με ταῦτ' εἰρηκέναι περὶ ταύτης, ἣν ἀναγκασθέντες μετελάβομεν, ἀλλὰ περὶ τῆς τῶν προγόνων· ἧς οὐ καταφρονήσαντες οἱ πατέρες ἡμῶν, ἐπὶ τὴν νῦν καθεστῶσαν ὥρμησαν· ἀλλὰ περὶ μὲν τὰς ἄλλας πράξεις, πολὺ σπουδαιοτέραν ἐκείνην προκρίναντες, περὶ δὲ τῆς δυνα-

[l. 20 & 21.] Ἀλλὰ περὶ τῆς, subaudi εἴρηκα.

tum eâ quæ apud nos eſt licentiâ, ob ea ipſos Spartam laudaturos.

Hoc ſi facere inſtituerint, eos nugas agere judicabunt viri cordati. Ego enim non diſputationem inſtitui de rebuspublicis, ſed illud probare volui noſtram civitatem de Græciâ meliùs eſſe meritam quàm Lacedæmonios. Quòd ſi quid horum quæ dixi convellerint, aut beneficia alia protulerint in Græcos omnes collata quibus illi nos ſuperârunt, laudabuntur meritò: ſin ea dicere cœperint de quibus nullam omninò mentionem feci, ſtupidi jure omnibus videbuntur.

Confirmationis secunda pars.

Verùm quum eos orationem de rebuſpublicis in medium allaturos eſſe putem, non gravabor de his quoque diſſerere. Spero enim me oſtenſurum eo ipſo noſtram civitatem magis excellere quàm iis quæ ſuprà diximus.

I. Neque verò quiſquam opinetur me hæc dixiſſe de hâc reipublicæ formâ quam veteris loco aſſumere coacti ſumus: imò dixi de illâ quæ apud majores noſtros fuit. Quâ ſanè non contemptâ patres noſtri hanc arripuerunt; ſed in ceteris illam longè præclariorem, ad maritimum imperium hanc utiliorem

[l. 24.] Antè προκρινάντες dedi ἐκείνην quod abeſt à vulg.

μιν τὴν κατὰ θάλατταν, ταύτην χρησιμωτέραν εἶναι νομίζοντες. Ἣν λαβόντες καὶ ἐπιμεληθέντες, οἷοί τ' ἐγένοντο καὶ τὰς ἐπιβουλὰς τὰς Σπαρτιατῶν ἀμύνασθαι, καὶ τῆς Πελοποννησίων ἁπάντων ῥώμης, ἣ κατήπειγε τὴν πόλιν περὶ ἐκεῖνον τὸν χρόνον μάλιστα, περιγενέσθαι πολεμοῦσαν. Ὥστ' οὐδεὶς ἂν δικαίως ἐπιτιμήσειε τοῖς ἑλομένοις αὐτήν· οὐ γὰρ διήμαρτον τῶν ἐλπίδων· οὐδ' ἠγνόησαν οὐδὲν, οὔτε τῶν κακῶν, οὔτε τῶν ἀγαθῶν τῶν προσόντων ἑκατέρᾳ τῶν δυνάμεων· ἀλλ' ἀκριβῶς ᾔδεσαν, τὴν μὲν κατὰ γῆν ἡγεμονίαν ἐπ' εὐταξίας, καὶ σωφροσύνης, καὶ πειθαρχίας, καὶ τῶν ἄλλων τῶν τοιούτων, μελετωμένην· τὴν δὲ κατὰ θάλατταν δύναμιν, οὐκ ἐκ τούτων αὐξανομένην, ἀλλ' ἐκ τῶν τεχνῶν τῶν περὶ τὰς ναῦς, καὶ τῶν ἐλαύνειν αὐτὰς δυναμένων, καὶ τῶν τὰ σφέτερα μὲν αὐτῶν ἀπολωλεκότων, ἐκ δὲ τῶν ἀλλοτρίων πορίζεσθαι τὸν βίον εἰθισμένων. Ὧν εἰσπεσόντων εἰς τὴν πόλιν, οὐκ ἄδηλος ἦν ὅ,τε κόσμος ὁ τῆς πρότερον ὑπαρχούσης πολιτείας λυθησόμενος, ἥ τε τῶν συμμάχων εὔνοια ταχέως ληψομένη μεταβολὴν, ὅτ' ἂν οἷς πρότερον χώρας ἐδίδωσαν καὶ πόλεις, τούτους ἀναγκάζωσι συντάξεις καὶ φόρους ὑποτελεῖν, ἵν' ἔχωσι μισθὸν διδόναι τοῖς τοιούτοις οἵους ὀλίγῳ πρότερον εἶπον. Ἀλλ' ὅμως οὐδὲν ἀγνοοῦντες τῶν προειρημένων, ἐνόμιζον τῇ πόλει τηλικαύτῃ μὲν τὸ μέγεθος,

esse, judicârunt. Quod imperium quum suscepissent & curassent diligenter, tùm Spartanorum insidias ulcisci, tùm Peloponnensium omnium robur, quod illo tempore urbem nostram maximè urgebat, bello superare potuerunt. Quapropter nemo jure culpaverit eos qui istud delegerunt; siquidem neque spe suâ sunt frustrati; nec ignorârunt quid utrique imperio vel bonorum vel malorum inesset; sed satis nôrant terrestrem principatum boni ordinis, modestiæ, obedientiæ, ceterarumque rerum ejus generis studia requirere; potentiam verò marinam non his augeri, sed rebus nauticis, & hominibus qui remos possunt agere, quique suis ipsorum perditis, ex alieno victum quæritare consueverunt. Quod hominum genus quum in urbem confluxisset, satis apparebat & veteris reipublicæ disciplinam dissolutum iri, & sociorum benevolentiam citò à nostris patribus abalienandam esse, ubi eos quibus priùs urbes & agros dederant, vectigalia & tributa pendere cogerent, ad solvendam istis mercedem quos paulò antè dixi. Sed tamen quum prædictorum nihil ignorarent, existimabant civitati tantâ & magnitudine

[l. 1.] Ταυτὴν, vulg. αὐτήν.

τοιαύτην δ' ἐχούσῃ δόξαν, λυσιτελεῖν καὶ πρέπειν ἁπάσας ὑπομεῖναι τὰς δυσχερείας μᾶλλον, ἢ τὴν Λακεδαιμονίων ἀρχήν· καὶ δυοῖν πραγμάτων προτεινομένων, καὶ μὴ σπουδαίων, κρείττω τὴν αἵρεσιν εἶναι τοῦ δεινὰ ποιεῖν ἑτέρους ἢ πάσχειν αὐτοὺς ἐνόμισαν, καὶ τοῦ μὴ δικαίως τῶν ἄλλων ἄρχειν μᾶλλον, ἢ φεύγοντας τὴν αἰτίαν ταύτην, ἀδίκως Λακεδαιμονίοις δουλεύειν· ἅπερ ἅπαντες μὲν ἂν οἱ νοῦν ἔχοντες ἕλοιντο καὶ βουληθεῖεν, ὀλίγοι δέ τινες τῶν προσποιουμένων εἶναι σοφῶν ἐρωτηθέντες, οὐκ ἂν φήσαιεν. Αἱ μὲν οὖν αἰτίαι δι' ἃς μετέλαβον τὴν πολιτείαν, τὴν ὑπό τινων ψεγομένην, ἀντὶ τῆς ὑπὸ πάντων ἐπαινουμένης, διὰ μακροτέρων μὲν αὐτὰς δῆλθον, αὗται δ' οὖν ἦσαν.

Ἤδη δὲ ὑπὲρ ὧν τε ὑπεθέμην, καὶ τῶν προγόνων, ποιήσομαι τοὺς λόγους, ἐκείνων τῶν χρόνων ἐπιλαβόμενος, ὅτ' οὐκ ἦν οὔτε δημοκρατίας οὔτ' ὀλιγαρχίας ὄνομα πω λεγόμενον, ἀλλὰ μοναρχίαι καὶ τὰ γένη τῶν Βαρβάρων, καὶ τὰς πόλεις τὰς Ἑλληνίδας ἁπάσας διῴκουν. Διὰ τοῦτο δὲ προειλόμην ποιήσασθαι πόρρωθεν τὴν ἀρχήν· πρῶτον μὲν ἡγούμενος προσήκειν τοῖς ἀμφισβητοῦσιν ἀρετῆς, εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων· ἔπειτ' αἰσχυνόμενος, εἰ περὶ ἀνδρῶν ἀγαθῶν μὲν, οὐδὲν δέ μοι προση-

& gloriâ expedire & convenire quaſſibet difficultates magis quàm Lacedæmoniorum imperium perpeti; & quum duæ res, quarum neutra bona eſſet, proponerentur, id potiùs eligendum putabant ut aliis mala inferrent quàm ipſi paterentur, & ut aliis imperarent contrà jus, quàm ut, evitatâ hac culpâ, Lacedæmoniis ſervirent injuſtè. Quæ utique omnes viri prudentes vellent & præoptarent; ſed pauci quidam qui ſapientes videri volunt, ſi interrogarentur, ſe dicerent repudiare. Cauſas igitur propter quas eam reipublicæ formam quæ à nonnullis reprehenditur, ei quæ ab omnibus laudatur, patres noſtri prætulerunt, paulò fuſiùs, ſed verè, expoſui.

Nunc verò, & de his quæ inſtitui, & de majoribus noſtris, verba faciam, ab illis temporibus exorſus, quum tàm democratiæ quàm oligarchiæ nomen ignoraretur; ſed & Barbaricæ gentes & omnes Græciæ civitates regibus parerent. Rem autem altiùs propterea repetere volui; primùm, quia exiſtimo convenire ut qui de laude virtutis contendunt à primo ſtatìm ortu aliis àntecellant: deindè, quia me puderet ſi, quum de viris præſtantibus quidem, ſed nullâ mihi neceſſitudine conjunctis,

---

[l. 6.] Καὶ τῦ, vulg. ϗ τό.

κόντων, πλείω διαλεχθεὶς τῶν μετρίων, περὶ τῶν προγόνων τῶν τὴν πόλιν κάλλιστα διοικησάντων, μηδὲ μικρὰν ποιήσωμαι μνείαν· οἳ τοσοῦτον βελτίους ἐγένοντο τῶν τὰς δυναστείας ἐχόντων, ὅσονπερ ἄνδρες οἱ πρᾳότατοι, καὶ φρονιμώτατοι, διενέγκαιεν ἂν θηρίων τῶν ἀγριωτάτων καὶ πλείστης ὠμότητος μεστῶν.

Τί γὰρ οὐχ εὕρομεν τῶν ὑπερβαλλόντων ἀνοσιότητι καὶ δεινότητι τῶν πεπραγμένων, ἔν τε ταῖς ἄλλαις πόλεσι, μάλιστα δ' ἐν ταῖς μεγίσταις, καὶ τότε νομιζομέναις, καὶ νῦν εἶναι δοκούσαις; οὐ φόνους ἀδελφῶν καὶ πατέρων καὶ ξένων παμπληθεῖς γεγενημένους; οὐ σφαγὰς μητέρων καὶ μίξεις, καὶ παιδοποιΐας ἐξ ὧν ἐτύγχανον αὐτοὶ πεφυκότες; οὐ παίδων βρῶσιν ὑπὸ τῶν οἰκειοτάτων ἐπιβουλευομένην; οὐκ ἐκβολὰς ὧν ἐγέννησαν, καὶ καταποντισμούς, καὶ τυφλώσεις, καὶ τοσαύτας τὸ πλῆθος κακοποιΐας, ὥστε μηδένα πώποτε ἀπορῆσαι τῶν εἰθισμένων καθ' ἕκαστον ἐνιαυτὸν εἰσφέρειν εἰς τὸ θέατρον τὰς τότε γενομένας συμφοράς;

Ταῦτα δὲ διῆλθον, οὐκ ἐκείνους λοιδορῆσαι βουλόμενος, ἀλλ' ἐπιδεῖξαι παρὰ τοῖς ἡμετέροις οὐ μόνον οὐδὲν τοιοῦτο γεγενημένον· τοῦτο

[l. 23.] Οὐ μόνον .... pendent hæc verba, & nihil est in sequentibus ad quod referantur. Hoc quidem peccat

plura quàm decuit differuerim, majorum noſtrorum qui rempublicam pulcherrimè adminiſtrârunt, ne breviſſimam quidem fecero mentionem. Qui tantò illis qui ampliſſimâ valent potentiâ, præſtantiores fuerunt, quantò viri manſuetiſſimi & prudentiſſimi beſtiis immaniſſimis, & plurimâ imbutis ſævitiâ, antecellerent.

II. Quod enim infandum & nefarium facinus, tùm in urbibus aliis, tùm verò in his potiſſimùm quæ maximæ & ſunt & habentur, non fuiſſe perpetratum inveniemus? nonne reperiemus ibi cædes fratrum & patrum & hoſpitum factas quàmplurimas? non mactationem matrum, & inceſtos concubitus, indéque ſuſceptos liberos undè ipſi nati erant? non devorationem liberûm, conjunctiſſimorum inſidiis concinnatam? non ejectiones eorum quos genuerant, & ſubmerſiones, & excæcationes; & tantam maleficiorum multitudinem, ut eorum nemini unquam materia defuerit, qui per ſingulos annos temporum illorum calamitates in ſcenam ſolent producere?

Hæc porrò recenſui non quò illos vituperarem, ſed ut oſtenderem, apud noſtros non ſolum nihil tale factum eſſe (hoc enim non virtutis, ſed paulò

---

contrà grammaticæ regulas, ſed apud oratores non eſt inuſitatum.

μὲν γὰρ ἂν σημεῖον ἦν οὐκ ἀρετῆς, ἀλλ᾽ ὡς οὐχ ὅμοιοι τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτάτοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ᾽ ὑπερβολήν τινας ἐπαινεῖν, μὴ τοῦτο μόνον ἐπιδεικνύναι μὴ πονηροὺς ὄντας αὐτοὺς, ἀλλ᾽ ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε καὶ τῶν νῦν διήνεγκαν. Ἅπερ ἔχοι τὶς ἂν καὶ περὶ τῶν προγόνων τῶν ἡμετέρων εἰπεῖν.

Οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν καὶ τὰ περὶ σφᾶς αὐτοὺς διῴκησαν, ὥσπερ προσῆκον ἦν τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, πρώτους δὲ καὶ πόλιν οἰκήσαντας, καὶ νόμοις χρησαμένους, πάντα δὲ τὸν χρόνον ἠσκηκότας, εὐσέβειαν μὲν περὶ τοὺς θεοὺς, δικαιοσύνην δὲ περὶ τοὺς ἀνθρώπους· ὄντας δὲ μήτε μιγάδας, μήτ᾽ ἐπήλυδας, ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφὸν, ἐξ ἧσπερ ἔφυσαν, καὶ στέργοντας αὐτὴν ὁμοίως, ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας τὰς αὑτῶν· πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς ὄντας, ὥστε, ὃ δοκεῖ χαλεπώτατον εἶναι, καὶ σπανιώτατον εὑρεῖν, τινὰς τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν, ἐπὶ τέτταρας ἢ πέντε γενεὰς διαμείναντας· καὶ τοῦτο συμβαίνει μόνοις ἐκείνοις. Ἐρι-

---

[l. 22 & 23.] Τυραννικῶν καὶ βασιλικῶν, mihi vide-

minoris quàm quâ ſceleſtiſſimi quique ſunt, improbitatis ſignum eſſet) ..... decet autem eos qui aliquos inſigniter laudare ſtudent, non id tantùm demonſtrare non improbos illos eſſe; ſed omni genere virtutum, & ſuperioris & noſtræ ætatis hominibus præſtitiſſe: quæ & de noſtris quoque majoribus dici poſſunt.

Nam ità ſanctè & præclarè tàm res civitatis quàm ſuas familiares adminiſtrârunt, ut iis dignum fuit, qui à diis erant geniti, primique tùm condiderant urbem, tùm uſi erant legibus, atque omni tempore ut pietatem ergà Deos, ità juſtitiam ergà homines, coluerant; præterea, qui neque permixti aliis aut advenæ erant, ſed ſoli Græcorum indigenæ, eamdemque regionem nutricem habuerunt ex quâ nati eſſent, & eam perindè amârunt, ut optimi quique patres ſuos & matres ſuas amant; ad hæc, qui diis adeò cari fuerunt, ut quod difficillimum & rariſſimum eſſe creditur, inveniri regias quaſdam familias quæ quatuor ætatis & quinque permanſerint, id quoque illis contigerit. Nam

---

tur has duas voces hîc unam eamdemque rem ſignificare, vel ſi inter ſe hîc differant, fateor me ignorare quid ſit diſcriminis, in hoc loco ſcilicet; nam nemo neſcit in quo inter ſe apud Græcos vulgò differrent βασιλεὺς & τύραννος.

[l. 24.] Pro συμβαίνει Battie legit συμβαίνειν.

μὲν γὰρ ἂν σημεῖον ἦν τῆς ἀρετῆς, ἀλλ' ὡς οὐχ ὅμοιοι τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτάτοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν, μὴ τοῦτο μόνον ἐπιδεικνύναι μὴ πονηροὺς ὄντας αὐτούς, ἀλλ' ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε καὶ τῶν νῦν διήνεγκαν. Ἅπερ ἔχοι τις ἂν καὶ περὶ τῶν προγόνων τῶν ἡμετέρων εἰπεῖν.

Οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν καὶ τὰ περὶ σφᾶς αὐτοὺς διῴκησαν, ὥσπερ προσῆκον ἦν τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, πρώτους δὲ καὶ πόλιν οἰκήσαντας, καὶ νόμοις χρησαμένους, πάντα δὲ τὸν χρόνον ἠσκηκότας, εὐσέβειαν μὲν περὶ τοὺς θεούς, δικαιοσύνην δὲ περὶ τοὺς ἀνθρώπους· ὄντας δὲ μήτε μιγάδας, μήτ' ἐπήλυδας, ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφόν, ἐξ ἧσπερ ἔφυσαν, καὶ στέργοντας αὐτὴν ὁμοίως, ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας τὰς αὐτῶν· πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς ὄντας, ὥστε, ὃ δοκεῖ χαλεπώτατον εἶναι, καὶ σπανιώτατον εὑρεῖν, ἕνας τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν, ἐπὶ τέτταρας ἢ πέντε γενεὰς διαμείναντας· καὶ τοῦτο συμβαίνει μόνοις ἐκείνοις. Ἐρα-

[l. 22 & 23.] Τυραννικῶν καὶ βασιλικῶν, mihi vide-

minoris quàm quâ ſceleſtiſſimi quique ſunt, improbitatis ſignum eſſet) ..... decet autem eos qui aliquos inſigniter laudare ſtudent, non id tantùm demonſtrare non improbos illos eſſe; ſed omni genere virtutum, & ſuperioris & noſtræ ætatis hominibus præſtitiſſe: quæ & de noſtris quoque majoribus dici poſſunt.

Nam ità ſanctè & præclarè tàm res civitatis quàm ſuas familiares adminiſtrârunt, ut iis dignum fuit, qui à diis erant geniti, primique tùm condiderant urbem, tùm uſi erant legibus, atque omni tempore ut pietatem ergà Deos, ità juſtitiam ergà homines, coluerant; præterea, qui neque permixti aliis aut advenæ erant, ſed ſoli Græcorum indigenæ, eamdemque regionem nutricem habuerunt ex quâ nati eſſent, & eam perindè amârunt, ut optimi quique patres ſuos & matres ſuas amant; ad hæc, qui diis adeò cari fuerunt, ut quod difficillimum & rariſſimum eſſe creditur, inveniri regias quaſdam familias quæ quatuor ætatis & quînque permanſerint, id quoque illis contigerit. Nam

---

tur has duas voces hîc unam eamdemque rem ſignificare, vel ſi inter ſe hîc differant, fateor me ignorare quid ſit diſcriminis, in hoc loco ſcilicet; nam nemo neſcit in quo inter ſe apud Græcos vulgò differrent βασιλεὺς & τύραννος.

[l. 24.] Pro συμβαίνει Battie legit συμβαίνειν.

χθόνιος μὲν γὰρ ὁ φὺς ἐξ Ἡφαίστου καὶ γῆς, παρὰ Κέκροπος ἄπαιδος ὄντος ἀρρένων παίδων, τὸν οἶκον καὶ τὴν βασιλείαν παρέλαβεν. Ἐντεῦθεν δ' ἀρξάμενοι πάντες οἱ γενόμενοι μετ' ἐκεῖνον ὄντες οὐκ ὀλίγοι, τὰς κτήσεις τὰς αὑτῶν, καὶ τὰς δυναστείας, τοῖς αὑτῶν παισὶ παρέδοσαν μέχρι Θησέως.

Περὶ οὗ πρὸ πολλοῦ ἂν ἐποιησάμην μὴ διειλέχθαι πρότερον καὶ τῆς ἀρετῆς καὶ τῶν πεπραγμένων αὐτῷ. Πολὺ γὰρ ἂν μᾶλλον ἥρμοσεν ἐν τῷ λόγῳ περὶ τῆς πόλεως διελθεῖν περὶ αὐτῶν. Ἀλλὰ γὰρ χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον, τὰ κατ' ἐκεῖνον ἐπελθόντα τὸν χρόνον, εἰς τοῦτον ἀποθέσθαι τὸν καιρὸν, ἢ τόνδε προϊδεῖν ἐσόμενον. Ἐκεῖνα μὲν οὖν ἐάσομεν, ἐπειδὴ πρὸς τὸ παρὸν αὐτοῖς κατεχρησάμην, μιᾶς δὲ μόνον μνησθήσομαι πράξεως· ἣ συμβέβηκε μήτ' εἰρῆσθαι πρότερον, μήτε πεπρᾶχθαι, μηδ' ὑφ' ἑνὸς ἄλλου πλὴν ὑπὸ Θησέως, σημεῖόν τ' εἶναι μέγιστον τῆς ἀρετῆς τῆς ἐκείνου καὶ φρονήσεως.

Ἔχων γὰρ τὴν βασιλείαν ἀσφαλεστάτην καὶ μεγίστην, ἐν ᾗ πολλὰ καὶ καλὰ διαπεπραγμένος ἦν καὶ κατὰ πόλεμον καὶ κατὰ διοίκησιν τῆς πόλεως, ἅπαντα ταῦθ' ὑπερεῖδεν· καὶ μᾶλλον εἵλετο τὴν δόξαν τὴν

[l. 8 & seq.] Construe οὗ cum τῆς ἀρετῆς & τῶν πε-

Eriĉthonius Vulcano & Tellure genitus, à Cecrope, qui maſculis liberis orbus deceſſerat, bona & regnum accepit. Hinc omnes eum ſecuti, non pauci numero, opes & imperia quum aſſumpſiſſent, per ſucceſſionem ſuis liberis reliquerunt, uſque ad Theſeum.

De cujus ego virtute rebusque geſtis magnoperè velim me priùs nihil diſſeruiſſe. Longè enim aptiùs diceretur de illo in oratione hâc ubi de civitate noſtrâ agitur. Sed difficile fuit, vel potiùs non potuit fieri, ut ea quæ illo tempore in mentem veniebant, ad hanc occaſionem reſervarentur, aut talem aliquam oblatum iri proſpicerem. Illa igitur omittam quibus olim uſus fui prout erat commodum, & unius tantùm rei mentionem faciam; quæ ità accidit, ut neque ſit expoſita priùs, neque ab ullo alio geſta niſi à Theſeo, & virtutis ejus prudentiæque inſigne præbeat documentum.

Nam quum regnum haberet tutiſſimum & maximum, in quo multas & præclaras res geſſerat, tùm bella ſuſcipiendo, tùm regendo civitatem, omnia hæc deſpexit, & gloriam laboribus certa-

---

πραγμένων αὐτῷ, de cujus virtute & rebus ab ipſo factis. Poſſet abeſſe αὐτῷ ut vacans ad ſenſum, ſed debet ſervari ut ad elegantiam ſerviens.

[l. 14.] Vulg. ἢ οὐδὲ, dedi ἢ τόνδε. Ἢ abeſt ab Ald. Med. & à Codd. H, I, N, X.

ἀπὸ τῶν πόνων καὶ τῶν ἀγώνων εἰς ἅπαντα τὸν χρόνον μνημονευθησομένην, ἢ τὴν ῥᾳθυμίαν καὶ τὴν εὐδαιμονίαν τὴν διὰ τὴν βασιλείαν ἐν τῷ παρόντι γιγνομένην. Καὶ ταῦτ᾽ ἔπραξεν, οὐκ ἐπειδὴ πρεσβύτερος γενόμενος, ἀπολελαυκὼς ἦν τῶν παρόντων ἀγαθῶν· ἀλλ᾽ ἀκμάζων, ὡς λέγεται, τὴν μὲν πόλιν διοικεῖν τῷ πλήθει παρέδωκεν, αὐτὸς δ᾽ ὑπὲρ ταύτης τε καὶ τῶν ἄλλων Ἑλλήνων διετέλει κινδυνεύων.

Περὶ μὲν οὖν τῆς Θησέως ἀρετῆς, νῦν μὲν ὡς οἷόν τ᾽ ἦν ἀνεμνήσαμεν, πρότερον δ᾽ ἁπάσας αὐτοῦ τὰς πράξεις, οὐκ ἀμελῶς διήλθομεν· περὶ δὲ τῶν παραλαβόντων τὴν τῆς πόλεως διοίκησιν, ἣν ἐκεῖνος παρέδωκεν, οὐκ ἔχω τίνας ἐπαίνους εἰπὼν, ἀξίως ἂν εἴην εἰρηκὼς τῆς ἐκείνων διανοίας. Οἵ τινες ἄπειροι πολιτειῶν ὄντες, οὐ διήμαρτον αἱρούμενοι, τῆς ὑπὸ πάντων ἀνομολογηθείσης, οὐ μόνον εἶναι κοινοτάτης καὶ δικαιοτάτης, ἀλλὰ καὶ συμφορωτάτης ἅπασι τοῖς χρωμένοις καὶ ἡδίστης. Κατεστήσαντο γὰρ δημοκρατίαν, οὐ τὴν εἰκῆ πολιτευομένην, καὶ νομίζουσαν, τὴν μὲν ἀκολασίαν, ἐλευθερίαν, τὴν δ᾽ ἐξουσίαν ὅ,τι βούλεταί τις ποιεῖν, εὐδαιμονίαν· ἀλλὰ τὴν τοῖς τοιούτοις μὲν ἐπιτιμῶσαν, ἀριστοκρατίᾳ δὲ χρωμένην· ἣν οἱ μὲν

minibusque

minibusque partam, quæ in omne tempus esset concelebranda, ignavæ beatæque vitæ prætulit, quam ipsi in præsentiâ regnum offerebat. Et hæc egit, non ubi consenuisset, præsentibus bonis jam satiatus; sed ipso ætatis flore, civitatem, ut ferunt, multitudini permisit administrandam; dùm ipse tùm pro eâ, tùm pro aliis Græcis, adire pericula non destiterit.

Ac de Thesei quidem virtute nunc, ut licuit, audientes admonuimus, facinora ejus omnia olim non negligenter persecuti: de illis autem qui civitatis regendæ curam ab illo susceperunt, nescio quales dicturus sim laudes, quæ sint dignæ talium virorum sapientiâ. Qui, quum varias rerumpublicarum formas ignorarent, in deligendo non aberrârunt ab eâ republicâ quam confitentur omnes non humanissimam tantùm & æquissimam esse, verùm & omnibus qui ipsâ uterentur utilissimam & jucundissimam. Democratiam enim constituerunt, non eam quæ ageret temerè, & in petulantiâ libertatem, in licentiâ quidvis agendi felicitatem, collocaret, sed eam quæ talia improbaret, atque aristocratiâ uteretur; eam quam reipsâ uti-

πολλοὶ χρησίμην οὖσαν, ὥσπερ τὴν ἀπὸ τιμημάτων, ἐν ταῖς πολιτείαις ἀριθμοῦσιν, οὐ δι' ἀμαθίαν ἀγνοοῦντες, ἀλλὰ διὰ τὸ μηδὲν πώποτ' αὐτοῖς μελῆσαι τῶν τοιούτων.

Ἐγὼ δὲ φημὶ τὰς μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς εἶναι μόνας, ὀλιγαρχίαν, δημοκρατίαν, μοναρχίαν. Τῶν δὲ ἐν ταύταις οἰκούντων ὅσοι μὲν εἰώθασιν ἐπὶ τὰς ἀρχὰς καθιστάναι καὶ τὰς ἄλλας πράξεις, τοὺς ἱκανωτάτους τῶν πολιτῶν, καὶ τοὺς μέλλοντας ἄριστα καὶ δικαιότατα τῶν πραγμάτων ἐπιστατήσειν, τούτους μὲν ἐν ἁπάσαις ταῖς πολιτείαις καλῶς οἰκήσειν, καὶ πρὸς σφᾶς αὐτοὺς, καὶ πρὸς τοὺς ἄλλους. Τοὺς δὲ τοῖς πονηροτάτοις καὶ θρασυτάτοις ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν τῇ πόλει συμφερόντων μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὑτῶν πλεονεξίας ἑτοίμοις οὖσιν ὁτιοῦν πάσχειν, τὰς δὲ ἑαυτῶν πόλεις ὁμοίως οἰκεῖσθαι ταῖς τῶν προεστώτων πονηρίαις θέλουσι, τούτους αὖ τοὐναντίον κακίστους ἑαυτοῖς τε καὶ τοῖς πολίταις εἶναι νομίζω. Τοὺς δὲ μήθ' οὕτως, μήθ' ὡς πρότερον εἶπον, ἀλλ'

[l. 1.] Ὥσπερ τὴν ἀπὸ τιμημάτων, quasi politiam à censibus dependentem. Ad τὴν subaudi πολιτείαν. Ἡ πολιτεία ἀπὸ τῶν τιμημάτων uno vocabulo dicitur τιμοκρατία, administratio ubi census & opum ratio habetur. Ce-

lem plebs quidem nostra inter rerumpublicarum formas, nomine *timocratiæ*, numerabat; ignorans scilicet celebratam nunc earum distinctionem, non stupore ingenii, sed quòd istarum distinctionum nihil unquam ipsi curæ fuit.

Ego verò tres duntaxat esse dico rerumpublicarum formas, oligarchiam, democratiam, monarchiam. Eorum igitur qui in hisce degunt, quotquot prudentissimis civium, & optimè ac justissimè omnia curaturis, magistratus & cetera munia mandare solent; eos dico in quâvis republicâ, tùm inter se, tùm ergà alios, vitam feliciter acturos. Qui verò improbissimos & audacissimos deligunt, & tàm publicæ utilitatis negligentes, quàm ad explendam suam cupiditatem quidvis paratos & facere & pati, optantes civium eamdem quæ magistratuum est improbitatem esse; hos contrà & sibimetipsis & civibus pessimè consulere judico. Qui autem neque sic, neque ut priùs dixi, se gerunt;

---

terùm totum hunc locum paulò fusiùs sum interpretatus, ut hunc, quantùm in me esset, elucidarem.

[l. 11.] Τούτυς μὲν, subaudi φημί.

[l. 14.] Ἐπὶ ταῦτα, nempè ἐπὶ τὰς ἀρχὰς καὶ τὰς ἄλλας πράξεις.

[l. 17 & seq.] Ἑαυτῶν, οἰκεῖουσ, θελῦσι, vulg. τύτων, οἰκήσειουσ, θελόντας.

ὅταν μὲν θαῤῥῶσι, τούτους μάλιστα τιμῶντας τοὺς πρὸς χάριν λέγοντας, ὅταν δὲ δείσωσιν, ἐπὶ τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντας· τοὺς δὴ τοιούτους ἐναλλὰξ ποτὲ μὲν χεῖρον, ποτὲ δὲ βέλτιον, πράξειν.

Αἱ μὲν οὖν φύσεις καὶ δυνάμεις τῶν πολιτειῶν οὕτως ἔχουσιν. Ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων. ἐμοὶ δ' οὐκ ἔτι περὶ πασῶν αὐτῶν ἐστὶ διαλεκτέον, ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων. Ταύτην γὰρ ὑπεσχόμην ἐπιδείξειν σπουδαιοτέραν καὶ πλειόνων ἀγαθῶν αἰτίαν οὖσαν, ἢ τὴν ἐν τῇ Σπάρτῃ καθεστηκυῖαν.

Ἔσται δ' ὁ λόγος τοῖς μὲν ἡδέως ἂν ἀκούσασι πολιτείαν χρηστὴν ἐμοῦ διεξιόντος, οὔτ' ὀχληρὸς, οὔτ' ἄκαιρος, ἀλλὰ σύμμετρος καὶ προσήκων τοῖς ἔμπροσθεν εἰρημένοις· τοῖς δὲ μὴ χαίρουσι τοῖς μετὰ πολλῆς σπουδῆς εἰρημένοις, ἀλλὰ τοῖς ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορουμένοις, ἢν δ' ἀπόσχωνται τῆς μανίας ταύτης, ἐγκωμιάζουσι τὰ φαυλότατα τῶν ὄντων, ἢ τοὺς παρανομωτάτους τῶν γεγενημένων· τούτοις δ' αὐτὸν οἶμαι δόξειν πολὺ μακρότερον εἶναι τοῦ δέοντος. Ἐμοὶ δὲ τῶν μὲν τοιούτων ἀκροατῶν οὐδὲν πώποτ' ἐμέλησεν, οὐδὲ τῶν ἄλλων τοῖς εὖ φρονοῦσιν· ἐκείνων δὲ, τῶν ἅτε προεῖπον περὶ παντὸς λόγου

ſed quum ſunt ſecuri, illos maximè honorant qui ad gratiam loquuntur; in metu verò & periculis, ad optimos & prudentiſſimos quosque confugiunt; eos per vices arbitror aliàs feliciores fore, aliàs calamitoſiores.

Hæc igitur natura & vis eſt rerumpublicarum. Atque hæc aliis multò plura verba, quàm quæ nunc dicta ſunt, ſuppeditatura exiſtimo: at mihi non de omnibus adminiſtrationum formis, verùm de ſolâ majorum noſtrorum republicâ, videtur eſſe differendum. Hanc enim ſum pollicitus demonſtraturum meliorem eſſe & plura bona attuliſſe quàm eam quæ Spartæ conſtituta eſt.

Erit autem oratio his qui me libenter de optimâ republicâ dicentem audituri ſunt, neque moleſta, neque intempeſtiva, ſed apta & conveniens dictis ſuperiùs: illis verò qui, graviùs dicta ſpernentes, iſtis maximè delectantur qui in celebritatibus convicia ingerunt, vel ſi furore illo abſtinuerint, aut res omnium viliſſimas laudant, aut nequiſſimos omnium qui unquam extiterunt; illis, inquam, puto eamdem hanc viſum iri quàm oporteat prolixiorem. Verùm ego nihil unquam ejuſmodi auditores curavi, ut nec alius quiſquam vir prudens; ſed eos peroptavi habere qui & illa quæ dixi jam

μνημονευόντων, τῷ τε πλήθει τῶν λεγομένων οὐκ ἐπιλυπησόντων, οὐδ' ἂν μυρίων ἐπῶν ᾖ τὸ μῆκος· ἀλλ' ἐφ' αὐτοῖς εἶναι νομιούντων τοσοῦτον ἀναγνῶναι μέρος καὶ διελθεῖν, ὁπόσον ἂν αὐτοὶ βούλωνται· πάντων δὲ μάλιστα τῶν οὐδενὸς ἂν ἥδιον ἀκουόντων, ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετὰς, καὶ πόλεως τρόπον καλῶς οἰκουμένης· ἅπερ εἰ μιμήσασθαί τινες βουληθεῖεν καὶ δυνηθεῖεν, αὐτοί τ' ἂν ἐν μεγάλῃ δόξῃ τὸν βίον διαγάγοιεν, καὶ τὰς πόλεις τὰς αὑτῶν εὐδαίμονας ποιήσαιεν. Οἵους μὲν οὖν εὐξαίμην ἂν εἶναι τοὺς ἀκουσομένους τῶν ἐμῶν, εἴρηκα· δέδοικα δὲ, μὴ τοιούτων γενομένων πολὺ καταδεέστερον εἴπω τῶν πραγμάτων, περὶ ὧν μέλλω ποιεῖσθαι τοὺς λόγους. Ὅμως δ', οὕτως ὁποίως ἂν οἷός τ' ὦ, πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

Τοῦ μὲν οὖν διαφερόντως τῶν ἄλλων οἰκεῖσθαι τὴν πόλιν ἡμῶν κατ' ἐκεῖνον τὸν χρόνον, δικαίως ἂν ἐπενέγκαιμεν τὴν αἰτίαν τοῖς βασιλεύσασιν αὐτῆς, περὶ ὧν ὀλίγῳ πρότερον διελέχθην. Ἐκεῖνοι γὰρ ἦσαν οἱ παιδεύσαντες τὸ πλῆθος ἐν ἀρετῇ καὶ δικαιοσύνῃ καὶ πολλῇ σωφροσύνῃ, καὶ διδάξαντες ἐξ ὧν διῴκουν, ἅπερ ἐγὼ φανείην ὕστερον εἰρηκὼς ἢ κεῖνοι πράξαντες· ὅτι πᾶσα πολιτεία ψυχὴ πόλεώς ἐστι, τοσαύτην ἔχουσα δύναμιν, ὅσην περ ἐν σώματι φρόνησις. Αὕτη γὰρ

præ omnibus aliis memoriæ mandaturi, neque disputationis prolixitatem, etiamsi decies mille versuum ea fuerit, reprehensuri sunt, at penes se esse arbitrabuntur tantam hujus partem legere & percensere quantam ipsi voluerint; omniumque maximè eos qui nihil libentiùs audiant quàm eam orationem quâ vel præstantium virorum virtutes, vel reipublicæ benè constitutæ mores, commemorentur. Quæ si quidam imitari possent & vellent, cùm ipsi magnâ gloriâ exigerent ætatem, tùm suas civitates redderent feliciores. Ac quales mihi auditores dari optârim, dixi: vereor autem, etiamsi tales contigerint, ne longè tenuiùs dicam quàm res postulant de quibus verba facere institui. Sic tamen ut potero, de iis disserere aggrediar.

Quòd igitur nostra civitas, illis temporibus, meliùs quàm aliæ administrata fuerit, id regibus de quibus paulò antè dixi acceptum referri debet. Hi enim fuerunt qui populum ad virtutem, ad justitiam, magnamque modestiam instituerint, & id docuerint suâ ipsorum administratione quod ego posteriùs dixisse reperiar quàm illi fecerunt; civitatis animam esse ipsam reipublicæ formam, quæ idem valet ac in corpore intelligentiæ vis. Siquidem

ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα, καὶ πάντων αἰτία τῶν ταῖς πόλεσι συμβαινόντων ἀγαθῶν.

Ἧς ὁ δῆμος οὐκ ἐπελάθετο διὰ τὴν μεταβολήν· ἀλλὰ μᾶλλον τούτῳ προσεῖχεν ἢ τοῖς ἄλλοις, ὅπως λήψεται τοὺς ἡγεμόνας, δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ' ἦθος τοιοῦτον ἔχοντας, οἷόν περ οἱ πρότερον ἐπιστατοῦντες αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάντων τῶν κοινῶν καταστήσαντες, οἷς οὐδεὶς οὐδὲ τῶν ἰδίων τι ἐπιτρέψειεν· μηδὲ περιόψονται πρὸς τὰ τῆς πόλεως προσιόντας, τοὺς ὁμολογουμένους ὄντας πονηρούς· μηδ' ἀνέξονται φωνὴν τῶν τὰ μὲν σώματα τὰ σφέτερ' αὐτῶν ἐπονειδίστως διατιθεμένων, συμβουλεύειν δὲ τοῖς ἄλλοις ἀξιούντων ὃν τρόπον τὴν πόλιν διοικήσουσι, καὶ ὅπως σωφρονοῖεν ἂν καὶ βέλτιον πράττοιεν· μηδὲ τῶν ἃ μὲν παρὰ τῶν πατέρων παρέλαβον εἰς αἰσχρὰς ἡδονὰς ἀνηλωκότων, ἐκ δὲ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητούντων· μηδὲ τῶν πρὸς χάριν μὲν ἀεὶ λέγειν γλιχομένων, εἰς πολλὰς δ' ἀηδίας καὶ λύπας τοὺς πειθομένους ἐμβαλλόντων· ἀλλὰ τούς γε τοιούτους ἅπαντας ἀπείργειν ἀπὸ τοῦ συμ-

[l. 5.] Ἧς, nempè τῆς πολιτείας.

hæc eſt quæ de omnibus deliberet, quæ & res ſecundas ſervet & vitet adverſas, effectrixque ſit omnium bonorum quæ civitatibus contingunt.

Neque verò priſcum adminiſtrandi modum, propter factam mutationem, populus oblitus eſt; ſed in hoc magis quàm in alia incubuit ut duces ſortiretur qui & ſtatum popularem expeterent, & iis moribus eſſent præditi quibus illi qui priùs ipſi imperitârant; neque per incuriam ſummæ rerum omnium eos præficeret quibus nemo privatìm quidquam mandatum vellet; neque permitteret ut ii ad capeſſenda reipublicæ negotia accederent, quorum in confeſſo eſſet improbitas; neque vocem eorum ferret qui, quum ſua ipſi corpora probris affecerint, aliis ſtudent præſcribere quemadmodum civitas adminiſtranda ſit, & quo pacto ſapientes ac beati ſint futuri; neque eorum qui, patrimoniis in fœdas voluptates profuſis, è publicis opibus ſuæ privatæ inopiæ ſuccurrere geſtiunt; neque eorum qui, quum cupiant ſemper loqui ad gratiam, in multa ingrata & moleſta eos conjiciunt qui ipſis obtemperant: ſed omnes iſtiuſmodi homines à conſiliis

---

[l. 9.] Pro *αὐτῶν* malim *αὐτοῦ* referendo ad *δῆμος*. Poteſt tamen ſervari *αὐτῶν*, eò magis quòd orator abruptè tranſeat à numero ſingulari ad pluralem, *λήσουσι*, *πειρώνται*.

βουλεύειν ἕκαστος οἴονται δεῖν· καὶ πρὸς τούτοις ἐκείνους, τοὺς τὰ μὲν τῶν ἄλλων κτήματα τῆς πόλεως εἶναι φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέπτειν καὶ διαρπάζειν τολμῶντας· καὶ φιλεῖν μὲν τὸν δῆμον προσποιουμένους, ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν μισεῖσθαι ποιοῦντας· καὶ λόγῳ μὲν δεδιότας ὑπὲρ τῶν Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους, καὶ συκοφαντοῦντας, καὶ διατεθέντας οὕτω πρὸς ἡμᾶς, ὥστε τῶν πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας, ἥδιον ἂν καὶ θᾶττον ἐνίας εἰσδέξασθαι τοὺς πολιορκοῦντας, ἢ τὴν παρ' ἡμῶν βοήθειαν. Ἀπείποι δ' ἄν τις γράφων, εἰ πάσας τὰς κακοηθείας καὶ πονηρίας ἐξαριθμεῖν ἐπιχειρήσειεν.

Ἃς ἐκεῖνοι μισήσαντες καὶ τοὺς ἔχοντας αὐτὰς, ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς φρονιμωτάτους, καὶ βελτίστους, καὶ κάλλιστα βεβιωκότας· καὶ τοὺς αὐτοὺς τούτους στρατηγοὺς ᾑροῦντο, καὶ πρέσβεις εἴποτε δεήσειεν ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πόλεως αὐτοῖς παρεδίδοσαν· νομίζοντες τοὺς ἐπὶ τοῦ βήματος βουλομένους καὶ δυναμένους τὰ βέλτιστα συμβουλεύειν, τούτους δὲ καὶ καθ' ἑαυτοὺς γινομένους, ἐν πᾶσι τοῖς τόποις, καὶ περὶ ἁπάσας τὰς πράξεις, τὴν αὐτὴν γνώμην ἕξειν. Ἅπερ αὐτοῖς καὶ συνέβαινεν.

removendos esse unusquisque censebat ; atque eos præterea qui, quum aliorum possessiones reipublicæ esse dicant, proprias ejusdem reipublicæ opes diripere audent ac depeculari, & se amare populum simulant quem apud alios omnes in odium adducunt, & qui, quum Græcis verbo metuant, illos reipsâ vexant & calumniantur, & efficiunt ut ità ergà nos sint affecti, ut pleræque civitates bellis conflictatæ libentiùs & citiùs hostes intromitterent quàm nostra præsidia. Scribendo autem deficeret, si quis omnia istorum scelera & improbitates recensere fuerit aggressus.

Quas improbitates & improborum ingenia quum majores nostri odissent, non temerè quoslibet consiliarios & magistratus fecerunt, sed optimos quosque & prudentissimos, ac vitæ integritate spectatissimos. Atque eosdem hos tùm creabant imperatores, tùm, si quando necesse erat, mittebant legatos, tùm omnia civitatis imperia illis mandabant; existimantes scilicet eos qui pro concione optima suadere & vellent & possent, eosdem etiam seorsìm, omnibus in locis & de omnibus negotiis, eodem animo futuros: quæ quidem illis ut rebantur contigerunt.

[l. 1.] Pro ᾠήσεσθαι malim ᾤετο vel ᾠῆσθαι.

Διὰ γὰρ τὸ ταῦτα γινώσκειν, ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους, οὐχ ὁμοίως τοῖς νῦν κειμένους, οὐδὲ τοσαύτης ταραχῆς καὶ τοσούτων ἐναντιώσεων μεστοὺς, ὥστε μηδὲν ἂν δυνηθῆναι, μήτε τοὺς χρησίμους, μήτε τοὺς ἀχρήστους αὐτῶν· ἀλλὰ πρῶτον μὲν ὀλίγους, ἱκανοὺς δὲ τοῖς χρῆσθαι μέλλουσι, καὶ ῥαδίους συνιδεῖν· ἔπειτα δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, καὶ μᾶλλον ἐσπουδασμένους τοὺς περὶ τῶν κοινῶν ἐπιτηδευμάτων, ἢ τοὺς περὶ τῶν ἰδίων συμβολαίων· οἵους περ εἶναι χρὴ παρὰ τοῖς καλῶς πολιτευομένοις. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθίστασαν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν συμφυλετῶν καὶ τῶν δημοτῶν, οὐ περιμαχήτους αὐτὰς ποιήσαντες, οὐδ' ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι, τιμὴν δέ τινα προστιθείσαις αὐτοῖς. Ἔδει γὰρ τοὺς ἄρχειν αἱρεθέντας, τῶν τε κτημάτων τῶν ἰδίων ἀμελεῖν, καὶ τῶν πλεονεκτημάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον τῶν ἱερῶν· ἃ τίς ἂν ἐν τοῖς νῦν καθεστῶσιν ὑπομείνειε; Καὶ τοῦτο μὲν ἀκρι-

[l. 9 & seq.] Καὶ μᾶλλον ἐσπουδασμένους .... ad verbum interpretor : & majore diligentiâ elaboratas eas quæ ad mores publicos quàm eas quæ ad privatos contrac-

Nam quum hâc mente essent, paucis diebus leges viderunt in tabulis inscriptas, non his quas nunc habemus similes, neque confusionis plenas, & inter se pugnantes, ità ut, tàm ratæ quàm antiquatæ, nihil haberent autoritatis; sed primùm paucas, sic tamen ut iis sufficerent qui ipsis usuri erant, & cognitu faciles essent; deindè justas & utiles, & consentientes inter se, & majore diligentiâ elaboratas eas quæ ad publicos mores quàm eas quæ ad privatos contractus pertinebant; quales esse decet leges reipublicæ benè constitutæ. Circà eadem tempora, ad magistratus evehebant eos qui à tribulibus & popularibus delecti erant. Quos quidem magistratus non magnoperè ambiendos fecerunt neque expetendos, sed multò magis iis muneribus similes, quæ, ut illis quibus mandata fuerint honoris afferunt aliquid, ità molestiam creant. Oportebat enim eos qui ad magisteria delecti erant, & rem familiarem negligere, & à pecuniis quæ magistratibus dari solent, abstinere tanquam à donariis templorum. Quæ quis est qui his moribus ferre velit? Quòd si qui officio functi essent,

---

tus pertinebant.

[l. 20 & 21.] Πλεονεκτημάτων, vulg. πλημμελημάτων pro quo posset etiam legi λημμάτων.

[l. 23.] Καὶ τοὺς μὲν .... refer ad ἔδει quod præcessit.

βεῖς περὶ ταύτας γινομένους, μετρίως ἐπαινεθέντας, ὑφ' ἑτέραν ἐπιμέλειαν τάττεσθαι τοιαύτην· τοὺς δὲ καὶ μικρὸν παραβάντας, ταῖς ἐσχάταις αἰσχύναις καὶ μεγίσταις ζημίαις περιπίπτειν· ὥστε μηδένα τῶν πολιτῶν, ὥσπερ νῦν, διακεῖσθαι πρὸς τὰς ἀρχάς· ἀλλὰ μᾶλλον τὸ ταύτας φεύγειν ἡδὺ ἢ διώκειν, καὶ πάντας νομίζειν μηδέποτ' ἂν γενέσθαι δημοκρατίαν ἀληθεστέραν, μηδὲ μᾶλλον τῷ πλήθει συμφέρουσαν, τῆς τῶν μὲν τοιούτων πραγμάτων ἀτέλειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς καταστῆσαι, καὶ δίκην λαβεῖν παρὰ τῶν ἐξαμαρτανόντων, κύριον ποιούσης· ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς εὐδαιμονεστάτοις.

Σημεῖον δὲ μέγιστον ὅτι ταῦτ' ἠγάπων μᾶλλον ἃ ἐγὼ λέγω. Φαίνεται γὰρ ὁ δῆμος ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις μαχόμενος, καὶ καταλύων, καὶ τοὺς προεστῶτας αὐτῶν ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ ἔλαττον χιλίων ἐτῶν, ἀλλ' ἐμμείνας, ἀφ' οὗ παρέλαβε, μέχρι τῆς Σόλωνος μὲν ἡλικίας, Πεισιστράτου δὲ δυναστείας. Ὃς δημαγωγὸς γενόμενος, καὶ πολλὰ τὴν πόλιν λυμηνάμενος, καὶ τοὺς βελτίστους τῶν πολιτῶν ὡς ὀλιγαρχικοὺς ὄντας ἐκβαλὼν, τελευτῶν τόν τε δῆμον κατέλυσε, καὶ τύραννον ἑαυτὸν κατέστησε.

eos mediocriter laudatos, talem aliam curationem ſuſcipere oportebat: qui verò paululùm de viâ declinaſſent, ſummis probris & maximis ſuppliciis affici. Quapropter nemo civium, ut nunc fit, magiſtratus appetebat, ſed eos effugere ipſis jucundius videbatur quàm perſequi, putabantque omnes nunquam exiſtere poſſe veriorem democratiam, aut multitudini utiliorem, eâ quæ talium munerum populo immunitatem daret, eumdemque & deligendi magiſtratus & delinquentes puniendi, arbitrum faceret: quæ poteſtas etiam contingit regibus feliciſſimis.

Et hæc quæ modò dixi pluris illos feciſſe, id maximo argumento eſt quòd populus alias reipublicæ formas quæ ipſi diſplicebant non deſtiterit oppugnare, & deſtruere, & earum præfectos interimere; hâc verò uſus ſit non paucioribus quàm mille annis, in eâque perſtiterit ab illo tempore quo accepit, uſque ad Solonis ætatem Piſiſtratique principatum. Qui, populi gubernator factus, quum reipublicæ multùm nocuiſſet, optimosque cives ejeciſſet tanquam oligarchicos, tandem populari ſtatu abrogato, tyrannidem occupavit.

[l. 7.] Ad ἡδὺ ſubaudi εἶναι, vel δοκεῖν.

Τάχ' οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν (οὐδὲν γὰρ κωλύει διαβαλεῖν τὸν λόγον), ὅτι τολμῶ λέγειν, ὡς ἀκριβῶς εἰδὼς περὶ πραγμάτων οἷς οὐ παρῆν πραττομένοις. Ἐγὼ δ' οὐδὲν τούτων ἄλογον οἶμαι ποιεῖν. Εἰ γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις περὶ τῶν παλαιῶν, καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτιμῴμην. Νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταυτὸν ἐμοὶ φανεῖεν ἂν πάσχοντες. Χωρὶς δὲ τούτων, εἰ καταστaίην εἰς ἔλεγχον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ τῆς ὄψεως, καὶ μείζους πράξεις καὶ καλλίους εἰδότας, ἃς παρ' ἑτέρων ἀκηκόασιν, ἢ κείναις αἷς αὐτοὶ παραγενόμενοι τυγχάνουσιν. Ἀλλὰ γὰρ οὔτ' ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων (τυχὸν γὰρ, μηδενὸς ἀντειπόντος, λυμήναιντ' ἂν τὴν ἀλήθειαν), οὔτ' αὖ πολὺν χρόνον ἀντιλέγοντας διατρίβειν ἐν αὐταῖς· ἀλλ' ὅσον ὑποδείξαντας μόνον τοῖς ἄλλοις, ἐξ ὧν ληροῦντας αὐτοὺς ἂν ἐπιδείξαιεν, πάλιν ἐπανελθόντας λέγειν καὶ περαίνειν ὅθεν ἀπέλιπον· ὅπερ ἐγὼ ποιήσω.

Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας, καὶ τὸν χρόνον ὅσον αὐτῇ χρώμενοι διετελέσαμεν, ἐξαρκούντως δεδήλωται. Λοιπὸν δ' ἡμῖν, τὰς

Fortassis

Fortassis autem aliqui me absurdum esse dixerint (nihil enim vetat ab aliis dicta reprehendere) qui hæc proferre audeam, tanquam benè gnarus rerum quibus ego dùm gererentur non interfui. Sed ego nihil horum temerè facere existimo. Nam si ego solus crederem sermonibus de veterum institutis & scriptis, quæ ab illo tempore ad nos pervenerunt, non injuriâ reprehenderer. Nunc multos, eosque prudentes viros, idem quod me facere apparet. Præterea, si argumenta à me postulentur, probare queam omnes homines plura auditu cognoscere quàm visu, & majores & pulchriores res scire quas ab aliis audierunt, quàm quibus ipsi interfuerunt. Ceterùm hujusmodi reprehensiones neque negligendæ sunt (forsan enim, si à nemine diluerentur, veritatem læderent), neque refutandis illis diutiùs immorandum: sed ubi tantùm aliis subindicatum fuerit, ex quo adversarios nugas agere ipsi ostendere queant, redeundum ad propositum, & absolvendum id quod institutum fuit. Quod ego quoque faciam.

Ordinationem reipublicæ, & tèmpus per quod eâ usi sumus, quantùm satis est exposui. Restat

[l. 14.] Κείναις per attractionem pro κείνας.

[l. 21.] Αὐτὺς, adversarios. Ἐπιδεῖξαιεν refer ad ἄλλοις. Videatur nostra hujusce loci latina interpretatio.

[l. 25.] Τὸν χρόνον ὅσον, i. e. παρὰ ὅσον τὸν χρόνον.

ἐστὶν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα, καὶ πάντων αἰτία τῶν ταῖς πόλεσι συμβαινόντων ἀγαθῶν.

Ἧς ὁ δῆμος οὐκ ἐπελάθετο διὰ τὴν μεταβολήν· ἀλλὰ μᾶλλον τούτῳ προσεῖχεν ἢ τοῖς ἄλλοις, ὅπως λήψεται τοὺς ἡγεμόνας, δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ' ἦθος τοιοῦτον ἔχοντας, οἷόν περ οἱ πρότερον ἐπιστατοῦντες αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάντων τῶν κοινῶν καταστήσαντες, οἷς οὐδεὶς οὐδὲ τῶν ἰδίων τὶ ἐπιτρέψειεν· μηδὲ περιόψονται πρὸς τὰ τῆς πόλεως προσιόντας, τοὺς ὁμολογουμένους ὄντας πονηρούς· μηδ' ἀνέξονται φωνὴν τῶν τὰ μὲν σώματα τὰ σφέτερ' αὐτῶν ἐπονειδίστως διατιθεμένων, συμβουλεύειν δὲ τοῖς ἄλλοις ἀξιούντων ὃν τρόπον τὴν πόλιν διοικήσουσι, καὶ ὅπως σωφρονοῖεν ἂν καὶ βέλτιον πράττοιεν· μηδὲ τῶν ἃ μὲν παρὰ τῶν πατέρων παρέλαβον εἰς αἰσχρὰς ἡδονὰς ἀνηλωκότων, ἐκ δὲ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητούντων· μηδὲ τῶν πρὸς χάριν μὲν ἀεὶ λέγειν γλιχομένων, εἰς πολλὰς δ' ἀηδίας καὶ λύπας τοὺς πειθομένους ἐμβαλλόντων· ἀλλὰ τούς γε τοιούτους ἅπαντας ἀπείργειν ἀπὸ τοῦ συμ-

[l. 5.] Ἧς, nempè τῆς πολιτείας.

hæc eſt quæ de omnibus deliberet, quæ & res ſecundas ſervet & vitet adverſas, effectrixque ſit omnium bonorum quæ civitatibus contingunt.

Neque verò priſcum adminiſtrandi modum, propter factam mutationem, populus oblitus eſt; ſed in hoc magis quàm in alia incubuit ut duces ſortiretur qui & ſtatum popularem expeterent, & iis moribus eſſent præditi quibus illi qui priùs ipſi imperitârant; neque per incuriam ſummæ rerum omnium eos præficeret quibus nemo privatìm quidquam mandatum vellet; neque permitteret ut ii ad capeſſenda reipublicæ negotia accederent, quorum in confeſſo eſſet improbitas; neque vocem eorum ferret qui, quum ſua ipſi corpora probris affecerint, aliis ſtudent præſcribere quemadmodum civitas adminiſtranda ſit, & quo pacto ſapientes ac beati ſint futuri; neque eorum qui, patrimoniis in fœdas voluptates profuſis, è publicis opibus ſuæ privatæ inopiæ ſuccurrere geſtiunt; neque eorum qui, quum cupiant ſemper loqui ad gratiam, in multa ingrata & moleſta eos conjiciunt qui ipſis obtemperant: ſed omnes iſtiuſmodi homines à conſiliis

---

[l. 9.] Pro ἀυτῶν malim ἀυτοῦ referendo ad δῆμος. Poteſt tamen ſervari ἀυτῶν, eò magis quòd orator abruptè tranſeat à numero ſingulari ad pluralem, λήσουσι, περιόψονται.

βουλεύειν ἕκαστος οἴηται δεῖν· καὶ πρὸς τούτοις ἐκείνους, τοὺς τὰ μὲν τῶν ἄλλων κτήματα τῆς πόλεως εἶναι φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέπτειν καὶ διαρπάζειν τολμῶντας· καὶ φιλεῖν μὲν τὸν δῆμον προσποιουμένους, ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν μισεῖσθαι ποιοῦντας· καὶ λόγῳ μὲν δεδιότας ὑπὲρ τῶν Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους, καὶ συκοφαντοῦντας, καὶ διατιθέντας οὕτω πρὸς ἡμᾶς, ὥστε τῶν πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας, ἥδιον ἂν καὶ θᾶττον ἐνίας εἰσδέξασθαι τοὺς πολιορκοῦντας, ἢ τὴν παρ᾽ ἡμῶν βοήθειαν. Ἀπείποι δ᾽ ἄν τις γράφων, εἰ πάσας τὰς κακοηθείας καὶ πονηρίας ἐξαριθμεῖν ἐπιχειρήσειεν.

Ἃς ἐκεῖνοι μισήσαντες καὶ τοὺς ἔχοντας αὐτὰς, ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς φρονιμωτάτους, καὶ βελτίστους, καὶ κάλλιστα βεβιωκότας· καὶ τοὺς αὐτοὺς τούτους στρατηγοὺς ᾑροῦντο, καὶ πρέσβεις εἴποτε δεήσειεν ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πόλεως αὐτοῖς παρεδίδοσαν· νομίζοντες τοὺς ἐπὶ τοῦ βήματος βουλομένους καὶ δυναμένους τὰ βέλτιστα συμβουλεύειν, τούτους δὲ καὶ καθ᾽ ἑαυτοὺς γιγνομένους, ἐν πᾶσι τοῖς τόποις, καὶ περὶ ἁπάσας τὰς πράξεις, τὴν αὐτὴν γνώμην ἕξειν. Ἅπερ αὐτοῖς καὶ συνέβαινεν.

removendos esse unusquisque censebat ; atque eos præterea qui, quum aliorum possessiones reipublicæ esse dicant, proprias ejusdem reipublicæ opes diripere audent ac depeculari, & se amare populum simulant quem apud alios omnes in odium adducunt, & qui, quum Græcis verbo metuant, illos reipsâ vexant & calumniantur, & efficiunt ut ità ergà nos sint affecti, ut pleræque civitates bellis conflictatæ libentiùs & citiùs hostes intromitterent quàm nostra præsidia. Scribendo autem deficeret, si quis omnia istorum scelera & improbitates recensere fuerit aggressus.

Quas improbitates & improborum ingenia quum majores nostri odissent, non temerè quoslibet consiliarios & magistratus fecerunt, sed optimos quosque & prudentissimos, ac vitæ integritate spectatissimos. Atque eosdem hos tùm creabant imperatores, tùm, si quando necesse erat, mittebant legatos, tùm omnia civitatis imperia illis mandabant; existimantes scilicet eos qui pro concione optima suadere & vellent & possent, eosdem etiam seorsìm, omnibus in locis & de omnibus negotiis, eodem animo futuros: quæ quidem illis ut rebantur contigerunt.

[l. 1.] Pro οἰήσεσθαι malim ᾤετο vel ᾤηται.

Διὰ γὰρ τὸ ταῦτα γινώσκειν, ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους, οὐχ ὁμοίως τοῖς νῦν κειμένους, οὐδὲ τοσαύτης ταραχῆς καὶ τοσούτων ἐναντιώσεων μεστοὺς, ὥστε μηδὲν ἂν δυνηθῆναι, μήτε τοὺς χρησίμους, μήτε τοὺς ἀχρήστους αὐτῶν· ἀλλὰ πρῶτον μὲν ὀλίγους, ἱκανοὺς δὲ τοῖς χρῆσθαι μέλλουσι, καὶ ῥᾳδίους συνιδεῖν· ἔπειτα δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, καὶ μᾶλλον ἐσπουδασμένους τοὺς περὶ τῶν κοινῶν ἐπιτηδευμάτων, ἢ τοὺς περὶ τῶν ἰδίων συμβολαίων· οἵους περ εἶναι χρὴ παρὰ τοῖς καλῶς πολιτευομένοις. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθίστασαν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν συμφυλετῶν καὶ τῶν δημοτῶν, οὐ περιμαχήτους αὐτὰς ποιήσαντες, οὐδ' ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι, τιμὴν δέ τινα προστιθείσαις αὐτοῖς. Ἔδει γὰρ τοὺς ἄρχειν αἱρεθέντας, τῶν τε κτημάτων τῶν ἰδίων ἀμελεῖν, καὶ τῶν πλεονεκτημάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον τῶν ἱερῶν· ἃ τίς ἂν ἐν τοῖς νῦν καθεστῶσιν ὑπομείνειε; Καὶ τοῦτο μὲν ἀκρι-

[l. 9 & seq.] Καὶ μᾶλλον ἐσπουδασμένους .... ad verbum interpretor : & majore diligentiâ elaboratas eas quæ ad mores publicos quàm eas quæ ad privatos contrac-

Nam quum hâc mente essent, paucis diebus leges viderunt in tabulis inscriptas, non his quas nunc habemus similes, neque confusionis plenas, & inter se pugnantes, ità ut, tàm ratæ quàm antiquatæ, nihil haberent autoritatis; sed primùm paucas, sic tamen ut iis sufficerent qui ipsis usuri erant, & cognitu faciles essent; deindè justas & utiles, & consentientes inter se, & majore diligentiâ elaboratas eas quæ ad publicos mores quàm eas quæ ad privatos contractus pertinebant; quales esse decet leges reipublicæ benè constitutæ. Circà eadem tempora, ad magistratus evehebant eos qui à tribulibus & popularibus delecti erant. Quos quidem magistratus non magnoperè ambiendos fecerunt neque expetendos, sed multò magis iis muneribus similes, quæ, ut illis quibus mandata fuerint honoris afferunt aliquid, ità molestiam creant. Oportebat enim eos qui ad magisteria delecti erant, & rem familiarem negligere, & à pecuniis quæ magistratibus dari solent, abstinere tanquam à donariis templorum. Quæ quis est qui his moribus ferre velit? Quòd si qui officio functi essent,

---

tus pertinebant.

[l. 20 & 21.] Πλεονεκτημάτων, vulg. πλημμελημάτων pro quo posset etiam legi λημμάτων.

[l. 23.] Καὶ τὺς μὲν .... refer ad ἔδει quod præcessit.

τοὺς περὶ ταύτας γινομένους, μετρίως ἐπαινεθέντας, ὑφ' ἑτέραν ἐπιμέλειαν τάττεσθαι τοιαύτην· τοὺς δὲ καὶ μικρὸν παραβάντας, ταῖς ἐσχάταις αἰσχύναις καὶ μεγίσταις ζημίαις περιπίπτειν· ὥστε μηδένα τῶν πολιτῶν, ὥσπερ νῦν, διακεῖσθαι πρὸς τὰς ἀρχάς· ἀλλὰ μᾶλλον τὸ ταύτας φεύγειν ἡδὺ ἢ διώκειν, καὶ πάντας νομίζειν μηδέποτ' ἂν γενέσθαι δημοκρατίαν ἀληθεστέραν, μηδὲ μᾶλλον τῷ πλήθει συμφέρουσαν, τῆς τῶν μὲν τοιούτων πραγμάτων ἄδειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς καταστῆσαι, καὶ δίκην λαβεῖν παρὰ τῶν ἐξαμαρτανόντων, κύριον ποιούσης· ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς εὐδαιμονεστάτοις.

Σημεῖον δὲ μέγιστον ὅτι ταῦτ' ἠγάπων μᾶλλον ἃ ἐγὼ λέγω. Φαίνεται γὰρ ὁ δῆμος ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις μαχόμενος, καὶ καταλύων, καὶ τοὺς προεστῶτας αὐτῶν ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ ἔλαττον χιλίων ἐτῶν, ἀλλ' ἐμμείνας, ἀφ' οὗ παρέλαβε, μέχρι τῆς Σόλωνος μὲν ἡλικίας, Πεισειστράτου δὲ δυναστείας. Ὃς δημαγωγὸς γενόμενος, καὶ πολλὰ τὴν πόλιν λυμηνάμενος, καὶ τοὺς βελτίστους τῶν πολιτῶν ὡς ὀλιγαρχικοὺς ὄντας ἐκβαλών, τελευτῶν τόν τε δῆμον κατέλυσε, καὶ τύραννον ἑαυτὸν κατέστησε.

eos mediocriter laudatos, talem aliam curationem ſuſcipere oportebat: qui verò paululùm de viâ declinaſſent, ſummis probris & maximis ſuppliciis affici. Quapropter nemo civium, ut nunc fit, magiſtratus appetebat, ſed eos effugere ipſis jucundius videbatur quàm perſequi, putabantque omnes nunquam exiſtere poſſe veriorem democratiam, aut multitudini utiliorem, eâ quæ talium munerum populo immunitatem daret, eumdemque & deligendi magiſtratus & delinquentes puniendi, arbitrum faceret: quæ poteſtas etiam contingit regibus feliciſſimis.

Et hæc quæ modò dixi pluris illos feciſſe, id maximo argumento eſt quòd populus alias reipublicæ formas quæ ipſi diſplicebant non deſtiterit oppugnare, & deſtruere, & earum præfectos interimere; hâc verò uſus ſit non paucioribus quàm mille annis, in eâque perſtiterit ab illo tempore quo accepit, uſque ad Solonis ætatem Piſiſtratique principatum. Qui, populi gubernator factus, quum reipublicæ multùm nocuiſſet, optimosque cives ejeciſſet tanquam oligarchicos, tandem populari ſtatu abrogato, tyrannidem occupavit.

[l. 7.] Ad ἡδὺ ſubaudi εἶναι, vel δοκεῖν.

Τάχ' οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν (οὐδὲν γὰρ κωλύει διαβαλεῖν τὸν λόγον), ὅτι τολμῶ λέγειν, ὡς ἀκριβῶς εἰδὼς περὶ πραγμάτων οἷς οὐ παρῆν πραττομένοις. Ἐγὼ δ' οὐδὲν τούτων ἄλογον οἶμαι ποιεῖν. Εἰ γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις περὶ τῶν παλαιῶν, καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτιμῴμην. Νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταυτὸν ἐμοὶ φανεῖεν ἂν πάσχοντες. Χωρὶς δὲ τούτων, εἰ κατασταίην εἰς ἔλεγχον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ τῆς ὄψεως, καὶ μείζους πράξεις καὶ καλλίους εἰδότας, ἃς παρ' ἑτέρων ἀκηκόασιν, ἢ κείναις αἷς αὐτοὶ παραγενόμενοι τυγχάνουσιν. Ἀλλὰ γὰρ οὔτ' ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων (τυχὸν γάρ, μηδενὸς ἀντειπόντος, λυμήναιντ' ἂν τὴν ἀλήθειαν), οὔτ' αὖ πολὺν χρόνον ἀντιλέγοντας διατρίβειν ἐν αὐταῖς· ἀλλ' ὅσον ὑποδείξαντας μόνον τοῖς ἄλλοις, ἐξ ὧν ληροῦντας αὐτοὺς ἂν ἐπιδείξαιεν, πάλιν ἐπανελθόντας λέγειν καὶ περαίνειν ὅθεν ἀπέλιπον· ὅπερ ἐγὼ ποιήσω.

Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας, καὶ τὸν χρόνον ὅσον αὐτῇ χρώμενοι διετελέσαμεν, ἐξαρκούντως δεδήλωται. Λοιπὸν δ' ἡμῖν, τὰς

Fortassis

Fortaſſis autem aliqui me abſurdum eſſe dixerint (nihil enim vetat ab aliis dicta reprehendere) qui hæc proferre audeam, tanquam benè gnarus rerum quibus ego dùm gererentur non interfui. Sed ego nihil horum temerè facere exiſtimo. Nam ſi ego ſolus crederem ſermonibus de veterum inſtitutis & ſcriptis, quæ ab illo tempore ad nos pervenerunt, non injuriâ reprehenderer. Nunc multos, eosque prudentes viros, idem quod me facere apparet. Præterea, ſi argumenta à me poſtulentur, probare queam omnes homines plura auditu cognoſcere quàm viſu, & majores & pulchriores res ſcire quas ab aliis audierunt, quàm quibus ipſi interfuerunt. Ceterùm hujuſmodi reprehenſiones neque negligendæ ſunt (forſan enim, ſi à nemine diluerentur, veritatem læderent), neque refutandis illis diutiùs immorandum: ſed ubi tantùm aliis ſubindicatum fuerit, ex quo adverſarios nugas agere ipſi oſtendere queant, redeundum ad propoſitum, & abſolvendum id quod inſtitutum fuit. Quod ego quoque faciam.

Ordinationem reipublicæ, & tèmpus per quod eâ uſi ſumus, quantùm ſatis eſt expoſui. Reſtat

[l. 14.] Κείναις per attractionem pro κείνας.

[l. 21.] Αὐτοὺς, adverſarios. Ἐπιδείξαιεν refer ad ἄλλοις. Videatur noſtra hujuſce loci latina interpretatio.

[l. 25.] Τὸν χρόνον ὅσον, i. e. παρὰ ὅσον τὸν χρόνον.

πράξεις τὰς ἐκ τοῦ πολιτεύεσθαι καλῶς γεγενημένας διελθεῖν. Ἐκ τούτων γὰρ μᾶλλον ἔσται καταμαθεῖν ὅτι καὶ τὴν πολιτείαν εἶχον ἡμῶν οἱ πρόγονοι βελτίω τῶν ἄλλων καὶ σωφρονεστέραν, καὶ προστάταις καὶ συμβούλοις ἐχρῶντο τοιούτοις, οἵους χρὴ τοὺς εὖ φρονοῦντας.

Οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστὶ, πρὶν ἂν μικρὰ προείπω περὶ αὐτῶν. Ἦν γὰρ, ὑπεριδὼν τὰς ἐπιτιμήσεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο δυναμένων, ἐφεξῆς διηγῶμαι περί τε τῶν ἄλλων τῶν πεπραγμένων, καὶ τῶν ἐπιτηδευμάτων τῶν περὶ τὸν πόλεμον, οἷς οἱ πρόγονοι χρώμενοι, τῶν τε Βαρβάρων περιεγένοντο, καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκίμησαν, οὐκ ἔστιν ὅπως οὐ φήσουσί τινές με διεξιέναι τοὺς νόμους οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται δ᾽ αὐτοῖς χρώμενοι τυγχάνουσιν.

Ἐγὼ δ᾽ ὁμολογῶ μὲν ἐρεῖν πολλὰ τῶν καθεστώτων ἐκεῖ, οὐχ ὡς Λυκούργου τι τούτων εὑρόντος ἢ διανοηθέντος, ἀλλ᾽ ὡς μιμησαμένου τὴν διοίκησιν ὡς δυνατὸν ἄριστα τὴν τῶν προγόνων τῶν ἡμετέρων, καὶ τήν τε δημοκρατίαν καταστήσαντος παρ᾽ αὐτοῖς ἀριστοκρατίᾳ μεμιγμένην, ἥπερ ἦν παρ᾽ ἡμῖν· καὶ τὰς ἀρχὰς οὐ κληρωτὰς, ἀλλ᾽ αἱρετὰς, ποιήσαντος· καὶ τὴν τῶν γερόντων αἵρεσιν τῶν ἐπιστατούντων ἅπασι τοῖς πράγμασι μετὰ

ut explicem quæ commoda bonum civitatis statum secuta sint. Ex his enim rectiùs intelligetur nostros majores rempublicam meliorem tunc quàm alios habuisse & modestiorem, atque iis & magistratibus & consiliariis usos esse quibus uti oportet viros prudentes.

Sed ne hæc quidem priùs dicenda mihi sunt, quàm pauca præfatus fuero. Si enim, neglectis eorum reprehensionibus qui nihil aliud sciunt quàm reprehendere, statìm exposuero alias res gestas à majoribus nostris, & militarem disciplinam quâ illi usi & superârunt Barbaros & apud Græcos celebres fuerunt, fieri non poterit quin aliqui me dicant leges recitare quas & Lycurgus tulerit & Spartani observent.

Ego verò me dicturum esse multa fateor quæ illîc recepta sunt; non quòd Lycurgus illa vel invenerit vel excogitârit; sed quòd, majorum nostrorum administrationem quàm optimè imitatus, domi democratiam instituerit, aristocratiâ temperatam, qualis apud nos fuit; & magistratus non sortitò, at per suffragia, creari voluerit; & lege sancierit ut seniores qui rebus omnibus præsunt, tantò stu-

τοσαύτης σπουδῆς ποιεῖσθαι νομοθετήσαντος, μεθ' ὅσης περ φασὶ καὶ τοὺς ἡμετέρους περὶ τῶν εἰς Ἄρειον πάγον ἀναβήσεσθαι μελλόντων· ἔτι δὲ τὴν δύναμιν αὐτοῖς περιθέντος τὴν αὐτὴν ἥνπερ ᾔδει καὶ τὴν βουλὴν ἔχουσαν τὴν παρ' ἡμῖν.

Ὅτι μὲν οὖν τὸν αὐτὸν τρόπον τἀκεῖ καθέστηκεν, ὥσπερ εἶχε τὸ παλαιὸν καὶ τὰ παρ' ἡμῖν, παρὰ πολλῶν ἔστι πυθέσθαι τοῖς εἰδέναι βουλομένοις· ὡς δὲ καὶ τὴν ἐμπειρίαν τὴν περὶ τὸν πόλεμον οὐ πρότερον ἤσκησαν οὐδ' ἄμεινον ἐχρήσαντο Σπαρτιᾶται τῶν ἡμετέρων, ἐκ τῶν ἀγώνων, καὶ τῶν πολέμων, καὶ τῶν ὡμολογημένων γενέσθαι κατ' ἐκεῖνον τὸν χρόνον, οὕτως οἶμαι σαφῶς ἐπιδείξειν, ὥστε μηδὲ τοὺς ἀνοήτως λακωνίζοντας, ἀντειπεῖν δυνήσεσθαι τοῖς ῥηθεῖσι· μήτε τοὺς ἅμα τε θαυμάζοντας, καὶ βασκαίνοντας, καὶ μιμεῖσθαι γλιχομένους.

Ποιήσομαι δὲ τὴν ἀρχὴν τῶν λεχθησομένων, ἀκοῦσαι μὲν ἴσως ἐστὶν ἀηδῆ, ῥηθῆναι δ' οὐκ ἀσύμφορον. Εἰ γάρ τις φαίη τὰ πόλεε ταύτα πλείστων ἀγαθῶν αἰτίας γεγενῆσθαι τοῖς Ἕλλησι, καὶ μεγίστων κακῶν μετὰ τὴν Ξέρξου στρατείαν, οὐκ ἔστιν ὅπως οὐκ ἀληθῆ δόξειεν ἂν λέγειν τοῖς εἰδόσι τι περὶ τῶν τότε γεγενημένων. Ἠγωνίσαντό τε γὰρ ὡς δυνατὸν ἄριστα

[l. 21.] Pro *αἰτίας* malim *αἰτία* in duali numero.

dio legerentur, quanto ferunt à majoribus nostris Areopagitas esse lectos, eamdemque illis autoritatem tribuit quam sciret senatum Areopagum apud nos habuisse.

CONFIRMATIONIS PARS TERTIA.

Lacedæmoniorum igitur eam esse rempublicam quæ apud nos olim quoque fuerit, è multis audire licet, si qui scire id exoptant. Jam rei militaris peritiam non priùs excoluisse Spartanos, neque meliùs peregisse quàm nostros, certaminibus & bellis, & iis quæ facta esse illis temporibus omnes confitentur, me ità perspicuè ostensurum arbitror, ut nec isti qui ineptè student Laconibus nihil habituri sint in quo verbis meis contradicant, nec illi etiam qui, dùm nobis invident, nos mirantur & imitari gestiunt.

I. Ab eo autem exordîar quod auditu fortasse non omnibus jucundum, sed dictu tamen non erit inutile. Si quis enim dicat civitates Atheniensem & Lacedæmoniensem plurima beneficia in Græcos contulisse, eosdemque maximis malis post Xerxis expeditionem affecisse, non poterit non dixisse verum iis videri qui res illorum temporum cognitas habent. Nam & quàm fortissimè contrà

πρὸς τὴν ἐκείνου δύναμιν· ταῦτά τε πράξασαι, προσῆκον αὐταῖς καὶ περὶ τῶν ἐχομένων βουλεύσασθαι καλῶς, εἰς τοῦτ' ἦλθον οὐκ ἀνοίας, ἀλλὰ μανίας, ὥστε πρὸς μὲν τὸν ἐπιστρατεύσαντα, καὶ βουληθέντα τὰς μὲν πόλεις ταύτας παντάπασιν ἀνελεῖν, τοὺς δ' ἄλλους Ἕλληνας καταδουλώσασθαι, πρὸς μὲν τοῦτον, κρατήσασαι ῥαδίως ἂν αὐτοῦ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰρήνην εἰς ἅπαντα τὸν χρόνον συνεγράψαντο, ὥσπερ πρὸς εὐεργέτην γεγενημένον· φθονήσασαι δὲ τῆς ἀρετῆς τῆς ἑαυτῶν, εἰς πόλεμον κατέστησαν πρὸς ἀλλήλας καὶ φιλονεικίαν, οὐ πρότερον ἐπαύσαντο σφᾶς αὐτὰς ἀπολλύουσαι καὶ τοὺς ἄλλους Ἕλληνας, πρὶν κύριον ἐποιήσαντο τὸν κοινὸν ἐχθρὸν, τοῦ τήν τε πόλιν τὴν ἡμετέραν εἰς τοὺς ἐσχάτους καταστῆσαι κινδύνους διὰ τῆς δυνάμεως τῆς Λακεδαιμονίων, καὶ πάλιν τὴν ἐκείνων διὰ τῆς πόλεως τῆς ἡμετέρας. Καὶ τοσοῦτον ἀπολειφθέντες τῆς τοῦ Βαρβάρου φρονήσεως, οὔτ' ἐν ἐκείνοις τοῖς χρόνοις ἤλγησαν ἀξίως ὧν ἔπαθον, οὐδ' ὡς προσῆκεν αὐτούς· οὔτε νῦν αἱ μέγισται τῶν Ἑλληνίδων πόλεων αἰσχύνονται διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον. Ἀλλ' ἡ μὲν Ἀργείων καὶ Θηβαίων Αἴγυπτον αὐτῷ συγκατεπολέμησεν, ἵν' ὡς μεγίστην ἔχων δύναμιν ἐπιβουλεύοι τοῖς Ἕλλησιν· ἡμεῖς δὲ καὶ Σπαρτιᾶται, συμμαχίας ἡμῖν ὑπαρχούσης, ἀλλο-

illius potentiam dimicârunt; & postea quum eas decuisset etiam de iis quæ restabant rectè consuluisse, in eam non amentiam, sed insaniam, sunt impulsæ, ut cum eo qui ipsas oppugnârat, quique destinârat utramque urbem delere funditùs, & ceteros Græcos servitute opprimere, cum tali, inquam, viro, quem terrâ marique superassent facillimè, pacem in omne tempus, tanquam cum benè merito, fecerint; & altera alterius virtutibus invidentes, bello mutuo & pravâ æmulatione incensæ, seipsas & ceteros Græcos perdere priùs non destiterint, quàm communi hosti eam dedissent potestatem, ut is Athenienses per Lacedæmoniorum potentiam in summum discrimen adduceret, ac rursùs Lacedæmonios per vires Atheniensium. Quamvis autem Barbarus eas prudentiâ tàm longè superasset, tamen neque illis temporibus, ob acceptas clades, ità ut par fuit, ipsásque decuit, doluerunt, neque nunc Græcarum civitatum maximas pudet cum contentione quâdam ipsius opibus adulari. Nam Argivi quidem & Thebani, missis auxiliis Ægyptum illi subegerunt, ut quàm maximâ potentiâ munitus Græcis insidiaretur. Nos autem & Spartani, quum inter nos societas sit, in

[l. 5.] Vulg. τὼ πολέι τύτω, mendum evidens.
[l. 14.] Τῦ deest in vulgatâ, ego addidi cum Battie.

τριώτερον ἔχομεν πρὸς ἡμᾶς αὐτοὺς, ἢ πρὸς οὓς ἑκάτεροι πολεμοῦντες τυγχάνομεν. Σημεῖον δ' οὐ μικρόν· κοινῇ γὰρ οὐδὲ περὶ ἑνὸς πράγματος βουλευόμεθα, χωρὶς δ' ἑκάτεροι πρέσβεις πέμπομεν ὡς ἐκεῖνον, ἐλπίζοντες ὁποτέροις ἂν οἰκειότερον διατεθείη, κυρίους τούτους γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας. Κακῶς εἰδότες, ὡς τοὺς μὲν θεραπεύοντας αὐτὸν ὑβρίζειν εἴθισται· πρὸς δὲ τοὺς ἀντιπραττομένους, καὶ καταφρονοῦντας τῆς ἐκείνου δυνάμεως, ἐκ παντὸς τρόπου διαλύεσθαι πειρᾶται τὰς διαφοράς.

Ταῦτα δὲ διῆλθον οὐκ ἀγνοῶν ὅτι λέγειν τινὲς τολμήσουσιν ὡς ἔξω τῆς ὑποθέσεως τοῖς λόγοις τούτοις ἐχρησάμην. Ἐγὼ δ' οὐδέποτ' ἂν οἶμαι τοῖς προειρημένοις οἰκειοτέρους ἂν λόγους ῥηθῆναι τούτων, οὐδ' ἐξ ὧν ἄν τις σαφέστερον ἐπιδείξειε τοὺς προγόνους ἡμῶν φρονιμωτέρους ὄντας περὶ τὰ μέγιστα, τῶν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Σπαρτιατῶν μετὰ τὸν πόλεμον τὸν πρὸς Ξέρξην διοικησάντων. Αὗται μὲν γὰρ ἂν φανεῖεν ἐν ἐκείνοις τε τοῖς χρόνοις, πρὸς μὲν τοὺς βαρβάρους εἰρήνην ποιησάμεναι, σφᾶς δ' αὐτὰς καὶ τὰς ἄλλας πόλεις ἀπολλύουσαι· νῦν τε τῶν Ἑλλήνων ἄρχειν ἀξιοῦσαι, πρὸς δὲ τὸν βασιλέα πρέσβεις πέμπουσαι περὶ φιλίας καὶ συμμαχίας. Οἱ δὲ τότε τὴν πόλιν οἰκοῦντες οὐδὲν τούτων ἔπραττον, ἀλλὰ

nos invicem hoſtiliores habemus animos, quàm in eos contrà quos bella gerimus. Cujus reì non parvum illud teſtimonium eſt, quòd nullâ de re deliberemus communi conſilio, ut utrique ſeorsìm ad illum mittamus legatos; ſperantes, utri eum magis propitium habuerint, in eorum poteſtate fore Græciæ dominatum; nec animadvertentes ſolere eum illos à quibus colitur contumeliosè excipere, cum iis autem qui adverſantur, & ejus potentiam contemnunt, omnem operam dare ut redeat in gratiam.

Hæc recenſui, quum ſatis ſcirem non defuturos qui objicere auderent ea quæ dixerim nihil ad inſtitutum pertinere. Ego verò nihil unquam eſſe dictum exiſtimo quod ſuprà dictis magis conveniat, aut quo manifeſtiùs demonſtretur majores noſtros maximis in rebus fuiſſe prudentiores iis qui tùm noſtram, tùm Spartanam civitatem, poſt bellum cum Xerxe geſtum gubernârunt. Conſtat enim eas & illis temporibus pacem cum Barbaris feciſſe, ſeque & alias civitates perdidiſſe; & nunc Græcis imperare velle, & legatos mittere ad regem de amicitiâ & ſocietate cum ipſo ineundâ. Verùm qui olìm noſtram urbem tenuerunt, nihil fecerunt hujuſ-

[l. 7.] Κακῶς εἰδότες, ὡς, reſolve, ut ſæpiùs aliàs, κακῶς εἰδότες, ϗ̀ οὐκ εἰδότες ὡς.

τοὐναντίον. Τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων οὕτως αὐτοῖς ἀπέχεσθαι σφόδρα δεδογμένον ἦν, ὥσπερ τοῖς εὐσεβέσι τῶν ἐν τοῖς ἱεροῖς ἀνακειμένων. Τὸν δὲ πόλεμον ὑπελάμβανον ἀναγκαιότατον μὲν καὶ δικαιότατον, τὸν μετὰ πάντων ἀνθρώπων πρὸς τὴν ἀγριότητα τὴν τῶν θηρίων γιγνόμενον· δεύτερον δὲ, τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς Βαρβάρους, τοὺς καὶ φύσει πολεμίους ὄντας, καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν. Τοῦτον δ' εἴρηκα τὸν λόγον οὐκ αὐτὸς εὑρὼν, ἀλλ' ἐκ τῶν ἐκείνοις πεπραγμένων συλλογισάμενος.

Ὁρῶντες γὰρ τὰς μὲν ἄλλας πόλεις ἐν πολλοῖς κακοῖς καὶ πολέμοις καὶ ταραχαῖς οὔσας, τὴν δ' αὑτῶν μόνην καλῶς οἰκουμένην, οὐχ ἡγήσαντο δεῖν τοὺς ἄμεινον τῶν ἄλλων φρονοῦντας καὶ πράττοντας, ἀμελεῖν οὐδὲ περιορᾶν τὰς τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολλυμένας· ἀλλὰ σκεπτέον εἶναι καὶ πρακτέον ὅπως ἁπάσας ἀπαλλάξουσι τῶν κακῶν τῶν παρόντων. Ταῦτα δὲ διανοηθέντες, τῶν μὲν ἧττον νοσουσῶν, πρεσβείαις καὶ λόγοις ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς· εἰς δὲ τὰς μᾶλλον στασιαζούσας, ἐξέπεμπον τῶν πολιτῶν τοὺς μεγίστην παρ' αὐτοῖς δόξαν ἔχοντας, οἳ περί τε τῶν παρόντων παρ' αὐταῖς πραγμάτων συνεβούλευον, καὶ συγγενόμενοι τοῖς τε δι' ἀπορίαν μὴ δυναμένοις ἐν ταῖς αὑτῶν ζῆν πα-

modi, ſed planè contrarium. Nam Græcis urbibus abſtinere, tàm conſtanter illis decretum fuit, quàm religioſis hominibus donariis templorum. Bellum autem id putabant maximè neceſſarium eſſe & juſtiſſimum, quod unà cum omnibus hominibus contrà belluarum immanitatem gereretur; proximum, id quod unà cum Græcis contrà Barbaros, qui & naturâ hoſtes eſſent & omni tempore nobis inſidiarentur. Atque hæc quæ dico non ipſe excogitavi, ſed ex majorum noſtrorum rebus geſtis ratiocinando collegi.

II. Nam quum viderent alias civitates in multis malis & bellis & turbis verſari, ſuam verò ſolam rectè adminiſtrari, non exiſtimârunt iis convenire qui & plus quàm alii ſaperent & feliciùs degerent, connivere ac pati cognatas urbes interire; ſed rationem ineundam & dandam operam ut univerſas malis urgentibus liberarent. Hæc cogitantes, diſſidia ſaniorum civitatum legationibus & diſceptationibus tollere ſtuduerunt. In eas verò quæ ſeditionibus magis laborabant, cives ſummæ apud ſe autoritatis miſerunt. Qui quidem illas in tali rerum ſtatu juvârunt conſiliis, & congreſſi tùm cum iis qui ob egeſtatem in patriâ vivere non pote-

---

[l. 6.] Pro γενόμενον, fortè legendum γεννησόμενον vel γιγνόμενον.

τρίσι, καὶ τοῖς χεῖρον γεγονόσιν ὧν οἱ νόμοι προστάττουσιν (οἵπερ ὡς ἐπὶ τὸ πολὺ λυμαίνονται τὰς πόλεις), ἔπειθον μεθ' αὐτῶν στρατεύεσθαι, καὶ βίον ζητεῖν βελτίω τοῦ νῦν παρόντος. Πολλῶν δὲ γινομένων τῶν ταῦτα βουλομένων καὶ πειθομένων, στρατόπεδα συνιστάντες ἐξ αὐτῶν, τούς τε τὰς νήσους κατέχοντας τῶν Βαρβάρων, καὶ τοὺς ἐφ' ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοικοῦντας καταστρεφόμενοι, καὶ πάντας ἐκβάλλοντες, τοὺς μάλιστα βίου δεομένους τῶν Ἑλλήνων κατῴκιζον. Καὶ ταῦτα πράττοντες καὶ τοῖς ἄλλοις ὑποδεικνύοντες διετέλουν, ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ κατῳκισμένας, ὥσπερ εἶπον, ὑφ' αὐτοὺς πεποιημένους. Μετὰ δὲ ταῦτα, τοῖς ἰδίοις ἠναγκάζοντο προσέχειν τὸν νοῦν.

Τί οὖν ἐστὶ τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας; τοῦτο γὰρ οἶμαι μάλιστα ποθεῖν ἀκοῦσαι τοὺς πολλούς· τοῖς μὲν Ἕλλησιν, εὐπορωτέρους γενέσθαι τὰ περὶ τὸν βίον, καὶ μᾶλλον ὁμονοεῖν, τοσούτων τὸ πλῆθος καὶ τοιούτων ἀνθρώπων ἀπαλλαγεῖσι· τοῖς δὲ Βαρβάροις, ἐκπίπτειν ἐκ τῆς αὐτῶν, καὶ φρονεῖν ἔλαττον ἢ πρότερον· τοῖς δ' αἰτίοις τούτων γεγενημένοις, εὐδοκιμεῖν, καὶ δι-

rant, tùm cum iis quorum insita ferocia legum decretis adversabatur (quod hominum genus civitatibus plerumque perniciosum est), persuaserunt ut secum proficiscerentur in militiam, & vitam hâc suâ meliorem quærerent. Quum igitur multi essent qui ea vellent ipsi, & qui suadentibus obtemperarent, & Barbaros qui insulas occupârant, & eos qui utramque Asiæ oram tenebant, quum debellassent omnes & ejecissent, egentissimos Græcorum ibi collocârunt. Hæc & ipsi agere, & aliis ad imitandum proponere, non destiterunt, donec audissent Spartanos Peloponnesi civitates, ut dixi, subegisse. Tùm verò sua tueri coacti sunt.

Quid igitur boni bella de colonis constituendis secutum est? hoc enim reor plerosque potissimùm audire velle. Nempè, ut Græci rebus ad vitam necessariis fierent instructiores, magisque consentirent, tantâ & tali multitudine hominum liberati; deindè ut Barbari è suâ ipsorum regione ejicerentur, & submissioribus animis essent quàm priùs; denique, ut harum rerum autores evaderent insignes,

---

[l. 18.] Καὶ πραγματείας, malim abesse has duas voces quæ mihi videntur sensum interturbare.

πλασίαν πεποιηκέναι τὴν Ἑλλάδα τῆς ἐξ ἀρχῆς συστάσης.

Μεῖζον μὲν οὖν εὐεργέτημα καὶ κοινότερον, τοῖς Ἕλλησι γεγενημένον παρὰ τῶν προγόνων τῶν ἡμετέρων, οὐκ ἂν δυναίμην ἐξευρεῖν. Οἰκειότερον δὲ τῇ περὶ τὸν πόλεμον ἐπιμελείᾳ, καὶ δόξης οὐκ ἐλάττονος ἄξιον, καὶ πᾶσι φανερὸν, ἴσως ἕξομεν εἰπεῖν.

Τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ ἀκήκοε τῶν τραγῳδιδασκάλων ἐν Διονυσίοις τὰς Ἀδράστῳ γενομένας ἐν Θηβαίοις συμφοράς; ὅτι κατάγειν βουληθεὶς τὸν Οἰδίπου μὲν υἱὸν, αὑτοῦ δὲ κηδεστὴν, παμπληθεῖς μὲν Ἀργείων ἀπώλεσεν, ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας, αὐτὸς δ' ἐπονειδίστως σωθεὶς, ἐπειδὴ σπονδῶν οὐχ οἷός τ' ἦν τυχεῖν, οὐδ' ἀνελέσθαι τοὺς τετελευτηκότας, ἱκέτης γενόμενος τῆς πόλεως, ἔτι Θησέως αὐτὴν διοικοῦντος, ἐδεῖτο μὴ περιιδεῖν τοιούτους ἄνδρας ἀτάφους γενομένους, μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον· ᾧ πάντες ἄνθρωποι χρώμενοι διατελοῦσιν, οὐχ ὡς ὑπ' ἀνθρωπίνης κειμένῳ φύσεως, ἀλλ' ὡς ὑπὸ δαιμονίας προστεταγμένῳ δυνάμεως. Ὧν ἀκούσας, οὐδένα χρόνον ἐπισχὼν, ἔπεμψε πρεσ-

[l. 9.] Pro τραγῳδιδασκάλων, fortè legendum

& Græciam facerent duplò majorem quàm initiò fuerat.

III. Ac majus quidem beneficium & communius, Græcis à nostris majoribus datum, reperire non possim: quod autem sit cum peritiâ rei militaris conjunctum magis, nec minore prædicatione dignum, & omnibus manifestum, fortè sumus habituri quod dicamus.

Quis enim ignorat, aut quis in festo Bacchanalium è tragicis actoribus non audivit calamitates quæ Adrasto ad Thebas contigerint. Qui Œdipi filium, suum generum, in regnum restituere conatus, maximas Argivorum copias amisit, principesque ipsarum duces omnes vidit interemptos. Ipse verò per dedecus servatus, quum non posset impetrare inducias, nec mortuos auferre ad sepulturam, supplex civitati nostræ factus, Theseo adhuc eam gubernante, oravit ne sineret tales viros insepultos jacere, & vetus institutum, patriamque legem, receptam apud universos homines, abrogari, quæ lex non mortali prodita ingenio, sed divino jussu imperata, videretur. Quæ quum Theseus audivisset, nullâ morâ interpositâ,

---

τραγῳδοδιδασκάλων.

βείαν εἰς Θήβας, περί τε τῆς ἀναιρέσεως συμβου-
λεύσοντας αὐτοῖς ὁσιώτερον βουλεύσασθαι, καὶ τὴν ἀπόκρισιν νομιμωτέραν ποιήσασθαι τῆς πρότερον γεγενημένης, κἀκεῖνο ὑποδείξοντας ὡς ἡ πόλις αὐτοῖς οὐκ ἐπιτρέψει παραβαίνουσι τὸν νόμον τὸν κοινὸν ἁπάντων Ἑλλήνων. Ἀκούσαντες δ' οἱ τότε κύριοι Θηβαίων ὄντες, οὐχ ὁμοίως ἔγνωσαν, οὔτε ταῖς δόξαις αἷς ἔχουσί τινες περὶ αὐτῶν, οὔθ' οἷς ἐβουλεύσαντο πρότερον· ἀλλὰ μετρίως περὶ αὐτῶν τε διαλεχθέντες, καὶ τῶν ἐπιστρατευσάντων κατηγορήσαντες, ἔδοσαν τῇ πόλει τὴν ἀναίρεσιν.

Καὶ μηδεὶς οἰέσθω με ἀγνοεῖν ὅτι τἀναντία λέγων τυγχάνω οἷς ἐν τῷ Πανηγυρικῷ λόγῳ φανείην ἂν περὶ τῶν αὐτῶν τούτων γεγραφώς, ἀλλὰ γὰρ οὐδένα νομίζω τῶν ταῦτα συνιδεῖν ἂν δυνηθέντων, τοσαύτης ἀμαθίας εἶναι καὶ φθόνου μεστὸν, ὅστις οὐκ ἂν ἐπαινέσειεν ἐμὲ καὶ σωφρονεῖν ἡγήσαιτο, τότε μὲν ἐκείνως, νῦν δ' οὕτως, διαλεχθέντα περὶ αὐτῶν. Περὶ μὲν οὖν τούτων οἶδ' ὅτι καλῶς γέγραφα καὶ συμφερόντως· ὅσον δ' ἡμῶν ἡ πόλις διέφερε τὰ περὶ τὸν πόλεμον κατ' ἐκεῖνον τὸν χρόνον (τοῦτο γὰρ ἀποδεῖξαι βουλόμενος, διῆλθον τὰ γενόμενα Θήβησιν) ἡγοῦμαι τὴν πρᾶξιν ἐκείνην ἅπασι σαφῶς δηλοῦν, τὴν τὸν μὲν βασιλέα τῶν Ἀργείων ἀναγκάσασαν ἱκέτην γενέσθαι τῆς πόλεως τῆς ἡμετέρας, τοὺς δὲ κυρίους

legatos

legatos Thebas misit qui suaderent ut & de reddendis cadaveribus sanctius inirent consilium, & æquius quàm anteà responsum darent, atque illud subindicarent nostram civitatem non permissuram ut ab ipsis communis omnium Græcorum lex violaretur. Hæc accipientes, qui tùm Thebis imperabant aliter statuerunt quàm & sentiunt plerique & ipsi priùs decreverant; sed quum modestè suam causam egissent, & accusassent eos à quibus essent oppugnati, nostræ civitati cadavera tollenda tradiderunt.

Ac nemo putet me nescire, quòd dicam contraria iis quæ in oratione panegyricâ de his ipsis scripsisse videar. Verùm existimo neminem eorum qui hæc perspicere potuerint, tantâ esse vecordiâ plenum & invidiâ, qui me non laudet, ac prudenter agere censeat, quòd tunc illo nunc hoc modo, de eis disseruerim. De his igitur scio me rectè scripsisse atque utiliter. Quantùm autem nostra civitas illo tempore bellicâ fortitudine præstiterit (nam ut hoc demonstrarem, ea recensui quæ Thebis facta sunt), id opinor omnibus illo ipso eventu planissimum esse, quo & rex Argivorum civitati nostræ supplex fieri coactus sit, & Thebanorum duces eò

ὄντας Θηβαίων οὕτω διατεθεῖσαν, ὥσθ' ἑλέσθαι μᾶλλον αὐτοὺς ἐμμεῖναι τοῖς λόγοις τοῖς ὑπὸ τῆς πόλεως ἐκπεμφθεῖσιν, ἢ τοῖς νόμοις τοῖς ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν· ὧν οὐδὲν ἂν οἷά τε ἐγένετο διοικῆσαι κατὰ τρόπον ἡ πόλις ἡμῶν, εἰ μὴ καὶ τῇ δόξῃ καὶ τῇ δυνάμει πολὺ διήνεγκε τῶν ἄλλων.

Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις καὶ περὶ τῶν προγόνων εἰπεῖν, σκοποῦμαι τίνα τρόπον διαλεχθῶ περὶ αὐτῶν. Μέλει γάρ μοι τούτων μᾶλλον ἢ τῶν ἄλλων· τυγχάνω γὰρ ὢν περὶ τὴν ὑπόθεσιν ἣν ἐποιησάμην τὸ τελευταῖον, ἐν ᾗ προεῖπον ὡς ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρτιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν. Ἔσται δ' ὁ λόγος παράδοξος μὲν τοῖς πολλοῖς, ὅμως δ' ἀληθὴς τοῖς ἄλλοις. Ἄρτι μὲν οὖν ἠπόρουν, πότερον διεξίω πρότερον τοὺς κινδύνους καὶ τὰς μάχας τὰς τῶν Σπαρτιατῶν ἢ τὰς τῶν ἡμετέρων· νῦν δὲ προαιροῦμαι λέγειν τὰς ἐκείνων, ἵν' ἐν ταῖς καλλίοσι καὶ δικαιοτέραις καταλύω τὸν λόγον τὸν περὶ τούτων.

Ἐπειδὴ γὰρ Δωριέων οἱ στρατευσάντες εἰς Πελοπόννησον, τριχῇ διείλοντο τὰς πόλεις, καὶ τὰς χώρας ἀφείλοντο τοὺς δικαίως κεκτημένους, οἱ μὲν Ἄργος λαχόντες καὶ Μεσήνην, παραπλησίως διῴ-

ſint redacti ut maluerint legatis à noſtrâ civitate miſſis, quàm legibus à Deo latis, obtemperare. Quorum certè illa nihil potuiſſet ſecundùm jus perficere, niſi & autoritate & potentiâ ceteris longè præſtitiſſet.

IV. Quum autem multa & præclara majorum facinora dicenda habeam, diſpicio quâ ratione de eis diſſeram. Hæc enim majori curæ mihi ſunt quàm reliqua: quippè verſor in ultimâ propoſiti mei parte, quo me prædixi oſtenſurum majores noſtros in bellis & præliis, magis quàm in ceteris omnibus, Spartanis antecelluiſſe. Erit autem hæc oratio ab opinione multorum abhorrens quidem, ſed non minùs vera tamen quàm ſuperiora. Ac primùm dubitabam utrùm dimicationes & pugnas Spartanorum antè noſtras recenſerem: nunc ab illis ordiri placet, ut ad finem diſputationis hujus facinora reſervem clariora ſimul & æquiora.

Poſteaquam enim Dorienſes in Peloponneſum cum exercitu profecti, urbes diviſerunt trifariàm, & agros à juſtis poſſeſſoribus eripuerunt, illi quidem qui Argos & Meſſenam ſortiti erant, eodem

---

[l. 17.] Ἄρτι, modò, non in ipsâ oratione, ſed in mente oratoris. Verti latinè, primùm.

κοινῇ τὰ σφέτερ' αὐτῶν τοῖς ἄλλοις Ἕλλησι. Τὸ δὲ τρίτον μέρος αὐτῶν, οὓς καλοῦμεν νῦν Λακεδαιμονίους, στασιάσαι μὲν φασὶν αὐτοὺς οἱ τὰ ἐκείνων ἀκριβοῦντες, ὡς οὐδένας ἄλλους τῶν Ἑλλήνων· περιγενομένους δὲ τοὺς μεῖζον τοῦ πλήθους φρονοῦντας, οὐδὲν τῶν αὐτῶν βουλεύσασθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα διαπεπραγμένοις· τοὺς μὲν γὰρ ἄλλους ὁμολογοῦντας συνοίκους ἔχειν τῇ πόλει τοὺς στασιάσαντας, καὶ κοινωνοὺς ἁπάντων πλὴν τῶν ἀρχῶν τε καὶ τιμῶν, οὐκ ἔχειν νοῦν οὐδ' εὖ φρονεῖν ἡγεῖσθαι Σπαρτιατῶν τοὺς νοῦν ἔχοντας, εἰ νομίζουσιν ἀσφαλῶς πολιτεύσεσθαι μετὰ τούτων οἰκοῦντες, περὶ οὓς τὰ μέγιστα τυγχάνουσιν ἐξημαρτηκότες· αὐτοὺς δ' οὐδὲν τούτων ποιεῖν, ἀλλὰ παρὰ σφίσι μὲν αὐτοῖς ἰσονομίαν καταστῆσαι, καὶ δημοκρατίαν τοιαύτην οἵανπερ χρὴ τοὺς μέλλοντας ἅπαντα τὸν χρόνον ὁμονοήσειν· τὸν δὲ δῆμον περιοίκους ποιήσασθαι, καταδουλωσαμένους αὐτῶν τὰς ψυχὰς οὐδὲν ἧττον ἢ τὰς τῶν οἰκετῶν· ταῦτα δὲ πράξαντας, τῆς χώρας ἧς προσῆ-

---

[l. 6.] Post οὐδὲν delevi περὶ quod est in vulg. sed abest à Cod. H, I, N. Cod. I reponit περὶ ad marginem.

[Ibid.] Βουλεύσασθαι regitur à φασὶν quod præcessit.

[l. 8 & seq.] Vulg. habet τοὺς μὲν γὰρ ἄλλους, συνοίκους ἔχειν τῇ πόλει τοὺς στασιάσαντας, καὶ κοινωνοὺς ἁπάντων πλὴν τῶν ἀρχόντων καὶ τῶν τιμῶν μετέχειν αὐτοὺς, οὐκ ἂν

ferè modo ſuas ipſorum res adminiſtrârunt quo ceteri Græci. Tertiam verò eorum partem, quos nunc dicimus Lacedæmonios, ità ſeditionibus laboraviſſe aiunt ii qui geſta ab illis accuratè inquiſiverunt, ut nullos aliorum Græcorum; eos autem qui animo erant elatiore quàm vulgus, quum ſuperiores evaſiſſent, non eadem conſilia cepiſſe poſt ſedatas ſeditiones, ac ii plerumque qui talia peregerunt: prudentiſſimos enim Spartanorum non exiſtimare ceteros qui adverſam factionem ſecum in eâdem urbe vivere, & omnium commodorum ſocietate, magiſtratibus & honoribus exceptis, frui patiuntur, prudentiâ donari & rectè ſentire, ſi arbitrentur nihil ſibi in republicâ ab iis eſſe periculi quos maximis injuriis affecerint: ipſos verò nihil tale feciſſe, ſed inter ſeſe æqualitatem & democratiam ejuſmodi conſtituiſſe, qualis deceat eos qui perpetuò concordes eſſe debeant, plebem autem circùm ſe in viciniâ collocaſſe; ſervitute oppreſſis illorum animis non minùs quàm famulorum: quæ quum feciſſent, agri, quem inter omnes æqualiter

---

φρονεῖν ἡγεῖσθαι εἰ μὴ ἐκρίθη Σπαρτιατῶν τοὺς νῦν ἔχοντας .... quod certè vitioſum eſt, & emendavi ut legitur, partìm ex Volſio, partìm ex meo. Ceterùm ἡγεῖσθαι regitur à φασὶν ut ſuprà diximus de βουλεύσασθαι.

[l. 14.] Ποιεῖν hunc etiam infinitivum & ſequentes refer ad φασίν.

μὲν ἴσον ἔχειν ἕκαστον, αὐτοὺς μὲν λαβεῖν ὀλίγους ὄντας, οὐ μόνον τὴν ἀρίστην, ἀλλὰ καὶ τοσαύτην ὅσην οὐδένες τῶν Ἑλλήνων ἔχουσι, τῷ δὲ πλήθει τηλικοῦτον ἀπονεῖμαι μέρος τῆς χειρίστης, ὥστ' ἐπιπόνως ἐργαζομένους μόλις ἔχειν τὸ καθ' ἡμέραν· μετὰ δὲ ταῦτα διελόντας τὸ πλῆθος αὐτῶν, ὡς οἷόν τ' ἦν εἰς ἐλάχιστον τόπον κατοικίσαι μικροὺς καὶ πολλούς, ὀνόμασι μὲν προσαγορευομένους ὡς πόλεις οἰκοῦντας, τὴν δὲ δύναμιν ἔχοντας ἐλάττω τῶν δήμων τῶν παρ' ἡμῖν· ἁπάντων δ' ἀποστερήσαντας αὐτοὺς ὧν προσήκει μετέχειν τοὺς ἐλευθέρους, τοὺς πλείστους ἐπιθεῖναι τῶν κινδύνων αὐτοῖς. Ἐν γὰρ ταῖς στρατείαις αἷς ἡγεῖτο βασιλεὺς, κατ' ἄνδρα ἠνάγκαζον συμπαρατάττεσθαι σφίσιν αὐτοῖς· ἐνίους δὲ καὶ τῆς πρώτης φάλαγγος ἠροῦντο προτάττειν. Ἐάν τέ που ἐδέησεν αὐτοὺς ἐκπέμψαι βοήθειαν, ἵνα βοηθῶσιν ἢ τοὺς πόνους, ἢ τοὺς κινδύνους, ἢ τὸ πλῆθος τοῦ χρόνου, τούτους ἀποστέλλειν ἤθελον προκινδυνεύσοντας τῶν ἄλλων. Καὶ τί δεῖ μακρολογεῖν πάσας διεξιόντα τὰς ὕβρεις, τὰς περὶ τὸ πλῆθος γιγνομένας, ἀλλὰ μὴ τὸ μέγιστον εἰπόντα τῶν

[l. 14.] Ἠνάγκαζον, deberet legi ἀναγκάζειν semper referendo ad φασὶν, sed hîc orator interrupit infinitivos, & ego quoque interrupi in versione meâ.

esse distributum oportuerat, ipsos qui pauci essent, non optimam duntaxat, sed & tantam vindicasse partem, quantam nulli Græcorum habeant; multitudini verò ità parùm deterrimæ terræ impertiisse, ut eam magno labore excolentes quotidianum victum vix extruderent: postea, divisâ omni multitudine, humiles & infimos in loco quàm fieri potuerit angustissimo conclusisse, iis nominibus appellatos quibus ii appellantur qui civitates incolunt, reverâ autem minùs habentes autoritatis quàm apud nos municipia: quum autem eis omnia eripuissent quæ liberis hominibus permittenda sunt, id egisse ut periculorum plurima ipsis incumberent. Nam in expeditionibus quas ducebat rex, eos cogebant viritìm in acie stare juxtà seipsos, nonnullos etiam deligebant qui antè primam phalangem collocarentur; & quum aliquò mittenda esset militum manus, qui labores sufferrent, vel pericula, vel diuturnas defatigationes, hos mittere moris erat, ut pro aliis adirent discrimina. Et quid opus est multis recensere omnes injurias quibus plebs afficitur? quin potiùs, prolato malorum maximo, cetera

---

[l. 17.] Ἐδέησεν, vulg. δεῆσαν.

[Ibid. & seq.] Βοηθῶσιν, nempè οἱ ἐκπεμπόμενοι. Βοηθεῖν τοὺς πόνους, τοὺς κινδύνους, τὸ πλῆθος τοῦ χρόνου, intelligo, succurrere sufferendo labores, pericula, longas & diuturnas defatigationes.

κακῶν, ἀπαλλαγῆναι τῶν ἄλλων; Τῶν γὰρ οὕτω μὲν ἐξ ἀρχῆς δεινὰ πεπονθότων, ἐν δὲ τοῖς παροῦσι καιροῖς χρησίμων ὄντων, ἔξεστι τοῖς Ἐφόροις ἀκρίτως ἀποκτεῖναι τοσούτους ὅσους ἂν βουληθῶσιν. Ἃ τοῖς Ἕλλησι τοῖς ἄλλοις οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν ὅσιόν ἐστι μιαιφονεῖν. . . .

. . . .

. . . .

Τούτου δ' ἕνεκα περὶ τῆς οἰκειότητος καὶ τῶν ἡμαρτημένων εἰς αὐτοὺς, διὰ πλειόνων διῆλθον, ἵν' ἔρωμαι τοὺς ἀποδεχομένους ἁπάσας τὰς Σπαρτιατῶν πράξεις, εἰ καὶ ταύτας ἀποδέχονται, καὶ τὰς μάχας εἶναι νομίζουσι καλὰς τὰς περὶ τούτους γεγενημένας. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλας μὲν αὐτὰς γεγενῆσθαι καὶ δεινὰς, καὶ πολλῶν αἰτίας, τοῖς μὲν ἡττηθεῖσι κακῶν, τοῖς δὲ κατορθώσασι λημμάτων· ὧνπερ ἕνεκα πολεμοῦντες ἅπαντα τὸν χρόνον διατελοῦσιν· οὐ μὴν ὁσίας, οὐδὲ καλὰς, οὐδὲ πρεπούσας τοῖς ἀρετῆς ἀντιποιουμένοις, μὴ τῆς ἐπὶ τῶν τεχνῶν ὀνομαζομένης καὶ πολλῶν ἄλλων, ἀλλὰ τῆς τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν ἐν ταῖς ψυχαῖς μετ' εὐσεβείας καὶ δικαιο-

---

[l. 5.] Ἃ τοῖς . . . . . . totum hunc locum explica, ἃ ποιῆσαι οὐκ ἐστὶν ὅσιον τοῖς Ἕλλησι τοῖς ἄλλοις, οὐχ ὅσιον ἐστὶ οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν μιαιφονεῖν.

[l. 6.] Post μιαιφονεῖν mihi videntur plurima deesse,

omittimus. Nam eorum qui & ab initio tantas acerbitates perpeſſi ſunt, & ad quaſvis occaſiones operam ità ſtrenuam navant, Ephoris licet, indictâ causâ, tot occidere quot libitum eis fuerit. Quam crudelitatem apud ceteros Græcos nefas eſt vel in perditiſſimos ſervos exercere.

De Spartanorum autem ſævitiâ in cives ſuos, & peccatis in eos admiſſis, ideò pluribus diſſerui ut interrogarem eos qui omnia ab illis geſta probant, num etiam hæc laudent, & prælia cum populis ſibi cognatis commiſſa, præclara autument. Equidem magna illa exiſtimo fuiſſe & terribilia, victisque ingentia mala, & victoribus emolumenta plurima, peperiſſe, propter quæ illi bella perpetuò gerunt; ſed neque ſancta, neque honeſta, neque decora iis qui virtutem illam ſibi vindicant, non quæ ex artibus & multis rebus aliis exiſtit, at veram virtutem quæ viris bonis & honeſtis cum pietate &

---

ideóque indicium poſui lacunæ longioris. Conſulantur ea quæ ad hujus voluminis calcem de hâc lacunâ diſſerui.

[l. 9.] Οἰκειότητος, interpretatus ſum quaſi legeretur ὠμότητος, ſed ſervavi οἰκειότητος, quod mihi videtur optimè jungi cum iis quæ deſunt.

[l. 13.] Non clarè liquet ad quod referatur τούτους, ego referendum arbitror ad Meſſenenſes & Argivos, Lacedæmoniorum cognatos, cum quibus illi ſemper bella geſſerunt. Ceterùm difficultas jungendi voces οἰκειότητος & τούτους cum iis quæ antecedunt, indicat hîc, ut jam dixi, deſiderari aliqua, quibus amotis ſenſus interrumpitur.

σύνης γιγνομένης, περὶ ἧς ἅπας ὁ λόγος ἐστίν. Ἧς ὀλιγωροῦντές τινες ἐγκωμιάζουσι τοὺς πλείω τῶν ἄλλων ἡμαρτηκότας, καὶ οὐκ αἰσθάνονται τὰς διανοίας ἐπιδεικνύντες τὰς σφετέρας αὐτῶν, ὅτι κἀκείνους ἂν ἐπαινέσειαν, τοὺς πλείω μὲν κεκτημένους τῶν ἱκανῶν, ἀποκτεῖναι δ᾽ ἂν τολμήσαντας τοὺς ἀδελφοὺς τοὺς αὐτῶν, καὶ τοὺς ἑταίρους, καὶ τοὺς κοινωνοὺς, ὥστε καὶ τἀκείνων λαβεῖν. Ὅμοια γὰρ τὰ τοιαῦτα τῶν ἔργων ἐστὶ τοῖς ὑπὸ Σπαρτιατῶν πεπραγμένοις· ἃ τοὺς ἀποδεχομένους, ἀναγκαῖόν ἐστι περὶ τῶν εἰρημένων ἄρτι τὴν αὐτὴν γνώμην ἔχειν.

Θαυμάζω δ᾽ εἴ τινες τὰς μάχας καὶ τὰς νίκας τὰς παρὰ τὸ δίκαιον γιγνομένας μὴ νομίζουσιν αἰσχίους εἶναι καὶ πλειόνων ὀνειδῶν μεστὰς, ἢ τὰς ἥττας τὰς ἄνευ κακίας συμβαινούσας· καὶ ταῦτ᾽ εἰδότες, ὅτι μεγάλαι δυνάμεις, πονηραὶ δὲ, πολλάκις γίγνονται κρείττους ἀνδρῶν σπουδαίων, καὶ κινδυνεύειν ὑπὲρ τῆς πατρίδος προαιρουμένων. Οὓς πολὺ δικαιότερον ἂν ἐπαινοίημεν, ἢ τοὺς περὶ τῶν ἀλλοτρίων ἀποθνήσκειν ἑτοίμως ἐθέλοντας, καὶ τοῖς ξενικοῖς στρατεύμασιν ὁμοίους ὄντας. Ταῦτα μὲν γάρ ἐστιν ἔργα πονηρῶν ἀνθρώπων· τὸ δὲ τοὺς χρηστοὺς ἐνίοτε χεῖρον ἀγωνίζεσθαι τῶν ἀδικεῖν βουλομένων, θεῶν ἄν τις ἀμέλειαν εἶναι φήσειεν. Ἔχοιμι δ᾽ ἂν τῷ λόγῳ τούτῳ χρῆσθαι

justitiâ in animis innascitur, de quâ omnis hæc oratio est. Quâ quidam neglectâ, eos laudant qui plura peccârunt quàm alii, nec animadvertunt se mentem suam aperire, ac illud præ se ferre quòd eos etiam laudaturi sint qui maximis quidem opibus polleant, sed & fratres suos & amicos & socios occidere non dubitarent, ut eorum quoque pecuniâ potirentur. Nam talia facinora similia sunt Spartanorum factis; quæ qui probant, eos necesse est idem de iis etiam sentire quæ modò commemoravimus.

Miror autem si qui sunt qui prælia & victorias præter jus & æquum partas, non esse turpiores, & pluribus probris abundare putent, quàm clades sine ignaviâ acceptas; præsertìm quum sciant magnos exercitus, licet ex sceleratis conflatos, sæpè superiores esse viris honestis, qui pro patriâ non dubitant periclitari: quos multò laudari justius est, quàm eos qui alienarum opum cupiditate mortem oppetere non recusant, conductitiis militibus similes. Hæc enim improborum hominum opera sunt: quòd autem boni viri nonnunquam infeliciùs quàm qui student injuriis inferendis, præliantur, id incuriæ Deorum fortassis est tribuendum. Atque hoc

καὶ περὶ τῆς συμφορᾶς τῆς Σπαρτιάταις ἐν Θερμοπύλαις γεγενημένης· ἣν ἅπαντες ὅσοιπερ ἀκηκόασιν, ἐπαινοῦσι καὶ θαυμάζουσι μᾶλλον, ἢ τὰς μάχας καὶ τὰς νίκας, τὰς κρατησάσας μὲν τῶν ἐναντίων, πρὸς οὓς δὲ οὐκ ἐχρῆν γεγενημένας. Ἃς εὐλογεῖν τινὲς τολμῶσι, κακῶς εἰδότες ὡς οὐδὲν οὔθ᾽ ὅσιον, οὔτε καλόν ἐστι, τὸ μὴ μετὰ δικαιοσύνης καὶ λεγόμενον καὶ πραττόμενον. Ὧν Σπαρτιάταις μὲν οὐδὲν πώποτ᾽ ἐμέλησε· βλέπουσι γὰρ εἰς οὐδὲν ἄλλο, πλὴν ὅπως πλεῖστα τῶν ἀλλοτρίων κατασχήσουσιν.

Οἱ δ᾽ ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδαζον, ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν. Ἡγοῦντο γὰρ οὐδεμίαν ἂν γενέσθαι κρίσιν ἀληθεστέραν, οὐδὲ δικαιοτέραν, τῆς ὑπὸ παντὸς τοῦ γένους γνωσθείσης. Δῆλοι δ᾽ ἦσαν οὕτως ἔχοντες ἔν τε τοῖς ἄλλοις, οἷς διῴκουν τὴν πόλιν, καὶ τοῖς περὶ τῶν κοινῶν πραγμάτων. Τριῶν γὰρ πολέμων γενομένων ἄνευ τοῦ Τρωϊκοῦ, τοῖς Ἕλλησι πρὸς τοὺς Βαρβάρους, ἐν ἅπασι τούτοις πρωτεύουσαν αὐτὴν παρέσχον. Ὧν εἷς μὲν ἦν ὁ πρὸς Ξέρξην, ἐν ᾧ πλέον διήνεγκαν Λακεδαιμονίων ἐν ἅπασι τοῖς κινδύνοις, ἢ κεῖνοι τῶν ἄλλων. Δεύτερος δὲ, ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν· εἰς ὃν Δωριέων

[l. 4.] Καὶ τὰς, pro καὶ vulg. ἢ.

etiam dici possit de calamitate à Spartanis acceptâ ad Thermopylas: quam quicumque audiverunt, laudant & mirantur magis quàm prælia & victorias quibus adversarii quidem sunt superati, sed & illi oppugnati quos minimè decuit. Et sunt tamen qui hæc laudare non erubescant, ignari scilicet nihil neque sanctum, neque honestum esse, nisi quod cum justitiâ & dicatur & fiat. Quæ res Spartanis curæ nunquam fuerunt. Nihil enim spectant aliud nisi ut aliena quàm plurima occupent.

V. Nostri verò nihil omnium rerum ità expetiverunt, nisi ut apud Græcos benè audirent; existimantes nullum posse judicium fieri vel verius vel æquius illo quod à totâ gente pronuntiatum esset. Eos autem ità sensisse, cùm ex aliis eorum actis in suâ ipsorum republicâ perspicitur, tùm è rebus pro incolumitate totius Græciæ gestis. Nam quum Græci tria bella præter Trojanum, cum Barbaris gesserint, in his omnibus suam civitatem principem exhibuerunt. Quorum unum extitit contrà Xerxem: in quo quidquid periculi fuit adeundum, præstantiores fuere Lacedæmoniis quàm illi aliis. Alterum eo tempore ortum est quo coloniæ condebantur; ad cujus societatem Doriensium nemo venit. Nostra

---

[l. 17 & 18.] Vulg. habet ἐ τοῖς τῶν πραγμάτων. Hìc certè deest aliquid quod supplevi ut legitur.

μὲν οὐδεὶς ἦλθε συμπολεμήσων. Ἡ δὲ πόλις ἡμῶν ἡγεμὼν καταστᾶσα τῶν οὐκ εὐπορούντων, καὶ τῶν ἄλλων βουλομένων, τοσοῦτον τὰ πράγματα μετέστησεν, ὥστ᾿ εἰθισμένων τῶν Βαρβάρων τὰς μεγίστας πόλεις τῶν Ἑλληνίδων καταλαμβάνειν, ἐποίησε τοὺς Ἕλληνας, ἃ πρότερον ἔπασχον, ταῦτα δύνασθαι ποιεῖν.

Περὶ μὲν οὖν τοῖν δυοῖν πολέμοιν, ἐν τοῖς ἔμπροσθεν ἱκανῶς ἡμῖν εἴρηται. Περὶ δὲ τοῦ τρίτου ποιήσομαι τοὺς λόγους· ὃς ἐγένετο τῶν μὲν Ἑλληνίδων πόλεων ἄρτι κατῳκισμένων, τῆς δ᾿ ἡμετέρας ἔτι βασιλευομένης. Ἐφ᾿ ὧν καὶ πόλεμοι πλεῖστοι, καὶ κίνδυνοι μέγιστοι, συνέβησαν· οὓς ἅπαντας μὲν οὔτ᾿ ἂν εὑρεῖν οὔτ᾿ ἂν εἰπεῖν δυνηθείην. Παραλιπὼν δὲ τὸν πλεῖστον ὄχλον τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων, ῥηθῆναι δὲ νῦν οὐ κατεπειγόντων, ὡς ἂν δύνωμαι συντομώτατα πειράσομαι δηλῶσαι τούς τ᾿ ἐπιστρατεύσαντας τῇ πόλει, καὶ τὰς μάχας τὰς ἀξίας μνημονευθῆναι, καὶ τοὺς ἡγεμόνας αὐτῶν τοὺς ῥηθῆναι ἀξίους, ἔτι δὲ τὰς προφάσεις ἃς ἔλεγον, καὶ τὴν δύναμιν τῶν χωρῶν τῶν συνακολουθησάντων αὐτοῖς. Ἱκανὰ γὰρ ἔσται ταῦτ᾿ εἰπεῖν πρὸς ἃ περὶ τῶν ἐναντίων εἰρήκαμεν.

[l. 2 & 3.] Velim legi cum Battie καὶ τῶν ἄλλων τῶν

autem civitas ſe ducem profeſſa eorum qui opibus egebant, aliorumque quotquot vellent, res ità mutavit, ut, quum Barbari ſoliti fuiſſent maximas quasque Græcarum urbium occupare, ipſa effecerit ut Græci ea poſſent facere quæ patiebantur.

Ac de his quidem duobus bellis ſatis anteà dixi: nunc de tertio verba faciam, quod conflatum eſt quum & urbes Græcæ nuper conditæ eſſent, & noſtra civitas adhuc regibus pareret. Quibus temporibus, & bella plurima & maxima pericula contigerunt, quæ omnia neque cogitatione complecti, neque oratione explicare queam. Omiſſis igitur eorum plurimis quæ tùm facta ſunt, eadem quæ dictu non ità nunc neceſſaria, quàm breviſſimè potero referre conabor, tùm eos qui in noſtram urbem infeſtis armis iverunt, tùm pugnas memorabiles, ducesque hoſtium celeberrimos, tùm cauſas quas illi prætexebant, potentiamque gentium quæ ipſos ſecutæ ſunt. Hæc enim erunt ſatis multa quæ comparentur cum iis quæ de noſtris æmulis retulimus.

βȣλομένων.

[l. 12.] Ἐφ᾽ ὧν, ſubaudi χρόνων.

[l. 19 & 20.] In vulgatâ legitur ἐκ ρηθῆναι τȣ̀ς ἡγεμόνας ἡμῶν, quod quum nullum ſenſum exhibeat, emendavi ſupplendo aliquid.

[l. 23.] Hîc οἱ ἐνάντιοι non HOSTES, ſed ii qui de laude cum aliis contendunt, i. e. æmuli.

Θρᾶκες μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος ἐνέβαλον εἰς τὴν χώραν ἡμῶν· ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως, φάσκων Ποσειδῶνα πρότερον Ἀθηνᾶς καταλαβεῖν αὐτήν. Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν ἐξ Ἄρεως γενέσθαι λεγομένων· αἳ τὴν στρατείαν ἐπ' Ἀντιόπην τὴν Ἱππολύτης ἐποίησαν· τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κειμένους, ἐρασθεῖσάν τε Θησέως, καὶ συνακολουθήσασαν ἐκεῖθεν, καὶ συνοικήσασαν αὐτῷ. Πελοποννήσιοι δὲ μετ' Εὐρυσθέως· ὃς Ἡρακλεῖ μὲν οὐκ ἔδωκε δίκην ὧν ἥμαρτεν εἰς αὐτὸν, στρατεύσας δὲ ἐπὶ τοὺς ἡμετέρους προγόνους, ὡς ἐκληψόμενος τοὺς ἐκείνου παῖδας (παρ' ἡμῖν γὰρ ἦσαν καταπεφευγότες), ἔπαθεν ἃ προσῆκεν αὐτόν. Τοσούτου γὰρ ἐδέησε κρατήσας κύριος γενέσθαι τῶν ἱκετῶν, ὥσθ' ἡττηθεὶς μάχῃ, καὶ ζωγρηθεὶς ὑπὸ τῶν ἡμετέρων, αὐτὸς ἱκέτης γενόμενος τούτων οὓς ἐξαιτήσων ἦλθε, τὸν βίον ἐτελεύτησε. Μετὰ δὲ τοῦτον οἱ πεμφθέντες ὑπὸ Δαρείου τὴν Ἑλλάδα πορθήσοντες, ἀποβάντες ἐπὶ Μαραθῶνι, πλείοσι κακοῖς καὶ μείζοσι συμφοραῖς περιπεσόντες ὧν ἤλπισαν τὴν πόλιν ἡμῶν ποιήσειν, ᾤχοντο φεύγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος.

[l. 6 & 7.] Τὴν Ἱππολύτης, scilicet ἀδελφήν. Justinus Menalippen & Hippolyten Antiopes sorores facit, &

Nam

Nam Thraces cum Eumolpo, Neptuni filio, in agros nostros irruperunt; qui, cum Erectheo de urbe contendens, Neptunum priùs eam occupasse quàm Minervam asserebat: Scythæ cum Amazonibus, quæ Martis filiæ dicebantur, & ob Antiopam, sororem Hippolytæ, bellum inferebant; quæ, patriis legibus violatis, Thesei amore capta, & indè eum secuta, ac nupta illi fuerat: Peloponnenses cum Eurystheo; qui, quum Herculi pœnas injuriarum ipsi illatarum non dedisset, bello contrà majores nostros suscepto ut ejus liberos hinc abduceret (ad nos enim confugerant), ea pertulit quæ merebatur. Tantùm enim abfuit ut quos litteris depoposcerat, supplices in potestatem suam redegerit, ut, prælio superatus, & captus à nostris, ipse supplex illis factus quos sibi dedendos postulârat, occubuerit. Post hæc, qui missi à Dario fuerant ad vastandam Græciam, quum ad Marathonem exscendissent, plurimis malis & majoribus cladibus acceptis quàm ipsi nostræ urbi se allaturos sperârant, fugâ se ex universâ Græciâ proripuerunt.

---

expeditionem Orithyæ adscribit, ex quo legendum conjicio, inverso ordine, Ἱππολύτην τὴν Ἀντιόπης. Attamen Pausanias in Atticis cum Isocrate consentit. Ità Vossius. Forsitan legendum τὴν Ἱππολύτου, subaudiendo μητέρα. Deindè pro ἐποίησαν ego velim legi ἐποιήσαντο.

Τούτους δ᾽ ἅπαντας οὓς διῆλθον, οὐ μετ᾽ ἀλλήλων εἰσβαλόντας, οὐδὲ κατὰ τοὺς αὐτοὺς χρόνους, ἀλλ᾽ ὡς οἵ τε καιροὶ, καὶ τὸ συμφέρον ἑκάστοις, καὶ τὸ συμβουλεύσασθαι συνέπιπτε, μάχῃ νικήσαντες, καὶ τῆς ὕβρεως παύσαντες, οὐκ ἐξέστησαν αὐτῶν, τηλικαῦτα διαπραξάμενοι τὸ μέγεθος· οὐδ᾽ ἔπαθον ταὐτὸ τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως βουλεύσασθαι, καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς κτησαμένοις, διὰ δὲ τὰς ὑπερβολὰς τὰς τούτων, ὑπερηφάνοις γενομένοις, καὶ τὴν φρόνησιν διαφθαρεῖσι, καὶ κατενεχθεῖσιν εἰς χείρω πράγματα καὶ ταπεινότερα τῶν πρότερον αὐτοῖς ὑπαρχόντων. Ἀλλὰ, ταῦτα πάντα διαφυγόντες, ἐνέμειναν τοῖς ἤθεσιν οἷς εἶχον, διὰ τὸ πολιτεύεσθαι καλῶς· μεῖζω φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς ἕξει, καὶ ταῖς διανοίαις ταῖς ἑαυτῶν, ἢ ταῖς μάχαις ταῖς γεγενημέναις· καὶ μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμαζόμενοι διὰ τὴν καρτερίαν ταύτην καὶ σωφροσύνην, ἢ διὰ τὴν ἀνδρίαν τὴν ἐν τοῖς πόνοις καὶ κινδύνοις αὐτοῖς παραγεγενημένην. Ἑώρων γὰρ ἅπαντες τὴν μὲν εὐψυχίαν τὴν πολεμικὴν πολλοὺς ἔχοντας, καὶ τῶν τῆς κακίας ὑπερβαλλόντων· τῆς δὲ χρησίμης ἐπὶ πᾶσι, καὶ πάντας δυναμένης ὠφελεῖν, οὐ κοινωνοῦντας τοὺς πονηροὺς, ἀλλὰ μόνοις ἐγγινομένην τοῖς καλῶς γεγονόσι, καὶ τεθραμμένοις, καὶ πε-

His omnibus igitur quos recensui, qui non unà invaserunt, nec iisdem temporibus, sed ut & occasiones & utilitates singulorum & consilia tulerant; prælio superatis, illorumque injuriis propulsatis, non à statu suo post tantas res gestas nostri majores declinârunt, neque id eis accidit, quod iis qui, quum prudenter consulendo magnas opes insignemque gloriam sint consecuti, ob successuum magnitudinem elati superbiâ & amissâ sanâ mente, in deteriorem etiam & humiliorem priore fortunam deferuntur. Verùm, his omnibus evitatis, instituta vetera, ob rectam reipublicæ administrationem, retinuerunt; magis confidentes animi sui virtute suâque prudentiâ, quàm præliis commissis, majoremque admirationem apud alios adepti ob constantiam hanc & sobrietatem, quàm ob tolerantiam laborum & periculorum. Universi enim videbant multos etiam flagitiis coopertos fortitudine bellicâ præditos esse; eâ autem sapientiâ quæ rebus in omnibus sit utilis, & omnes juvare possit, destitutos esse improbos; & hanc propriam eorum esse laudem qui sunt benè nati, benè educati, benè

[l. 18.] *Θαυμαζόμενοι*, vulg. *θαυμάζεσθαι*.
[l. 23.] *Τῆς δὲ χρησίμης*, adde vel subaudi *σωφροσύνης*.
[l. 25.] Post *ἀλλὰ* subaudi *ταύτην*.

πεπαιδευμένοις. Ἅπερ προσῆν τοῖς τότε τὴν πόλιν διοικοῦσι, καὶ τῶν προειρημένων ἀγαθῶν ἁπάντων αἰτίοις καταστᾶσι.

Τοὺς μὲν οὖν ἄλλους ὁρῶ περὶ τὰ μέγιστα τῶν ἔργων καὶ μάλιστα μνημονευθησόμενα τοὺς λόγους καταλύοντας. Ἐγὼ δὲ σωφρονεῖν μὲν νομίζω τοὺς ταῦτα γινώσκοντας καὶ πράττοντας· οὐ μὴν συμβαίνει μοι ταὐτὸ ποιεῖν ἐκείνοις, ἀλλ' ἔτι λέγειν ἀναγκάζομαι. Τὴν δ' αἰτίαν δι' ἣν ποιῶ, ὕστερον ἐρῶ, μικρὰ πάνυ περὶ αὐτῶν διαλεχθείς.

Ἐπηνώρθουν μὲν γὰρ τὸν λόγον, τὸν μέχρι τῶν ἀναγνοσθέντων γεγραμμένον, μετὰ μειρακίων τριῶν ἢ τεττάρων, τῶν εἰθισμένων μοι συνδιατρίβειν. Ἐπειδὴ δὲ διεξιοῦσιν ἡμῖν ἐδόκει καλῶς ἔχειν, καὶ προσδεῖσθαι τελευτῆς μόνον, ἔδοξέ μοι μεταπέμψασθαί τινα τῶν ἐμοὶ μὲν πεπλησιακότων, ἐν ὀλιγαρχίᾳ δὲ πεπολιτευμένων, προῃρημένων δὲ Λακεδαιμονίους ἐπαινεῖν, ἵν' εἴ τι παρέλαθεν ἡμᾶς ψευδῶς εἰρημένον, ἐκεῖνος καθιδὼν δηλώσειεν ἡμῖν. Ἐλθὼν δ' ὁ κληθεὶς, καὶ διαναγνοὺς τὸν λόγον (τὰ γὰρ μεταξὺ τί δεῖ λέγοντα διατρίβειν;) ἐδυσχέρανε μὲν οὐδενὶ

[l. 22.] Διαναγνοὺς, habent διαγνοὺς Ald. & codex X.

instituti : cujuſmodi fuiſſe illos dico qui tunc adminiſtrârunt civitatem, quique autores fuere omnium bonorum ſuprà commemoratorum.

EPILOGUS.

Equidem video alios maximis facinoribus & imprimis memorabilibus concludere ſolere orationes. Ego verò eos qui ſic judicant & agunt, ſapere arbitror; ſed tamen ità accidit ut aliter faciam, & dicere cogar ulteriùs. Quod cur à me fiat paulò poſt oſtendam, ubi pauca admodùm de iis priùs dixero.

Inducitur quidam Laconum fautor qui Lacedæmonios defendere aggreditur.

Tantam hujus orationis partem perſcriptam, quanta jam recitata eſt, corrigebam cum adoleſcentibus tribus aut quatuor, familiariter mecum vivere ſolitis. Quæ quum, nobis recenſentibus probata, concluſione tantùm indigere videretur, mihi viſum eſt quemdam accerſere qui ex meis diſcipulis fuerat, aliquem eorum qui in oligarchiâ acceſſerant ad rempublicam, & laudandis Lacedæmoniis impensè ſtudebant; ut, ſi quid fortè falsò dictum nos præteriiſſet, id ille animadverſum nobis indicaret. Venit igitur is vocatus, & perlectâ oratione (nam quæ alia interceſſerunt quid multis dicere attinet?) ceterorum quæ ſcripſeram nihil moleſtè fe-

τῶν γεγραμμένων, ἐπῄνεσε δ᾽ ὡς δυνατὸν μάλιστα, καὶ διελέχθη περὶ ἑκάστου τῶν μερῶν παραπλησίως οἷς ἡμεῖς ἐγινώσκομεν. Οὐ μὴν ἀλλὰ φανερὸς ἦν οὐχ ἡδέως ἔχων ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις. Ἐδήλωσε δὲ διὰ ταχέων· ἐτόλμησε γὰρ εἰπεῖν ὡς εἰ καὶ μηδὲν ἄλλο πεποιήκασι τοὺς Ἕλληνας ἀγαθὸν, ἀλλ᾽ οὖν ἐκεῖνό γε οὗ δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιεν, ὅτι τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων εὑρόντες αὐτοί τ᾽ ἐχρῶντο, καὶ τοῖς ἄλλοις κατέδειξαν.

Τοῦτο δὲ ῥηθὲν οὕτω βραχὺ καὶ μικρὸν, αἴτιον ἐγένετο, τοῦ μήτε καταλῦσαί με τὸν λόγον ἐφ᾽ οἷς ἐβουλήθην, ὑπολαβεῖν τε ὡς αἰσχρὸν ποιήσω καὶ δεινὸν, εἰ παρὸν περιόψομαί τινα τῶν ἐμοὶ πεπλησιακότων, πονηροῖς λόγοις χρώμενον. Ταῦτα δὲ διανοηθεὶς, ἠρόμην αὐτὸν εἰ μηδὲν φροντίζει τῶν παρόντων, μηδ᾽ αἰσχύνεται λόγον εἰρηκὼς ἀσεβῆ, καὶ ψευδῆ, καὶ πολλῶν ἐναντιώσεων μεστόν. Γνώσῃ δὲ ὡς ἔστι τοιοῦτος, ἢν ἐρωτήσῃς τινὰς τῶν εὖ φρονούντων, ὁποῖα τῶν ἐπιτηδευμάτων κάλλιστ᾽ ἂν νομίζωσιν εἶναι· καὶ μετὰ ταῦτα, πόσος χρόνος ἐστὶν ἐξ οὗ Σπαρτιᾶται τυγχάνουσιν ἐν Πελοποννήσῳ κατοικοῦντες. Οὐδεὶς γὰρ ὅστις οὐχὶ τῶν ἐπιτηδευμάτων προκρίνει τὴν εὐσέβειαν τὴν περὶ τοὺς θεοὺς,

[l. 8.] Post γε addidi οὗ ut benè constet phrasis.

rebat, ſed & laudabat quàm maximè, & de ſingulis partibus eadem ferè dicebat quæ nos quoque ſentiebamus. Satis apparebat tamen illi non placere ea quæ dixeramus de Lacedæmoniis; idque mox oſtendit. Auſus eſt enim dicere, etiamſi nullum aliud in Græcos beneficium contuliſſent, ob illud tamen eis jure omnes gratiam habituros quòd inventa à ſe pulcherrima inſtituta & uſurpaſſent ipſi & aliis demonſtraſſent.

Lacōnum fautorem refutat Iſocrates.

10. Hoc autem dictum adeò brevè & exiguum, in causâ fuit ne ibi finirem orationem ubi decreveram, ac turpe fore ducerem, minimèque ferendum, ſi quemquam ex meis diſcipulis in conſpectu meo verbis improbis uti paterer. Hæc cogitans, iſtum interrogabam nihilne curaret eos qui adeſſent, nec impia & falſa & multis contradictionibus referta dicere erubeſceret. Intelliges autem, inquam, rem ità eſſe, ſi prudentiores interrogâris quæ inſtituta pulcherrima eſſe putent; deindè quantùm temporis effluxerit, ex quo Spartani in Peloponneſo conſederunt. Nemo eſt enim quin pietatem ergà Deos, & juſtitiam ergà homines, &

[l. 12.] Ἐφ' οἷς, vulg. ἐφ' ὅν. Cod. N habet ἐφ' ὅ.

καὶ τὴν δικαιοσύνην τὴν περὶ τοὺς ἀνθρώπους, καὶ τὴν φρόνησιν τὴν περὶ τὰς ἄλλας πράξεις· Σπαρτιάτας δ᾽ ἐνταῦθα κατοικεῖν οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακοσίων. Τούτων δὲ οὕτως ἐχόντων, εἰ μὲν σὺ τυγχάνεις ἀληθῆ λέγων, τούτους φάσκων εὑρετὰς γεγενῆσθαι τῶν καλλίστων ἐπιτηδευμάτων, ἀναγκαῖόν ἐστι τοὺς πολλαῖς γενεαῖς πρότερον γεγονότας πρὶν Σπαρτιάτας ἐνταῦθα κατοικῆσαι, μὴ μετέχειν αὐτῶν, μήτε τοὺς ἐπὶ Τροίαν στρατευσαμένους, μήτε τοὺς περὶ Ἡρακλέα καὶ Θησέα γεγονότας, μήτε Μίνω τὸν Διός, μήτε Ῥαδάμανθυν, μήτε Αἰακόν, μήτε τῶν ἄλλων μηδένα τῶν νῦν ὑμνουμένων ἐπὶ τῆς ἀρετῆς ταύτης· ἀλλὰ ψευδῆ τὴν δόξαν ταύτην ἅπαντας ἔχειν. Εἰ δὲ σὺ μὲν φλυαρῶν τυγχάνεις, προσήκει δὲ καὶ τοὺς ἀπὸ θεῶν γεγονότας, καὶ κεχρῆσθαι ταύταις μᾶλλον τῶν ἄλλων, καὶ καταδεῖξαι τοῖς ἐπιγινομένοις, οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς ἀκούουσιν, οὕτως εἰκῇ καὶ παρανόμως, οὓς ἂν τύχῃς, ἐπαινῶν, οἷς δὲ ἐπιτιμᾶν δέον, εὐλογῶν αὐτούς, ὡς μηδὲν ἀκηκοὼς τῶν ἐμῶν. Ἐλήρεις μὲν γὰρ καὶ πρὶν ἄν, οὐ μὴν ἐναντία γε λέγων ἐφαίνου σαυτῷ. Νῦν δ᾽ ἐπηνηκότι τὸν ἐμὸν λόγον,

[l. 20 & 21.] Εὐλογῶν, vulg. εὐλογεῖς. Deindè antè μὲν deest ὡς in vulgatâ. Addidi cum Battie & edit. Bas.

prudentiam in aliis rebus, omnium pulcherrima instituta esse censeat: Spartanos autem dicent omnes non ampliùs septingentis annis eum locum tenuisse. Quæ quum ità sint, si quidem tu vera prædicas, quum pulcherrima instituta hos invenisse dicis, necesse est eos qui multis antè sæculis fuerunt quàm Spartani sedes istas occuparent, eorum institutorum participes non fuisse, nec eos qui ad Trojam militârunt, nec eos qui Herculis & Thesei temporibus nati sunt, nec Minoem Jovis filium, nec Rhadamanthum, nec Æacum, nec ceterorum quemquam qui propter hasce virtutes nunc celebrantur, sed omnes illos hâc gloriâ falsâ frui. Si verò tu nugaris, & omninò par est ut diis geniti & eas magis exercuerint quàm alii, & posteris imitandas proposuerint; fieri non potest quin furere non videaris omnibus audientibus, qui adeò temerè quosvis & iniquè laudes, & eos commendes qui reprehendendi erant, quasi quid ego dixissem planè non audivisses. Nam delirasses & tùm quoque; at non tibi ipsi contraria dicere videreris. Nunc quum ipse laudaveris meam orationem, in

---

[l. 23.] Vulg. *νῦν δὴ ἐπιτετευχότι μοι τὸν .....* legi *νῦν δὴ ἐπῃνηκότι τὸν*, & eò libentiùs admisi *ἐπῃνηκότι* quòd dictum fuerit pag. 566, l. 1, *ἐπῄνησε δὴ ὡς δυνατὸν μάλιστα.*

τὸν ἐπιδεικνύντα πολλὰ καὶ δεινὰ Λακεδαιμονίους περί τε τοὺς συγγενεῖς τοὺς ἑαυτῶν καὶ περὶ τοὺς ἄλλους Ἕλληνας διαπεπραγμένους, πῶς οἷόν τ' ἦν ἔτι λέγειν τοὺς ἐνόχους ὄντας τούτοις, ὡς τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνες γεγόνασι.

Πρὸς δὲ τούτοις κἀκεῖνο ἐθαύμαζον, εἰ λέληθεν αὐτὸν ὅτι τὰ παραλελειμμένα τῶν ἐπιτηδευμάτων, καὶ τῶν τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐχ οἱ τυχόντες εὑρίσκουσιν, ἀλλ' οἱ τάς τε φύσεις διαφέροντες, καὶ μαθεῖν πλεῖστα τῶν πρότερον εὑρημένων δυνηθέντες, καὶ προσέχειν τὸν νοῦν τῷ ζητεῖν μᾶλλον τῶν ἄλλων ἐθελήσαντες. Ὧν Λακεδαιμόνιοι πλεῖστον ἀπέχουσι τῶν Βαρβάρων. Οἱ μὲν γὰρ ἂν φανεῖεν πολλῶν εὑρημάτων καὶ μαθηταὶ καὶ διδάσκαλοι γεγονότες· οὗτοι δὲ τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν, ὥστ' οὐδὲ γράμματα μανθάνουσιν, ἃ τηλικαύτην ἔχει δύναμιν, ὥστε τοὺς ἐπισταμένους αὐτὰ, καὶ χρωμένους ὀρθῶς αὐτοῖς, μὴ μόνον ἐμπείρους γίγνεσθαι τῶν ἐπὶ τῆς ἡλικίας τῆς αὐτῶν πραχθέντων, ἀλλὰ καὶ τῶν πώποτε γενομένων. Ἀλλ' ὅμως σὺ καὶ τοὺς τῶν ἰδιωτῶν ἀμαθεῖς ὄντας ἐτόλμησας εἰπεῖν, ὡς εὑρεταὶ τῶν καλλίστων παιδευμάτων γεγόνασι· καὶ ταῦτ' εἰδὼς, ὅτι τοὺς παῖδας τοὺς ἑαυτῶν ἐθίζουσι περὶ

quâ oſtendo multa crudeliter & nefariè Lacedæmonios & in cognatos ſuos & alios Græcos feciſſe, quî tibi dicere licuit eos qui his criminibus obnoxii ſunt pulcherrimorum inſtitutorum principes extitiſſe?

Præterea illud etiam mirabor, ſi ipſe ignoraret ea quæ vel inſtitutis, vel artibus, vel aliis quibuslibet rebus deſint, non quoſvis reperire, ſed eos qui & excellunt ingeniis, & è veteribus inventis potuerunt plurima diſcere, & ad nova inveſtiganda magis quàm alii animum applicare voluerunt: à quibus rebus Lacedæmonii multò Barbaris ſunt remotiores. Nam hos quidem conſtabit multorum inventorum & diſcipulos & doctores fuiſſe. Iſti verò tàm longè abſunt à communi inſtitutione & ſtudiis vulgaribus, ut ne diſcant quidem litteras, quæ tantam vim habeant, ut qui eas pulchrè callent & eis rectè utuntur, non ea cognoſcant ſolùm quæ ſuâ ipſorum ætate gerantur, ſed quæ unquam geſta ſint. Tu tamen earum ignaros, pulcherrimarum diſciplinarum inventores eſſe affirmare non dubitaſti, quamvis ſcires ipſos eis exercitationibus

---

[l. 4.] Vulg. ἐπὶ, legi ἔτι cum Cod. N, Baſ. & Battie.

[l. 14 & 15.] Pro πλεῖστον forſan leg. πλεῖον, niſi per πλεῖστον τῶν Βαρβάρων orator intelligat πολλῷ πλεῖον ἤπερ οἱ Βάρβαροι.

τοιαύτας πραγματείας διατρίβειν, ἐξ ὧν ἐλπίζουσιν αὐτοὺς οὐκ εὐεργέτας γενήσεσθαι τῶν ἄλλων, ἀλλὰ κακῶς ποιεῖν μάλιστα δυνήσεσθαι τοὺς Ἕλληνας.

Καὶ ἁπάσας μὲν διεξιὼν, πολὺν ὄχλον ἐμαυτῷ τ' ἂν παράσχοιμι καὶ τοῖς ἀκούουσι· μίαν δὲ μόνον εἰπὼν ἣν ἀγαπῶσι, καὶ περὶ ἣν μάλιστα σπουδάζουσιν, οἶμαι δηλώσειν ἅπαντα τὸν τρόπον αὐτῶν. Ἐκεῖνοι γὰρ καθ' ἑκάστην ἡμέραν, εὐθὺς ἐξ εὐνῆς προπέμπουσι τοὺς παῖδας, μεθ' ὧν ἂν ἕκαστοι βουληθῶσι, λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ' ἐπὶ κλοπίαν τῶν ἐν τοῖς ἀγροῖς κατοικούντων. Ἐν ᾗ συμβαίνει τοὺς μὲν ληφθέντας ἀργύριον ἀποτίνειν καὶ πληγὰς λαμβάνειν· τοὺς δὲ πλεῖστα κακουργήσαντας καὶ λαθεῖν δυνηθέντας, ἔν τε τοῖς παισὶν εὐδοκιμεῖν μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ' εἰς ἄνδρας συντελῶσιν, ἢν ἐμμείνωσι τοῖς ἤθεσιν οἷς παῖδες ὄντες ἐμελέτησαν, ἐγγὺς εἶναι τῶν ἀρχῶν τῶν μεγίστων. Καὶ ταύτης ἤν τις ἐπιδείξῃ παιδείαν μᾶλλον ἀγαπωμένην, ἢ σπουδαιοτέραν παρ' αὐτοῖς εἶναι νομιζομένην, ὁμολογῶ μηδὲν εἰρηκέναι μηδὲ περὶ ἑνὸς πώποτε πράγματος. Καίτοι τί τῶν τοιούτων ἔργων καλὸν ἐστὶν ἢ σεμνὸν, ἀλλ' οὐκ αἰσχύνης ἄξιον; πῶς δ' οὐκ ἀνοήτους χρὴ νομίζειν τοὺς ἐπαινοῦντας τοὺς τοσοῦτον τῶν νόμων τῶν κοινῶν διεστηκό-

liberos ſuos aſſuefacere, per quas ſperent eos aliis non eſſe benefacturos, ſed Græcis maxima detrimenta importaturos.

2°. Quas ſi omnes percenſere velim, magnum & mihi ipſi & auditoribus parerem faſtidium. Sed quum unam duntaxat recitâro, quam amant & ſtudio imprimis habent, omne illorum ingenium & mores me declaraturum arbitror. Illi enim quotidie pueros, mox à lecto, cum quibus ſinguli voluerint, mittunt verbo ad venationem, reverâ ad eos furto ſpoliandos qui ruri habitant: in quo accidit ut deprehenſi nummos ſolvant, & plagas accipiant. Qui verò plurima flagitia & furta admiſerunt ſolertiſſimè, evenit ut hi tùm inter pueros ſint celebriores, tùm viri facti, ſi in illis permanſerint ſtudiis quæ pueri meditati erant, viam ſibi ad ſummos magiſtratus fecerint planiorem. Quòd ſi quis oſtenderit diſciplinam ullam eſſe apud eos majori curæ aut in majore pretio, fatebor me nihil unquam ullâ de re dixiſſe. Atenim quidnam iſtiuſmodi facinorum vel pulchrum vel honeſtum eſt, ac non potius erubeſcendum? nonne igitur amentes ſunt habendi eorum laudatores, qui tàm longè receſſerunt à communibus legibus, neque ullo mo-

[l. 2.] Γεννησέσθαι, vulg. γεγενῆσθαι.

τας, καὶ μηδὲν τῶν αὐτῶν, μήτε τοῖς Ἕλλησι, μήτε τοῖς Βαρβάροις, γιγνώσκοντας; οἱ μὲν γὰρ τοὺς κακουργοῦντας καὶ κλέπτοντας, πονηροτέρους τῶν οἰκετῶν νομίζουσιν· ἐκεῖνοι δὲ τοὺς τοιούτων τῶν ἔργων πρωτεύοντας, βελτίους εἶναι τῶν παίδων ὑπολαμβάνουσι, καὶ μάλιστα τιμῶσι. Καίτοι τίς ἂν τῶν εὖ φρονούντων οὐκ ἂν ἀποθανεῖν ἕλοιτο μᾶλλον, ἢ διὰ τοιούτων ἐπιτηδευμάτων γνωσθῆναι τὴν ἄσκησιν τῆς ἀρετῆς ποιούμενος.

Ταῦτ' ἀκούσας, θρασέως μὲν οὐδὲν πρὸς ἓν ἀντεῖπε τῶν εἰρημένων, οὐδ' αὖ παντάπασιν ἀπεσιώπησεν, ἀλλὰ ἔλεγεν, ὅτι σὺ μὲν πεποίησαι τοὺς λόγους (ἐμὲ λέγων) ὡς ἂν ἅπαντα ἀποδεχομένου μου τἀκείνων, καὶ καλῶς ἔχειν νομίζοντος· ἐμοὶ δὲ δοκεῖς ὑπὲρ τῆς τῶν παίδων μὲν αὐτονομίας, καὶ περὶ ἄλλων πολλῶν, εἰκότως ἐπιτιμᾶν ἐκείνοις, ἐμοῦ δ' οὐ δικαίως κατηγορεῖν. Ἐγὼ γὰρ ἐλυπήθην μὲν τὸν λόγον ἀναγινώσκων, ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις, οὐ μὴν οὕτως, ὡς ἐπὶ τῷ μηδὲν ἀντειπεῖν ὑπὲρ αὐτῶν δύνασθαι τοῖς γεγραμμένοις, εἰθισμένος τὸν ἄλλον χρόνον αὐτοὺς ἐπαινεῖν. Εἰς τοιαύτην δ' ἀπορίαν καταστὰς, εἶπον ὅπερ ἦν λοιπὸν, ὡς εἰ καὶ μηδὲν δὴ ἄλλο, διά γ' ἐκεῖνο δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιμεν, ὅτι τοῖς καλλίστοις τῶν ἐπιτηδευμάτων χρώμενοι

do vel cum Græcis vel cum Barbaris consentiunt? hi nempè maleficiis & furtis deditos, servis nequiores judicant: illi verò istorum facinorum principes, excellere inter pueros, & maximè honorandos esse, existimant. Quis autem sanæ mentis homo non emori malit, quàm eum esse cognosci qui in istiusmodi studiis virtutis exercitationem collocet?

Iterùm loquitur Philolaco, & dicit in quo laudet Lacedæmonios.

Hæc ille quum audivisset, nihil eorum quæ dixeram confidenter refutavit, nec tamen obticuit prorsùs; sed dixit: Tu quidem (me innuens) locutus es quasi ego omnia illorum probem & præclara esse putem. Mihi autem videris ob puerorum licentiam & ob alia multa jure illos reprehendere, & me injuriâ accusare. Equidem dolebam, dùm orationem legerem, ob ea quæ ibi contrà Lacedæmonios scripta essent; non ob ea tamen tantoperè, quàm quòd pro ipsis nihil respondere possem, hactenùs eos laudare solitus. Quum autem ad hasce redactus essem angustias, dixi id quod reliquum erat, scilicet, si non ob aliud, propter illud saltem, habendam eis esse gratiam, quòd pulcherrimis insti-

---

[l. 4.] Vulg. τοιοῦτους, didi τοιούτων cum Battie & edit. Bas.

τυγχάνοιεν. Ταῦτα δ' εἶπον, οὐ πρὸς τὴν εὐσέβειαν, οὐδὲ πρὸς τὴν δικαιοσύνην, οὐδὲ πρὸς τὴν φρόνησιν ἀποβλέψας, ἃ σὺ διῆλθες, ἀλλὰ πρὸς τὰ γυμνάσια τἀκεῖ καθεστῶτα, καὶ πρὸς τὴν ἄσκησιν τῆς ἀνδρείας, καὶ πρὸς τὴν ὁμόνοιαν, καὶ τὸ σύνολον, τὴν περὶ τὸν πόλεμον ἐπιμέλειαν· ἅπερ ἅπαντες εἶναι μέγιστα ἂν εἴποιεν, καὶ μάλιστα ἂν αὐτοῖς ἐκείνους χρῆσθαι φήσαιεν.

Ταῦτα δ' αὐτοῦ μοι διαλεχθέντος, ἀπεδεξάμην μὲν οὐχ ὡς ἀπολυόμενόν τι τῶν κατηγορημένων, ἀλλ' ὡς ἀποκρυπτόμενον τὸ πικρότατον τῶν τότε ῥηθέντων, οὐκ ἀπαιδεύτως, ἀλλὰ νουνεχόντως, καὶ περὶ τῶν ἄλλων ἀπολελογημένον σωφρονέστερον ἢ τότε παρρησιασάμενον.

Οὐ μὴν ἀλλ' ἐκεῖνο ἐάσας, περὶ αὐτῶν τούτων ἔφασκον κατηγορίαν ἔχειν πολὺ δεινοτέραν ἢ περὶ τῆς τῶν παίδων κλοπίας. Ἐκεῖνοι μὲν γὰρ τοῖς ἐπιτηδεύμασιν ἐλυμαίνοντο τοὺς αὑτῶν παῖδας· οἷς δ' ὀλίγῳ πρότερον σὺ διῆλθες, τοὺς Ἕλληνας ἀπώλεσαν. Ῥᾴδιον δ' ὡς οὕτως εἶχε ταῦτα συνιδεῖν. Οἶμαι γὰρ ἅπαντας ὁμολογῆσαι κακίστους ἄνδρας εἶναι, καὶ μεγίστης ζημίας ἀξίους, ὅσοι τοῖς πράγμασι τοῖς εὑρημένοις ἐπ' ὠφελείᾳ, τούτοις ἐπὶ βλάβῃ χρώμενοι τυγχάνουσι, μηδὲ πρὸς τοὺς Βαρβάρους, μηδὲ πρὸς τοὺς ἁμαρτάνοντας, μηδὲ πρὸς τοὺς εἰς τὴν αὑτῶν χώραν εἰσβάλλοντας,

tutis conſtanter uterentur. Hæc autem dixi, nec ad pietatem, nec ad juſtitiam, nec ad prudentiam reſpiciens, quas tu virtutes percenſuiſti; ſed ad gymnaſia ibi recepta, ad exercitationem fortitudinis, ad concordiam, uno verbo ad ſtudium rei militaris ſingulare: quæ omnes & per ſe præclara & apud illos uſitatiſſima eſſe fateantur.

Huic illius reſponſo acquievi: non quòd ullum accuſationis meæ caput diluiſſet; ſed quòd ea quæ primò ſuperbiùs dicta fuerant occultaret, non ineruditè, at ſapienter, & cetera defendiſſet modeſtiùs quàm priùs jactaſſet.

Iterùm refutat orator Philolaconem.

1°. Verumtamen, ut illud omitterem, me habere dicebam cur illa ipſa longè graviùs quàm furacitatem puerorum accuſarem. Quippè, inquiebam, illis ſtudiis ſuos duntaxat liberos corruperunt: his verò quæ tu modò commemoraſti Græcos perdiderunt. Quod ità eſſe facilè perſpicitur. Exiſtimo enim, confeſſione omnium, peſſimos viros eſſe, pœnâque graviſſimâ dignos, qui res ad hominum ſalutem inventas, ad aliorum perniciem convertunt, & iis utuntur neque contrà Barbaros, neque contrà injuſtè agentes, neque contrà eos qui in

[l. 7.] Vulg. ἅπερ ἅπαντες ἂν εἴποιεν, hîc certè deeſt aliquid, ego addidi τὰ μέγιστα.

ἀλλὰ πρὸς τοὺς οἰκειοτάτους, καὶ τῆς αὐτῆς συγγενείας μετέχοντας· ὥσπερ ἐποίουν Σπαρτιᾶται. Καίτοι πῶς ὅσιόν ἐστι τούτους φάσκειν καλῶς χρῆσθαι τοῖς περὶ τὸν πόλεμον ἐπιτηδεύμασιν, οἵτινες οὓς προσῆκε σώζειν, τούτους ἀπολλύντες ἅπαντα τὸν χρόνον διετέλεσαν; Ἀλλὰ γὰρ οὐ σὺ μόνος ἀγνοεῖς τοὺς καλῶς χρωμένους τοῖς πράγμασιν· ἀλλὰ σχεδὸν οἱ πλεῖστοι τῶν Ἑλλήνων. Ἐπειδὰν γάρ τινας ἴδωσιν ἢ πύθωνται παρά τινων ἐπιμελῶς διατρίβοντας περί τι τῶν δοκούντων εἶναι καλῶν ἐπιτηδευμάτων, ἐπαινοῦσι, καὶ πολλοὺς λόγους ποιοῦνται περὶ αὐτῶν, οὐκ εἰδότες τὸ συμβησόμενον. Χρὴ δὲ τοὺς ὀρθῶς δοκιμάζειν προαιρουμένους περὶ τῶν τοιούτων, ἐν ἀρχῇ μὲν ἡσυχίαν ἄγειν, καὶ μηδεμίαν δόξαν ἔχειν περὶ αὐτῶν· ἐπειδὰν δ᾽ εἰς τὸν χρόνον ἐκεῖνον ἔλθωσιν ἐν ᾧ καὶ λέγοντας καὶ πράττοντας αὐτοὺς ὄψονται, καὶ περὶ τῶν ἰδίων, καὶ περὶ τῶν κοινῶν, τότε θεωρεῖν ἀκριβῶς ἕκαστον αὐτῶν, καὶ τοὺς μὲν νομίμως καὶ καλῶς χρωμένους οἷς ἂν ἐμελέτησαν, ἐπαινεῖν καὶ τιμᾶν· τοὺς δὲ πλημμελοῦντας καὶ κακουργοῦντας ψέγειν καὶ μισεῖν, καὶ φυλάττεσθαι τὸν τρόπον αὐτῶν· ἐνθυμουμένους ὡς οὐχ αἱ φύσεις τῶν πραγμάτων οὔτ᾽ ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς, ἀλλ᾽ αἱ τῶν ἀνθρώπων χρήσεις καὶ πράξεις ἁπάντων ἡμῖν αἴτιαι τῶν συμβαινόντων εἰσίν. Γνοίη δ᾽ ἄν τις ἐκεῖ-

agros ipſorum impetum faciunt, ſed contrà conjunctiſſimos & cognatos: id quod Spartiatæ fecerunt. Atqui quomodo fas eſt eos dicere ſtudiis rei militaris rectè uti, qui quos conſervatos oportuit, eos perdere non deſtiterunt? Verùm non tu ſolus ignoras quinam rebus benè utantur; ſed Græcorum pars ferè maxima. Nam ſi quos viderint, aut ex aliquibus audierint, ſtrenuè incumbere in ea ſtudia quæ pulchra habentur, eos laudant, & multa verba de eis faciunt, quum ignorent quid eventurum ſit. Decet autem ſanos hujuſmodi virorum æſtimatores, de his initio tranquillos eſſe, ac nullam de talibus habere opinionem. Poſtquam verò ad id tempus venerint quo eos & dicentes & agentes videant ſive de privatis ſive de publicis negotiis, tùm demùm debent ſingulos acutè contemplari, atque eos qui juſtè & honeſtè iis utuntur quibus animum applicuerunt, laudare & honorare; delinquentes autem & improbos, reprehendere & odiſſe, & cavere ab eorum moribus: cogitantes ſcilicet eam eſſe naturam rerum ut nobis per ſe neque proſint neque obſint; ſed prout homines utuntur rebus benè vel malè, ità nobis bona vel mala evenire. Idque

[l. 13 & 14.] Vulg. habet προαιρουμένους, καὶ περὶ τῶν τοιούτων ἐν ἀρχῇ, delevi καὶ & mutavi interpunctionem, & indè phraſis fit clara & nitida.

θεν· τὰ γὰρ αὐτὰ πανταχῆ καὶ μηδαμῆ διαφέροντα, τοῖς μὲν ὠφέλιμα, τοῖς δὲ βλαβερὰ γίνεται. Καίτοι οὐ τὸ τὴν μὲν φύσιν ἔχειν ἕκαστον τῶν ὄντων ἐναντίαν αὐτῇ, καὶ μὴ τὴν αὐτὴν, οὐκ εὔλογόν ἐστι· τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς καὶ δικαίως πράττουσιν, καὶ τοῖς ἀσελγῶς καὶ κακῶς, τισὶ τῶν ὀρθῶς λογιζομένων οὐκ ἀπεικότως ταῦτα γίγνεσθαι δόξειεν.

Ὁ δ᾽ αὐτὸς οὗτος λόγος καὶ περὶ τὰς ὁμονοίας ἂν ἁρμόσειε. Καὶ γὰρ ἐκεῖναι τὴν φύσιν οὐκ ἀνόμοιαι τοῖς εἰρημένοις· ἀλλὰ τὰς μὲν αὐτῶν εὕροιμεν ἂν πλείστων ἀγαθῶν αἰτίας γιγνομένας, τὰς δὲ τῶν μεγίστων κακῶν καὶ συμφορῶν· ὧν μίαν εἶναί φημι καὶ τὴν Σπαρτιατῶν. Εἰρήσεται γὰρ τἀληθὲς, εἰ καί τισι δόξω λίαν παράδοξα λέγειν. Οὗτοι γὰρ ἀφορμῇ τοῦ ταῦτα γιγνώσκειν, εἰδότες παρὰ τῶν ἔξω παραγγελλομένων ἀλλήλοις στασιάζειν τοὺς Ἕλληνας, ὥσπερ τέχνην ἔχοντες τὸ ἁρπάζειν, οὕτως ἐποίουν, καὶ τὸ χαλεπώτατον ταῖς ἄλλαις πόλεσι τῶν κακῶν γιγνόμενον, τοῦτ᾽ αὐτοῖς συμφορώτατον ἁπάντων ἐνόμιζον εἶναι. Τὰς οὖν οὕτω διακειμένας, ἐξῆν αὐτοῖς ὅπως βούλοιντο διοικεῖν. Ὥστ᾽ οὐδεὶς ἂν αὐτοὺς διά γε τὴν ὁμόνοιαν δικαίως ἂν ἐπαινέσειεν, οὐδὲν μᾶλλον ἢ τοὺς κα-

[l. 7 & 8.] Οὐκ ἀπεικότως, hîc reprehenditur οὐ

indè perſpicitur, quòd ubique terrarum eædem res, planéque nihil differentes, in aliis proſunt, in aliis obſunt. Ut autem cum ratione non conſentit, ſingulas res naturam ſibi ipſis contrariam, nec eamdem habere : ſic à ratione haud abſonum eſſe, ut diverſa prorsùs eveniant ab iis qui rectè & juſtè agunt, quàm ab iis qui libidinosè ſe gerunt & inſolenter, vir ſanus exiſtimaverit.

2°. Quod ipſum de concordiâ quoque meritò dixerimus: nam hujus etiam non eſt alia quàm ceterarum rerum indoles. Illam enim modò plurimorum bonorum, modò ingentium malorum & calamitatum, cauſam fuiſſe reperiemus : hanc autem eſſe dico & Spartanorum concordiam. Hi nempè, ſuo conſenſu freti, quum ex advenis cognoviſſent ceteros Græcos inter ſe diſſidere, ità ſe geſſerunt quaſi rapinam ſuam ipſorum artem haberent ; & quod aliis civitatibus malorum graviſſimum erat, id omnium utiliſſimum ſibi eſſe crediderunt. Quæ civitates igitur factionibus diſtractæ erant, eas ipſis licuit arbitratu ſuo permiſcere. Quare nemo eos propter concordiam jure laudaverit, nihilo magis

---

quod in capite phraſeos legitur l. 3, & utrique phraſeos membro imperat ; itaque intelligenda phraſis quaſi abeſſet.

[l. 16.] *Οὗτοι γὰρ ἀφορμῇ τοῦ ταὐτὰ γινώσκειν*, ad verbum, hi enim prærogativâ (utentes) eadem ſentiendi.

ταποντιστὰς, καὶ τῶν περὶ τὰς ἄλλας ἀδικίας ὄντας. Καὶ γὰρ ἐκεῖνοι σφίσιν αὐτοῖς ὁμονοοῦντες, τοὺς ἄλλους ἀπολλύουσιν. Εἰ δέ τισι δοκῶ τὴν παραβολὴν ἀπρεπῆ πεποιῆσθαι πρὸς τὴν ἐκείνων δόξαν, ταύτην μὲν ἐῶ· λέγω δὲ Τριβαλλοὺς, οὓς πάντες φασὶν ὁμονοεῖν μὲν ὡς οὐδένας ἄλλους ἀνθρώπους, ἀπολλύναι δ' οὐ μόνον τοὺς ὁμόρους, καὶ τοὺς πλησίον οἰκοῦντας, ἀλλὰ καὶ τοὺς ἄλλους ὅσων ἂν ἐφικέσθαι δυνηθῶσιν. Οὓς οὐ χρὴ μιμεῖσθαι τοὺς ἀρετῆς ἀντιποιουμένους, ἀλλὰ πολὺ μᾶλλον τῆς σοφίας, καὶ τῆς δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν τὴν δύναμιν. Αὗται μὲν γὰρ οὐ τὰς σφετέρας αὐτῶν φύσεις εὐεργετοῦσιν, ἀλλ' οἷς ἂν παραγιγνόμεναι παραμείνωσιν, εὐδαίμονας καὶ μακαρίους ποιοῦσι. Λακεδαιμόνιοι δὲ τοὐναντίον. Οἷς μὲν ἂν πλησιάσωσιν ἀπολλύουσι· τὰ δὲ τῶν ἄλλων ἀγαθὰ πάντα περὶ σφᾶς αὐτοὺς ποιοῦνται.

Ταῦτ' εἰπὼν, κατέχον πρὸς ὃν τοὺς λόγους ἐποιούμην, ἄνδρα δεινὸν, καὶ πολλῶν ἔμπειρον, καὶ περὶ τὸ λέγειν γεγυμνασμένον οὐδενὸς ἧττον τῶν ἐμοὶ πεπλησιακότων. Οὐ μὴν τὰ μειράκια τὰ πᾶσι τούτοις παραγεγενημένα, τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχον. Ἀλλὰ ἐμὲ μὲν ἐπῄνεσαν ὡς διειλεγμένον τε νεαρώτερον ἢ προσεδόκησαν, ἠγωνισμένον τε καλῶς, ἐκείνου δὲ κατεφρόνησαν· οὐκ ὀρθῶς

quàm piratas, aliosque prædones & maleficos, qui inter ſe quoque conſentientes alios interficiunt. Si quibus autem hæc comparatio videtur indecora, neque conſentanea eſſe Laconum exiſtimationi; hâc omiſsâ, de Triballis dico, quos omnes aiunt concordiores eſſe quidem quàm ullos alios homines, perimere verò non finitimos tantùm & habitantes in ſuâ viciniâ, ſed eos omnes ad quos poſſunt pervenire. Quos imitari non decet eos qui virtutis ſtudium ſunt profeſſi, at vim potiùs ac naturam ſapientiæ & juſtitiæ, ceterarumque virtutum. Hæ enim non ſibimetipſis benefaciunt, ſed quorum animis conſtanter inſederint, eos felices reddunt & beatos. Lacedæmonii contrà quoſcumque acceſſerint perdunt, aliorumque bona omnia ſibimetipſis vindicant.

Expoſitio eorum quæ diſputationem ſunt conſecuta, & de edendâ oratione deliberatio.

His à me dictis eum repreſſi contrà quem verba faciebam, virum ſtrenuum, & multarum rerum peritum, & in dicendo non exercitatum minùs quàm quemlibet è meis diſcipulis. Ceterùm adoleſcentuli qui his omnibus interfuerant, non idem ſenſerunt quod ego. Nam me quidem laudârunt ut qui juveniliùs diſſeruiſſem quàm expectaſſent, & fortiter concertaſſem; illum autem contempſe-

γιγνώσκοντες, ἀλλὰ διημαρτηκότες ἀμφοτέρων ἡμῶν. Ὁ μὲν γὰρ ἀπῄει φρονιμώτερος γεγενημένος, καὶ συνεσταλμένην ἔχων τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πεπονθὼς τὸ γεγραμμένον ἐν Δελφοῖς, ἑαυτόν τ' ἐγνωκὼς, καὶ τὴν τῶν Λακεδαιμονίων φύσιν, μᾶλλον ἢ πρότερον. Ἐγὼ δ' ὑπελειπόμην ἐπιτυχῶς μὲν ἴσως διειλεγμένος, ἀνοητότερος δὲ δι' αὐτὸ τοῦτο γεγενημένος, καὶ φρονῶν μεῖζον ἢ προσήκει τοὺς τηλικούτους, καὶ ταραχῆς μειρακιώδους μεστὸς ὤν.

Δῆλος δ' ἦν οὕτω διακείμενος. Ἐπειδὴ γὰρ ἡσυχίας ἐπελαβόμην, οὐ πρότερον ἐπαυσάμην, πρὶν ὑπέβαλον τοῖς παισὶ τὸν λόγον, ὃν ὀλίγῳ μὲν πρότερον μεθ' ἡδονῆς διῆλθον, μικρῷ δ' ὕστερον ἔμελλέ με λυπήσειν. Τριῶν γὰρ ἢ τεττάρων ἡμερῶν διαλιπουσῶν, ἀναγιγνώσκων αὐτὰ καὶ διεξιὼν, ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως ἦν εἰρηκὼς, οὐκ ἠχθόμην· καλῶς γὰρ καὶ δικαίως ἦν ἅπαντα περὶ ταύτης γεγραφώς. Ἐπὶ δὲ τοῖς περὶ Λακεδαιμονίων ἐλυπήθην, καὶ βαρέως ἔφερον· οὐ γὰρ μετρίως ἐδόκουν μοι διειλέχθαι περὶ αὐτῶν, οὐδὲ ὁμοίως τοῖς ἄλλοις, ἀλλ' ὀλιγώρως, καὶ λίαν πικρῶς, καὶ παντάπασιν ἀνοήτως. Ὥστε πολλάκις ἐξορμήσας ἐξαλείφειν αὐτὸν ἢ κατακαίειν, μετεγίγνωσκον, ἐλεῶν τὸ γῆρας τὸ ἐμαυτοῦ, καὶ τὸν πόνον τὸν περὶ τὸν λόγον γεγενημένον.

runt, non rectè sentientes, & de utroque nostrûm in errore versati. Nam ille discesserat prudentior factus, & animo ità contracto modestoque, ut sapientes decet; & noverat seipsum juxtà id quod Delphis scriptum est, Lacedæmoniorumque indolem magis quàm antè percallebat. Ego verò relictus sum tanquam qui satis cum successu verbis pugnâram; sed ob hoc ipsum amentior factus, & animosior quàm nostram ætatem decet, & plenus perturbatione ac tumultu juvenili.

Ac me sic affectum esse satis apparebat. Nam simul atque respiravi paululùm, non priùs conquievi, quàm puero orationem hanc dictarem quam paulò anteà cum voluptate recensueram, at quæ paulò post mihi molesta esset futura. Nam tribus aut quatuor elapsis diebus, quum eam relegerem & attentiùs considerarem, non ea sanè culpavi quæ dixeram de nostrâ civitate; siquidem de ipsâ nihil nisi rectè præclaréque scripseram: ob ea verò quæ dixeram de Lacedæmoniis, indolui ac graviter tuli. Non enim moderatè de illis disseruisse mihi visus sum, nec ità ut de aliis, sed temerè & negligenter & nimis acerbè, ac prorsùs inconsideratè. Quare, sæpè incitatus ad totam orationem delendam vel comburendam, mutabam consilium, misertus senectutis meæ, & laboris quem orationi conficiendæ impenderam.

Ἐν τοιαύτῃ δέ μοι ταραχῇ καθεστῶτι, καὶ μεταμελείας ποιουμένῳ πολλὰς, ἔδοξέ μοι κράτιστον εἶναι παρακαλέσαντι τῶν πεπλησιακότων τοὺς ἐπιδημοῦντας, βουλεύσασθαι μετ᾽ αὐτῶν πότερον ἀφανιστέος παντάπασιν ἔσται, ἢ διαδοτέος τοῖς βουλομένοις μεταλαμβάνειν· ὁποτέρως δ᾽ ἂν ἐκείνοις δόξῃ, ταῦτα ποιεῖν. Τούτων δὲ γνωσθέντων, οὐδεμίαν διατριβὴν ἐποιησάμην, ἀλλ᾽ εὐθὺς παρεκέκληντο μὲν ὡς εἶπον. Προειρηκὼς δ᾽ ἦν αὐτοῖς, ἐφ᾽ ἃ συνεληλυθότες ἦσαν· ἀνέγνωστο δ᾽ ὁ λόγος, ἐπῃνημένος δ᾽ ἦν καὶ τεθορυβημένος, καὶ τετυχηκὼς ἦν ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν.

Ἁπάντων δὲ τούτων ἐπιτετελεσμένων, οἱ μὲν ἄλλοι διελέγοντο πρὸς σφᾶς αὐτοὺς, δηλονότι περὶ τῶν ἀναγνωσθέντων· ὃν δ᾽ ἐξ ἀρχῆς μετεπεμψάμεθα σύμβουλον, τὸν τῶν Λακεδαιμονίων ἐπαινέτην, πρὸς ὃν πλείω διειλέχθην τοῦ δέοντος, σιωπὴν ποιησάμενος, καὶ προσεμβλέψας, ἀπορεῖν ἔφασκεν ὅτι χρήσηται τοῖς παροῦσιν· οὔτε γὰρ ἀπιστεῖν βούλεσθαι τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις, οὔτε πιστεύειν δύνασθαι παντάπασιν αὐτοῖς. Θαυμάζω γὰρ εἰ οὕτως ἐλυπήθης καὶ βαρέως ἔχες,

[l. 19.] Σιωπὴν ποιησάμενος, quum sibimetipsi fecisset silentium.

Advocantur plures Iſocratis diſcipuli & conſulitur idem Laconum fautor.

Dum his curis æſtuarem, ac ſæpiùs mutarem conſilia, conſultiſſimum eſſe duxi, ut meorum diſcipulorum iis accerſitis qui in urbe eſſent, cum eis deliberarem utrùm hæc oratio prorsùs delenda eſſet, an verò edenda ut à volentibus legeretur; & utrum illis viſum eſſet, id agerem. His decretis, nullam moram interpoſui, ſed ſtatìm convocati ſunt illi quos dixeram. Ipſos præmonueram quâ de causâ conveniſſent: lecta fuerat oratio, atque laudata, & cum plauſu excepta; denique ea omnia adepta erat quæ in maximis celebritatibus feliciſſimæ orationes adipiſcuntur.

Longa Philolaconis oratio.

1°. His omnibus peractis, alii diſputabant inter ſe de iis nimirùm quæ lecta fuerant; is autem quem initio in conſilium adhibueram, laudator ille Lacedæmoniorum, quocum plura quàm decuit diſſerui, ſilentio facto, defixis in me oculis, dubitare ſe dixit quid in præſentiâ faceret; ſe enim nec velle iis quæ à me dicta eſſent fidem abnegare, nec iis omninò poſſe credere. Utrumque miror, inquiebat, ſive ità doluiſti, ac tàm graviter commotus es ut

ὥσπερ φὴς, ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις (οὐδὲν γὰρ ἐν αὐτοῖς ὁρῶ τοιοῦτο γεγραμμένον)· εἴτε συμβούλοις περὶ τοῦ λόγου χρήσασθαι βουλόμενος, ἡμᾶς συνήγαγες, οὓς οἶσθα ἀκριβῶς ἅπαν ὅ,τι ἂν σὺ λέγῃς ἢ πράττῃς ἐπαινοῦντας. Εἰθισμένοι δ' εἰσὶν οἱ νοῦν ἔχοντες ἀνακοινοῦσθαι, περὶ ὧν ἂν σπουδάσωσι, μάλιστα μὲν τοῖς ἄμεινον αὐτῶν φρονοῦσιν, εἰ δὲ μὴ, τοῖς μέλλουσιν ἀποφαίνεσθαι τὴν αὑτῶν γνώμην· ὧν τἀναντία σὺ πεποίηκας. Τούτων μὲν οὖν οὐδ' ἕτερον ἀποδέχομαι τῶν λόγων. Δοκεῖς δέ μοι ποιήσασθαι τήν τε παράκλησιν τὴν ἡμετέραν, καὶ τὸν ἔπαινον τὸν τῆς πόλεως οὐχ ἁπλῶς, οὐδ' ὡς διείλεξαι πρὸς ἡμᾶς, ἀλλ' ἡμῶν μὲν πεῖραν λαβεῖν βουλόμενος εἰ φιλοσοφοῦμεν, καὶ μεμνήμεθα τῶν ἐν ταῖς διατριβαῖς λεγομένων, καὶ συνιδεῖν δυνηθείημεν ἂν ὃν τρόπον ὁ λόγος τυγχάνει γεγραμμένος· τὴν δὲ πόλιν ἐπαινεῖν προελέσθαι τὴν σεαυτοῦ, σωφρονῶν, ἵνα τῷ τε πλήθει τῶν πολιτῶν χαρίσῃ, καὶ παρὰ τοῖς εὐνοϊκῶς πρὸς ὑμᾶς διακειμένοις εὐδοκιμήσῃς. Ταῦτα δὴ γνοὺς, ὑπέλαβες ὡς, εἰ μὲν περὶ μόνης αὐτῆς ποιήσῃ τοὺς λόγους, καὶ τὰ μυθώδη περὶ αὐτῆς ἐρεῖς, ἃ πάντες θρυλλοῦσιν, ὅμοια φανεῖται τὰ λεγόμενα τοῖς ὑπὸ τῶν ἄλλων γεγραμμένοις· ἐφ' ᾧ σὺ μάλιστ' ἂν αἰσχυνθείης καὶ λυπηθείης. Ἐὰν δ' ἐάσας ἐκεῖνα,

dicis, ob ea quæ dixiſti de Lacedæmoniis (nihil quippè in iis ſcriptum video quo tu tantoperè doleas): ſive quum de oratione tuâ conſultoribus uti velles, nos convocaſti, quos ſatis nôras quidquid tu dixeris aut feceris collaudare. Soliti ſunt prudentes viri ea communicare quæ maximo ſtudio perfecerint, aut cum iis qui ſemet ſunt ſapientiores, aut certè cum iis qui ſuam ſententiam ſunt declaraturi: quorum tu feciſti contraria. Neutram igitur harum rationum ego comprobo. Mihi autem & convocationem hanc noſtram, & laudationem tuæ civitatis feciſſe, non ſimpliciter, neque ità ut nobiſcum collocutus es; ſed periclitari nos voluiſſe an ſeriò in ſtudia incumbamus, & ea meminerimus quæ inter doctos dici ſolent, ac perſpicere queamus quâ ſolertiâ ſcripta ſit oratio. Videris tuam urbem laudare inſtituiſſe ſanè prudenter, ut & multitudini civium gratificareris & apud eos qui vobis benevoli ſunt laudem invenires. In iſto igitur propoſito, cogitaſti ſi de eâ ſolâ verba faceres, & fabuloſa illa diceres quæ ab omnibus decantantur, tunc ea quæ dicerentur à te, iis ſimilia viſum iri quæ ab aliis ſcripta eſſent: id quod maximè te puderet ac pigeret. Sin, his omiſſis, ea facta recitares

---

[l. 3.] Εἴτε refer ad θαυμάζω.
[l. 18.] Προελέσθαι refer ad δοκεῖς.

λέγῃς τὰς πράξεις τὰς ὁμολογουμένας, καὶ πολλῶν ἀγαθῶν αἰτίας τοῖς Ἕλλησι γεγενημένας, καὶ παραβάλῃς πρὸς τὰς Λακεδαιμονίων, καὶ τὰς μὲν τῶν προγόνων ἐπαινῇς, τῶν δ' ἐκείνοις πεπραγμένων κατηγορῇς· ὅ,τε λόγος ἐνεργέστερος εἶναι δόξει τοῖς ἀκούουσι, καὶ σὺ μενεῖς ἐν τοῖς αὐτοῖς· ὃ μᾶλλον ἄν τινες θαυμάσειαν τῶν ἐν τοῖς ἄλλοις γεγραμμένων. Ἐν ἀρχῇ μὲν οὖν μοι δοκεῖς οὕτω τάξαι, καὶ βουλεύσασθαι περὶ αὐτῶν. Εἰδὼς δὲ σαυτὸν ἐπηνεκότα τὴν Σπαρτιατῶν πόλιν, ὡς οὐδεὶς ἄλλος, φοβεῖσθαι τοὺς ἀκηκοότας, μὴ δόξῃς ὅμοιος εἶναι τοῖς λέγουσιν ὅ,τι ἂν τύχωσι, καὶ τούτους νῦν ψέγειν οὓς πρότερον ἐπῄνεις μᾶλλον τῶν ἄλλων· ταῦτ' ἐνθυμηθεὶς, σκοπεῖσθαι ποίους τινὰς ἂν ἑκατέρους φήσας, ἀληθῆ τε λέγειν δόξειας ἂν περὶ ἀμφοτέρων, ἔχοις τ' ἂν τοὺς μὲν σοὺς προγόνους ἐπαινεῖν, ὥσπερ βούλει, Σπαρτιατῶν δὲ δοκεῖν μὲν κατηγορεῖν τοῖς ἀηδῶς πρὸς αὐτοὺς διακειμένοις, μηδὲν δὲ ποιεῖν τοιοῦτον, ἀλλὰ λανθάνειν ἐπαινῶν αὐτούς· ζηλῶν δὲ τὰ τοιαῦτα, ῥᾳδίως εὑρεῖν λόγους ἀμφιβόλους, καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ ψεγόντων ὄντας, ἀλλ' ἐπαμφοτερίζειν δυναμένους, καὶ πολλὰς ἀμφισβητήσεις ἔχοντας. Οἷς χρῆσθαι, περὶ μὲν

[l. 6.] Δόξει, ſubaudi ὑπέλαβες ὡς quod præceſſit.

quæ confeſſione omnium vera ſunt, ac Græcis profuerunt plurimùm, & cum rebus geſtis Lacedæmoniorum conferres, & laudes majorum veſtrorum conjungeres cum illorum vituperatione; tunc & orationem ab audientibus judicatum iri ſtrenuam magis, & te in tuis inſtitutis permanſurum; quod majorem tibi apud nonnullos conciliaturum eſſet admirationem, quàm ea quæ tu unquam ſcripſiſti. Initio igitur mihi videris ità res ordinaſſe, & iſtud de iis cepiſſe conſilium. Quum autem ſcires te Spartanorum civitatem ità laudaſſe ut nemo alius, metuiſti ne auditores iis te ſimilem eſſe ducerent qui quidquid in os venerit effutiunt, ac eos te vituperare nunc quos anteà maximis laudibus extuliſſes. Hæc cogitans, conſideraſti quidnam de utrisque dicendum eſſet, ut & vera diceres de ambobus, & majores tuos poſſes laudare ſicuti reipsâ vis, & Spartanos videreris accuſare iis quibus illi inviſi ſunt, verùm id minimè faceres, at clàm & latenter commendares. Quum verò haberes mentem ejuſmodi, reperiſti facilè ambigua verba quæ nihilò plus cum laudantibus quàm cum vituperantibus facerent; ſed poſſent flecti in utramque partem, ac multas admittere diſceptationes. Quibus uti quem-

---

[l. 11 & ſeq.] Hìc rursùs refer φοβεῖσθαι ad δοκεῖς, ut & paulò inferiùs σκοπεῖσθαι.

[l. 21.] Εὑρεῖν referendum ad idem δοκεῖς.

συμβολαίων καὶ πλεονεξίας ἀγωνιζόμενον, αἰσχρὸν, καὶ πονηρίας οὐ μικρὸν σημεῖον· περὶ δὲ φύσεως ἀνθρώπων διαλεγόμενος, καὶ πραγμάτων καλῶν καὶ φιλοσόφων. Οἷος γὰρ ὁ λόγος διαναγνωσθείς ἐστιν, ἐν ᾧ σὺ πεποίηκας τοὺς μὲν σοὺς προγόνους εἰρηνικοὺς, καὶ φιλέλληνας, καὶ τῆς ἰσότητος τῆς ἐν ταῖς πολιτείαις ἡγεμόνας· Σπαρτιάτας δὲ ὑπεροπτικοὺς, καὶ πολεμικοὺς, καὶ πλεονεκτικοὺς, οἵους γὰρ αὐτοὺς πάντες ὑπειλήφασιν εἶναι. Τοιαύτην δ' ἐχόντων ἑκατέρων τὴν φύσιν, τοὺς μὲν, ὑπὸ πάντων ἐπαινεῖσθαι, καὶ δοκεῖν εὔνους εἶναι τῷ πλήθει· τοῖς δὲ, τοὺς μὲν πολλοὺς φθονεῖν, καὶ δυσμενῶς ἔχειν. Ἔστι δ' οὓς καὶ ἐπαινεῖν αὐτοὺς, καὶ θαυμάζειν, καὶ τολμᾶν λέγειν ὡς ἀγαθὰ μείζω τυγχάνουσιν ἔχοντες, τῶν τοῖς προγόνοις τοῖς σοῖς προσόντων. Τήν τε γὰρ ὑπεροψίαν σεμνότητος μετέχειν, εὐδοκίμου πράγματος, καὶ δοκεῖν ἅπασι μεγαλοπρεπεστέρους εἶναι τοὺς τοιούτους ἢ τοὺς τῆς ἰσότητος προεστῶτας· τούς τε πολεμικοὺς πολὺ διαφέρειν τῶν εἰρηνικῶν· τοὺς μὲν γὰρ, οὔτε κτητικοὺς εἶναι τῶν οὐκ ὄντων, οὔτε φύλακας δεινοὺς τῶν ὑπαρχόντων· τοὺς δ' ἀμφότερα δύ-

[l. 4.] Poſt φιλοσόφων, deeſt, aut ſaltem ſubaudiri debet aliquid in hunc fermè ſenſum, τούτοις λόγοις χρῆσθαι τίς δύναται.

piam

piam, ſi de contractibus & emolumentis litigat, turpe ſit, & non exiguum improbitatis argumentum. Hæc autem adhibere licet quum de populorum indole, rebusque præclaris & ab eruditione non alienis, diſſeritur. Cujus generis eſt iſta quæ modò recitata eſt oratio; in quâ tuos majores feciſti pacis ſtudioſos, & Græcorum amantes, & in gerendis rebus æqualitatis principes; Spartanos verò ſuperbos, & bellicoſos, & dominatûs cupidos, quales illos eſſe omnes exiſtimant. Talibus igitur ingeniis quum utrique ſint, alteros dixiſti laudari ab univerſis, & haberi multitudini benevolos; alteris multos invidere & infenſos eſſe. Nec deſunt tamen qui eos laudent & mirentur, atque auſint dicere amplioribus eos dotibus eſſe præditos, quàm ſint eæ quibus tui majores ornabantur. Nam & ſuperbiam cum majeſtate, quæ ſanè laudanda eſt, conjunctam eſſe, & ſuperbos cunctis videri magnanimiores quàm qui æqualitatis autores ſunt, & viros bellicoſos longè præſtare pacificis: hos enim neque parare poſſe quæ non habeant, nec ea quæ habeant fortiter tueri; illos autem poſſe utrum-

---

[l. 10.] Τὺς μὲν, adde vel ſubaudi πεποίηκας.

[l. 13.] Ἔςι δ' οὓς ἐπαινεῖν, eſt verò quos laudare, modus loquendi extrà regulas grammaticæ, i. e. ſunt verò qui laudent.

νᾶσθαι, καὶ λαμβάνειν ὧν ἂν ἐπιθυμῶσι, καὶ σώζειν ἅπερ ἂν ἅπαξ κατάσχωσιν· ἃ ποιοῦσιν οἱ τέλειοι δοκοῦντες εἶναι τῶν ἀνδρῶν. Ἀλλὰ μὴν περὶ τῆς πλεονεξίας, καλλίους ἔχειν οἴονται λόγους τῶν εἰρημένων. Τοὺς μὲν γὰρ ἀποστεροῦντας τὰ συμβόλαια, καὶ παρακρουομένους, καὶ παραλογιζομένους, οὐχ ἡγοῦνται δικαίους, ἀλλὰ πλεονεκτικούς. Διὰ γὰρ τὸ πονηρὰν ἔχειν τὴν δόξαν, ἐν ἅπασιν αὐτοὺς ἐλαττοῦσθαι τοῖς πράγμασι. Τὰς δὲ Σπαρτιατῶν πλεονεξίας, καὶ τὰς τῶν βασιλέων, καὶ τὰς τῶν τυράννων τοιαύτας μὲν εἶναι, καὶ πάντας αὐτῶν ἐπιθυμεῖν· οὐ μὴν λοιδορεῖσθαι καὶ καταρᾶσθαι τοῖς τὰς τηλικαύτας ἔχουσι δυναστείας. Οὐδένα δὲ τοιοῦτον τὴν φύσιν εἶναι, ὅς τις οὐκ ἂν δέξαιτο τοῖς θεοῖς, μάλιστα μὲν αὐτὸς τυγχάνειν τῆς ἐξουσίας ταύτης, εἰ δὲ μὴ, τοὺς οἰκειοτάτους. Ὥστε καὶ φανερόν ἐστιν, ὅτι μέγιστον τῶν ἀγαθῶν ἅπαντες εἶναι νομίζομεν πλέον ἔχειν τῶν ἄλλων. Τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖς μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας.

Εἰ μὲν οὖν ἡγούμην ἀφέξεσθαί σε τῶν εἰρημένων, καὶ παραλείψειν ἀνεπιτίμητον τὸν λόγον τοῦτον, οὐδ᾽ ἂν αὐτὸς ἔτι λέγειν ἐπεχείρουν. Νῦν δ᾽, ὅτι μὲν οὐκ ἀπεφηνάμην περὶ ὧν παρεκλήθην συμ-

[l. 14.] Addidi τοιοῦτον quod abest à vulg.

que, tùm quæ expetant capere, tùm servare quæ semel occupârint: quæ perfectorum virorum propria esse videantur. Jam de præcellendi studio pulchriora etiam dicenda habere autumant, quàm quæ jam dicta sunt. Nam qui contractarum rerum fidem frangunt, & circumveniunt alios, & falsis deludunt ratiunculis, eos non justos putant esse, at cupidos: quòd enim malè de ipsis existimetur, idcircò istos in cunctis negotiis deteriore esse conditione. Studium autem præcellendi, & Spartanorum, & regum, & tyrannorum, cùm optabile esse atque expeti ab omnibus, tùm neminem incessere conviciis aut execrari eos qui in summis potestatibus collocati sint, neque inveniri tàm abjecto ingenio quemquam quin optet supremam à diis potentiam tribui sibi ipsi præsertìm, aut saltem sibi conjunctissimis. Undè perspicuum est nos id summum habere bonum aliis antecellere. Tali igitur consilio mihi videris tuæ orationis ambitum complexus esse.

Quòd si putassem te parsurum esse his quæ à me dicta sunt, & hanc meam orationem sine reprehensione prætermissurum, ne ipse quidem plura dicere aggrederer. Nunc quia nihil de his pronuntiavi, quorum gratiâ in consilium ego sum advo-

[l. 17.] Ωσ ϰ, vulg. ἃ ϰαί.

βουλος, οὐδὲν, οἶμαι, σοι μελήσει. Οὐδὲ γὰρ ὅτι συνήγαγες ἡμᾶς, ἐδόκεις μοι σπουδάζειν περὶ αὐτῶν. Ὅτι δὲ προελόμενος συνθεῖναι λόγον μηδὲν ὅμοιον τοῖς ἄλλοις, ἀλλὰ τοῖς μὲν ῥαθύμως ἀναγινώσκουσιν ἁπλοῦν εἶναι δόξαντα καὶ ῥᾴδιον καταμαθεῖν· τοῖς δ' ἀκριβῶς διεξιοῦσιν αὐτὸν, καὶ πειρωμένοις κατιδεῖν ὃ τοὺς ἄλλους λέληθεν, χαλεπὸν φαινόμενον, καὶ δυσκαταμάθητον, καὶ πολλῆς μὲν ἱστορίας γέμοντα, καὶ φιλοσοφίας, παντοδαπῆς δὲ μεστὸν ποικιλίας, καὶ ψευδολογίας, οὐ τῆς εἰθισμένης μετὰ κακίας βλάπτειν τοὺς συμπολιτευομένους, ἀλλὰ τῆς δυναμένης μετὰ παιδείας ὠφελεῖν ἢ τέρπειν τοὺς ἀκούοντας. Ὧν οὐδὲν ἐξετάκοντά με, φήσεις τοῦτον τὸν τρόπον ἔχειν ὡς ἐβουλεύσω σὺ περὶ αὐτῶν· ἀλλὰ τήν τε δύναμιν τῶν λεγομένων διδάσκοντα, καὶ τὴν σὴν διάνοιαν ἐξηγούμενον, οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν λόγον ἐνδοξότερον δι' ἐμὲ γιγνόμενον, ὅσωπερ αὐτὸν φανερώτερον ἐποίουν, καὶ γνωριμώτατον τοῖς ἀναγινώσκουσιν· ἐπιστήμην γὰρ τοῖς οὐκ εἰδόσιν ἐργαζόμενον, ἔρημον μὲν τὸν λόγον ἐμὲ μὴ ποιεῖν, τῆς τιμῆς δὲ ἀποστερεῖν τῆς γιγνομένης

[l. 3.] Ὅτι δὲ προελόμενος .... hîc, si non addendum, at saltem mente supplendum, quod deest, δοκεῖς δέ μοι ὅτι προελόμενος τυγχάνεις συνθεῖναι.....

[l. 12.] Παιδείας, vulg. παιδιᾶς.

çatus, id tibi curæ non fore arbitror. Nec enim, quum nos convocares, ea res seriò abs te agi videbatur: verùm decreveras, ut opinor, orationem conscribere aliis nequaquam similem, sed quæ segniter legentibus simplex videretur ac intellectu facilis; intuentibus verò diligenter, & id quod alios latuerit perspicere conantibus, difficilis appareret, & non obvia cujusvis intelligentiæ, multisque historiis referta & eruditione, plena etiam omnigenâ varietate, & mendaciloquentiâ, non eâ quæ cives improbè lædere consuevit, sed quæ possit docendo prodesse auditoribus, ipsosque oblectare. Quorum ego si nihil exploraverim, hoc modo me gerere te dices, quo de his reverâ statueras. At si edocuero quæ vis sit tuæ orationis, & tuum consilium exposuero, me dices non advertere orationem per me tantò pervulgatiorem reddi, quantò eam dilucidiorem fecerim, & legentibus longè notiorem. Etenim, quum ignorantibus trado scientiam, me efficere quidem ne oratio deserta sit; sed perspica-

[l. 18.] Hîc ἐνδόξος, non, illustris, sed, pervulgatus, accedens ad opinionem communem; sicut παραδόξος recedens ab opinione communi.

[l. 19.] Pro γνωριμώταἶον malim γνωειμώτερον.

[l. 21 & 22.] Vulg. habet ἔρημον τὸν λόγον ἐμὲ μὴ ποιεῖν, καὶ τῆς τιμῆς ἀποςερεῖν, pro quo ità emendavi ut legitur.

αὐτῶν τοὺς πονοῦντας καὶ πράγματα σφίσιν αὐταῖς παρέχοντας.

Ἐγὼ δ' ὁμολογῶ μὲν ἀπολελεῖφθαι τὴν ἐμὴν φρόνησιν τῆς σῆς, ὡς δυνατὸν πλεῖστον. Οὐ μὴν ἀλλ' ὥσπερ τοῦτ' οἶδα, κἀκεῖνο τυγχάνω γινώσκων, ὅτι τῆς πόλεως τῆς ἡμετέρας βουλευομένης περὶ τῶν μεγίστων, οἱ μὲν ἄριστα φρονοῦντες ἐνίοτε διαμαρτάνουσι τοῦ συμφέροντος, τῶν δὲ φαύλων νομιζομένων εἶναι καὶ καταφρονουμένων, ἔστιν ὅτε κατώρθωσεν ὁ τυχὼν, καὶ βέλτιστα λέγειν ἔδοξεν. Ὥστ' οὐδὲν θαυμαστὸν εἰ καὶ περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτό τι συμβέβηκεν· ὅπου σὺ μὲν οἴει μάλιστα μὲν εὐδοκιμήσειν, ἢν ὡς πλεῖστον χρόνον διαλεχθῶσιν ἣν ἔχων γνώμην τὰ περὶ τὸν λόγον ἐπραγματεύθης. Ἐγὼ δ' ἡγοῦμαι βέλτιστά σε πράξειν, ἢν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος αὐτὸς συνέθηκας, ὡς τάχιστ' ἂν φανερὰν ποιῆσαι τοῖς ἄλλοις ἅπασι, καὶ Λακεδαιμονίοις, περὶ ὧν πεποίησαι πολλοὺς λόγους, τοὺς μὲν δικαίως καὶ σεμνοὺς, τοὺς δ' ἀσελγεῖς καὶ λίαν φιλαπεχθήμονας. Οὓς εἴ τις ἐπιδείξειεν αὐτοῖς, πρὶν ἐμὲ διαλεχθῆναι περὶ αὐτῶν, οὐκ ἔστιν ὅπως οὐκ ἂν ἐμίσησαν, καὶ δυσκόλως πρὸς σὲ διετέ-

[l. 1.] Αὐτῶν, nempè, corum qui legent hanc orationem.

citatis laudem adimere lectoribus laboriosis, qui sibimetipsis amant negotium facessere.

Ego verò meam prudentiam quàm longissimè fieri possit tuâ esse inferiorem fateor; sed ut hoc scio, ità illud etiam non ignoro, dùm civitas nostra maximis de negotiis deliberat, sapientissimos nonnunquam à communi utilitate aberrare, & interdùm fieri ut quispiam è vilium contemptorumque numero, rectè sensisse & optima dixisse videatur. Quare mirandum non erit, si in hoc quoque negotio tale aliquid nunc evenerit; ubi tu existimas id tibi maximo honori futurum si lectores quàm diutissimè disputârint quâ mente orationem composueris. Ego è contrà tecum optimè actum iri autumo, si eam sententiam quâ in eâ conficiendâ usus es, quàm citissimè possis manifestam facere, cùm aliis universis, tùm Lacedæmoniis, de quibus multa verba fecisti, quorum nonnulla justa sunt & gravia, quædam petulantia & nimis odiosa. Quæ si quis eis ostendisset, antequam ego de his disseruerim, fieri non potest quin te odissent, & infenso ergà te essent animo, tanquam qui accu-

---

[l. 13 & 14.] Pro διαλεχθῆς quod est in vulgatâ, lego διαλεχθῶσι referendo ad lectores.

[l. 17.] Pro αὐτὸς Battie legit αὐτὸν, sed potest servari αὐτὸς subaudiendo τῦτον ad συνέθηκας.

θησαν, ὡς κατηγορίαν γεγραφότα περὶ αὐτῶν. Νῦν δ' οἶμαι τοὺς μὲν πλείστους Σπαρτιατῶν ἐμμένειν τοῖς ἤθεσιν οἷσπερ καὶ τὸν ἄλλον χρόνον· τοῖς δὲ λόγοις τοῖς ἐνθάδε γεγραμμένοις οὐδὲν μᾶλλον προσέξειν τὸν νοῦν, ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις. Τοὺς δὲ φρονιμωτάτους αὐτῶν, καὶ τῶν λόγων τινὰς ἔχοντας τῶν σῶν, θαυμάζοντας τούτους, ἢν λάβωσι τὸν ἀνεγνώσμενον, καὶ χρόνον ὥστε συνδιατρῖψαι σφίσιν αὐτοῖς, οὐδὲν ἀγνοήσειν τῶν λεγομένων, ἀλλὰ καὶ τῶν ἐπαίνων αἰσθήσεσθαι τῶν μετ' ἀποδείξεως εἰρημένων περὶ τῆς πόλεως αὐτῶν, καὶ τῶν λοιδοριῶν καταφρονήσειν τῶν εἰκῇ μὲν τοῖς πράγμασι λεγομένων, πικρῶς δὲ τοῖς ὀνόμασι κεχρημένων· καὶ νομιεῖν τὰς μὲν βλασφημίας τὰς ἐνούσας ἐν τῇ βίβλῳ τὸν φθόνον ὑποβάλλειν, τὰς δὲ πράξεις καὶ τὰς μάχας ἐφ' αἷς αὐτοί τε μέγα φρονοῦσι καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦσιν, σὲ γεγραφέναι καὶ μνημονεύεσθαι πεποιηκέναι, συναγαγόντα ἁπάσας αὐτὰς καθ' αὐτὰς, καὶ θέντα παρ' ἀλλήλας· αἴτιον δ' εἶναι καὶ τοῦ τοὺς πολλοὺς ποθεῖν ἀναγνῶναι, καὶ διεξελθεῖν αὐτὰς, οὐ τὰς ἐκείνων ἐπιθυμοῦν-

[l. 8 & 9.] Vulg. habet ἀναγνωσόμενον, quod mutavi in ἀνεγνώσμενον ſubaudiendo λόγον.

ſationem contrà ipſos ſcripſiſſes. Nunc arbitror Spartanorum pleroſque in vetere ſuâ conſuetudine permanſuros, neque orationes hîc ſcriptas magis curaturos eſſe, quàm ea quæ extrà columnas Herculis dicuntur: eorum autem prudentiſſimos, qui orationum tuarum aliquas habent ac mirantur, ſi acceperint & hanc quæ modò recitata eſt, & ſumpſerint tempus, & ſecum ipſi diligenter omnia perpendant, nihil ignoraturos eorum quæ dico, ſed & laudes animadverſuros benè probatas ac confirmatas quæ in civitatem ſuam conferuntur, & convicia contempturos quæ dicuntur temerè, verborumque tantùm aſperitatem habent; atque exiſtimaturos maledicta quidem quæ liber continet, ab invidiâ eſſe profecta, res verò geſtas & prælia propter quæ & ipſi ſuperbiunt, & apud alios celebrantur, te ſcripſiſſe, & ab oblivione vindicaſſe, collectis ſeorsìm omnibus, & per collationem explicatis. Id tibi acceptum referent, ſi eâ multi Græcorum legere & percenſere cupiant, non quòd

[l. 13.] Τοῖς πράγμασι, quantum ad res, per oppoſitionem ad τοῖς ὀνόμασι quod ſequitur.

[l. 21.] Pro εἶναι malim ἐσέσθαι ſubaudiendo σὲ, te verò putabunt in causâ fore cur.....

[Ibid.] Τοῦ abeſt à vulgatâ, ego cenſui addendum cum Battie.

τας ἀκοῦσαι πράξεις, ἀλλ' ὅπως σὺ διείλεξαι περὶ αὐτῶν μαθεῖν βουλομένους.

Ταῦθ' ἐνθυμουμένους καὶ διεξιόντας, οὐδὲ τῶν παλαιῶν ἔργων ἀμνημονήσειν, δι' ὧν ἐγκεκωμίακας τοὺς προγόνους αὐτῶν, ἀλλὰ καὶ πολλάκις διαλέξεσθαι πρὸς σφᾶς αὐτούς· πρῶτον μὲν, ὅτι Δωριεῖς ὄντες, ἐπειδὴ κατεῖδον τὰς πόλεις τὰς ἑαυτῶν ἀδόξους, καὶ μικρὰς, καὶ πολλῶν ἐνδεεῖς οὔσας, ὑπεριδόντες ταύτας ἐστράτευον ἐπὶ τὰς ἐν Πελοποννήσῳ πρωτευούσας, ἐπ' Ἄργος, καὶ Λακεδαίμονα, καὶ Μεσσήνην· μάχῃ δὲ νικήσαντες, τοὺς μὲν ἡττηθέντας ἔκ τε τῶν πόλεων καὶ τῆς χώρας ἐξέβαλον, αὐτοί τε τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων κατασχόντες ἔτι καὶ νῦν ἔχουσιν· οὗ μεῖζον ἔργον καὶ θαυμαστότερον οὐδεὶς ἐπιδείξει κατ' ἐκεῖνον τὸν χρόνον γενόμενον, οὐδὲ πρᾶξιν εὐτυχεστέραν καὶ θεοφιλεστέραν, τῆς τοὺς χρησαμένους τῆς μὲν οἰκείας ἀπορίας ἀπαλλαξάσης, τῆς δ' ἀλλοτρίας εὐδαιμονίας κυρίους ποιησάσης. Καὶ ταῦτα μὲν, μετὰ πάντων τῶν συστρατευσαμένων ἔπραξαν· ἐπεὶ δὲ πρὸς Ἀργείους καὶ Μεσσηνίους τὴν χώραν διείλοντο, καὶ καθ' αὐτοὺς ἐν Σπάρτῃ κατῴκισαν, ἐν τούτοις τοῖς καιροῖς τοσοῦτον φρονῆσαι φῆς αὐτοὺς, ὥστ' ὄντας οὐ πλείους τότε δισχιλίων, οὐχ ἡγήσασθαι σφᾶς αὐτοὺς ἀξίους εἶναι ζῆν, εἰ μὴ δεσ-

ipſorum res geſtas exoptent audire, ſed quòd diſcere ſtudeant quomodo tu de eis diſſerueris.

2°. Hæc cum animis ſuis cogitantes & repetentes, neque veterum facinorum obliviſcentur ob quæ majores ipſorum laudaſti, ſed hæc etiam ſæpè apud ſemetipſos commemorabunt; primum quidem ſe, quum Dorienſes eſſent, ac ſuas urbes viderent parvas eſſe & inglorias, multarumque rerum egentes, illis neglectis, bellum intuliſſe primariis Peloponneſi civitatibus, Argis, Lacedæmoni & Meſſenæ; victoriâque partâ, & urbibus & regione eos exegiſſe quos ſuperaſſent, atque occupatas poſſeſſiones illorum omnes etiam nunc tenere: quo majus facinus & admirabilius nemo oſtendet illis temporibus editum, aut quidquam eſſe geſtum felicius, & diis magis propitiis, quàm id per quod & ſuæ inopiæ conſuluerunt, & alienam felicitatem obtinuerunt. Atque hæc geſſerunt cum omnibus expeditionis illius ſociis. Poſtquam autem, cum Argivis & Meſſeniis regionem partiti, ſeorſim in Spartâ conſediſſent, eos tunc animorum tantâ magnitudine fuiſſe dicis, ut, quum non plures eſſent quàm bis mille, ſe judicarent vitâ indignos,

---

[l. 4.] Ἀμνημονήσειν, ſubaudi ἡγοῦμαι.
[l. 23.] Κατῴκισαν, ſubaudi ἑαυτούς.

ποτε πασῶν τῶν ἐν Πελοποννήσῳ πόλεων γενέσθαι δυνηθεῖεν. Ταῦτα δὲ διανοηθέντες, καὶ πολεμεῖν ἐπιχειρήσαντες, οὐκ ἀπεῖπον ἐν πολλοῖς κακοῖς καὶ κινδύνοις γιγνόμενοι, πρὶν ἁπάσας ταύτας ὑφ' αὑτοῖς ἐποιήσαντο, πλὴν τῆς Ἀργείων πόλεως. Ἔχοντας δὲ ἤδη καὶ χώραν πλείστην, καὶ δύναμιν μεγίστην, καὶ δόξαν τοσαύτην, ὅσην προσήκει τοὺς τηλικαῦτα διαπεπραγμένους, οὐχ ἧττον διακεῖσθαι φιλοτίμως, ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς μόνοις τῶν Ἑλλήνων· ἐξεῖναι γὰρ εἰπεῖν αὐτοῖς, ὅτι σφεῖς μὲν ὄντες οὕτως ὀλίγοι τὸν ἀριθμὸν, οὐδεμιᾷ πώποτε τῶν μυριάνδρων πόλεων ἠκολούθησαν, οὐδ' ἐποίησαν τὸ προσταττόμενον, ἀλλ' αὐτόνομοι διετέλεσαν ὄντες, αὐτοὶ δὲ ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Βαρβάρους, ἁπάντων τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, καὶ τῆς τιμῆς ταύτης ἔτυχον οὐκ ἀλόγως· ἀλλὰ διὰ τὸ μάχας ποιησάμενοι πλείστας τῶν ἀνθρώπων κατ' ἐκεῖνον τὸν χρόνον, μηδεμίαν ἡττηθῆναι τούτων, ἡγουμένου βασιλέως, ἀλλὰ νενικηκέναι πάσας. Οὗ τεκμήριον οὐδεὶς ἂν δύναιτο μεῖζον εἰπεῖν ἀνδρείας, καὶ καρτερίας, καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας, πλὴν ἢ τὸ ῥηθήσεσθαι μέλλον. Τοσούτων γὰρ τὸ πλῆθος πόλεων τῶν Ἑλληνίδων οὐσῶν, τῶν μὲν ἄλλων οὐδεμίαν ἐστὶν εἰπεῖν, οὐδ' εὑρεῖν, ἥ τις οὐ περι-

nisi omnibus Peloponnesi urbibus potiri possent. Quo consilio quum suscepissent bellum, licet multis miseriis & periculis circumventi, non abjecerunt animos, neque priùs conquieverunt, quàm eas omnes, Argivorum urbe exceptâ, subegissent. Quum autem jam & ditionem amplissimam, & potentiam maximam, & tantam gloriam essent consecuti, quantam eos par est qui res tantas gesserant, hoc sibi non minus laudi duxerunt, quòd soli Græcorum omnium peculiari hâc & inclytâ prærogativâ possent gloriari, se tàm paucos numero, nullius unquam civitatis, quantumvis amplæ, ductum secutos esse, aut imperata fecisse, sed fuisse perpetuò sui juris; belloque Barbarico Græcorum omnium duces constitutos, & eo honore non sine causâ affectos, at ideò quòd ex universis mortalibus illâ ætate in plurimis præliis versati, in nullo, rege duce, succubuissent, sed in omnibus superassent: quo nullum majus ac certius testimonium proferri possit fortitudinis & tolerantiæ, & consensionis inter ipsos, eo excepto quod jam dicetur. Nam quum tanta multitudo sit Græcarum civitatum, ceterarum nulla dici aut inveniri potest quæ non

[l. 24.] Vulg. τοσοῦτον, dedi τοσούτων cum Ald. Med. & Battie.

ἔπεσε ταῖς συμφοραῖς ταῖς εἰθισμέναις γίγνεσθαι ταῖς πόλεσιν· ἐν δὲ τῇ Σπαρτιατῶν οὐδεὶς ἂν ἐπιδείξειεν, οὔτε σφαγὰς ἀνόμους γεγενημένας, οὐδ' ἁρπαγὰς χρημάτων, οὐδ' αἰσχύνας γυναικῶν καὶ παίδων, ἀλλ' οὐδὲ πολιτείας μεταβολὴν, οὐδὲ χρεῶν ἀποκοπὰς, οὐδὲ γῆς ἀναδασμὸν, οὐδ' ἄλλο οὐδὲν τῶν ἀνηκέστων κακῶν. Περὶ ὧν διεξιόντας οὐκ ἔστιν ὅπως οὐ καὶ σοῦ ταῦτ' ἀθροίσαντος, καὶ διαλεχθέντος οὕτω καλῶς περὶ αὐτῶν, μεμνήσεσθαι καὶ πολλὴν χάριν ἕξειν.

Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔχω περὶ σοῦ νῦν τε καὶ πρότερον. Ἐν μὲν γὰρ τοῖς παρελθοῦσι χρόνοις ἐθαύμαζόν σου τήν τε φύσιν, καὶ τὴν τοῦ βίου τάξιν, καὶ τὴν φιλοπονίαν, καὶ μάλιστα τὴν ἀλήθειαν τῆς φιλοσοφίας· νῦν δὲ ζηλῶ σε καὶ μακαρίζω τὴν εὐδαιμονίαν. Δοκεῖς γάρ μοι ζῶν μὲν λήψεσθαι δόξαν, οὐ μείζω μὲν ἧς ἄξιος εἶ (χαλεπὸν γὰρ), παραπλησίαν δὲ, καὶ μᾶλλον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης· τελευτήσας δὲ τὸν βίον, μεθέξειν ἀθανασίας, οὐ τῆς τοῖς θεοῖς παρούσης, ἀλλὰ τῆς παρὰ τοῖς ἐπιγιγνομένοις περὶ τῶν διενεγκόντων ἐπί τινι τῶν καλῶν ἔργων, μνήμην ἐμποιούσης. Καὶ δικαίως τεύξῃ τούτων.

[l. 8.] Ταῦτ', vulg. τοῦτ'.
[l. 17.] Οὐ μείζω μὲν ἧς, vulg. οὐ μείζω δὲ ἧς.

in calamitates illas inciderit urbibus accidere ſolitas. In Spartanorum verò civitate nemo oſtenderit factas eſſe vel cædes injuſtas, vel direptiones pecuniarum, vel ſtupra uxorum & liberûm, imò nec reipublicæ mutationem, nec æris alieni obliterationem, nec agrorum diviſionem, neque quidquam aliud inſignium calamitatum. Quæ quum reputabunt, fieri non poterit quin tuî etiam, qui iſta collegeris, & tàm eleganter diſſerueris, recordaturi ſint, & magnam tibi gratiam habituri.

3°. Non autem nunc idem de te ſentio quod priùs. Nam ſuperiori tempore, cùm ingenium tuum, & vitæ ordinem, & induſtriam, tùm imprimis optimam philoſophiæ tuæ ſanitatem, mirabar: nunc verò te feliciſſimum & beatiſſimum judico. Videris enim mihi vivens gloriâ potiturus, non majore quidem quàm merearis (id enim difficile eſſet), proximâ illi tamen, & evidentiore hâc quâ nunc flores: defunctus autem immortalitatis particeps futurus, non illius quâ dii fruuntur, ſed ejus quâ memoria eorum qui re aliquâ præclarâ alios ſuperant, ad poſteros propagatur. Et hæc jure

---

[l. 18.] Παραπλήσιαν, vulg. παραπλήσιον.

[l. 19.] Vulg. habet τελευτήσαντα, ego legi τελευτήσας ut ſuprà ζῶν.

ἐπῄνεσας γὰρ ἀμφοτέρας καλῶς, καὶ προσηκόντως· τὴν μὲν, κατὰ τὴν δόξαν τῶν πολλῶν, ἧς οὐδεὶς τῶν ὀνομαστῶν ἀνδρῶν καταπεφρόνηκεν, ἀλλ' ἐπιθυμοῦντες τυχεῖν αὐτῆς, οὐκ ἔστιν ὅν τινα κίνδυνον οὐχ ὑπομένουσι· τὴν δὲ, κατὰ τὸν λογισμὸν τῶν πειρωμένων στοχάζεσθαι τῆς ἀληθείας, παρ' οἷς εὐδοκιμεῖν ἂν τινες ἕλοιντο μᾶλλον, ἢ παρὰ τοῖς ἄλλοις διπλασίοις γενομένοις ἢ νῦν εἰσίν.

Ἀπλήστως δὲ διακείμενος ἐν τῷ καιρῷ τῷδε πρὸς τοὺς λόγους, καὶ πολλὰ ἂν εἰπεῖν ἔχων, καὶ περὶ σοῦ καὶ περὶ τῶν πόλεων, καὶ περὶ τοῦ λόγου, ταῦτα μὲν ἐάσω· περὶ ὧν δὲ παρακληθῆναί με σὺ φὴς, περὶ τούτων ἀποφανοῦμαι. Συμβουλεύσω γάρ σοι, μήτε καίειν τὸν λόγον, μήτε ἀφανίζειν, ἀλλ' εἴ τινος ἐνδεὴς ἐστι, διορθώσαντα, καὶ προσγράψαντα πάσας τὰς διατριβὰς, τὰς περὶ αὐτὸν γενομένας, διδόναι τοῖς βουλομένοις λαμβάνειν, εἴπερ βούλει χαρίζεσθαι μὲν τοῖς ἐπιεικεστάτοις τῶν Ἑλλήνων, καὶ τοῖς ἀληθῶς φιλοσοφοῦσιν, ἀλλὰ μὴ προσποιουμένοις, λυπῆσαι δὲ τοὺς θαυμάζοντάς σε μᾶλλον τῶν ἄλλων, λοιδορουμένους δὲ τοῖς λόγοις τοῖς σοῖς ἐν τοῖς ὄχλοις τοῖς πανηγυρικοῖς, ἐν οἷς πλείους εἶναι

[l. 1.] Ἀμφοτέρας, subaudi πόλεις.
[l. 9 & 10.] Τῷδε, vulg. τῷ simpliciter. Deindè,

tibi

tibi continget. Nam utramque civitatem pulchrè laudasti & convenienter : alteram ex multitudinis opinione, quam nullus virorum celebrium contempsit, sed dùm eam consequi student, omnia pericula subeunt : alteram juxtà illorum judicium qui veritatem conjecturâ assequi conantur; apud quos in magnâ existimatione esse præstabilius est, quàm apud alios, si plures duplò quàm nunc sunt, existerent.

Quamvis autem hoc tempore inexpletâ loquendi cupiditate afficiar, & multa dicenda habeam, tùm de te, tùm de utrâque civitate; tamen, omissis illis, de eo sententiam dicam cujus gratiâ me accersitum esse dicis. Tibi enim autor ero ut hanc orationem neque comburas neque aboleas; sed sicubi aliquid deest corrigas, &, omnibus disputationibus quæ de eâ habitæ sunt adscriptis, legere volentibus impertias, si modò rem gratam facere studes optimis viris inter Græcos, & verè, non simulatè, philosophantibus; & illos afficere molestiâ, qui, quum te magis quàm alii mirentur, orationes tuas conviciis proscindunt in frequentissimis hominum conventibus, in quibus accidit plures esse qui dormiant

---

πρὸς τὺς λόγυς, in vulg. legitur πρὸς τὺς ἄλλυς, quod nullum sensum exhibet.

συμβαίνῃ τοὺς καθεύδοντας τῶν ἀκροωμένων, καὶ προσδοκῶντας ἢν διαχρήσωνται τοὺς τοιούτους, ἐναμίλλους τοὺς αὐτῶν γεγενῆσθαι τοῖς ὑπὸ σοῦ γεγραμμένοις. Καλῶς εἰδότες, ὅτι πλεῖον ἀπολελειμμένοι τῶν σῶν εἰσιν, ἢ τῆς Ὁμήρου δόξης οἱ περὶ τὴν αὐτὴν ἐκείνῳ ποίησιν γεγονότες.

Ταῦτ' εἰπόντος αὐτοῦ, καὶ τοὺς παρόντας ἀξιώσαντος ἀποφήνασθαι περὶ ὧν παρεκλήθησαν, οὐκ ἐθορύβησαν, ὃ ποιεῖν εἰώθασι πᾶσι τοῖς χαριέντως διειλεγμένοις, ἀλλ' ἀνεβόησαν ὡς ὑπερβαλλόντως εἰρηκότος, καὶ περιστάντες αὐτὸν ἐπῄνουν, ἐζήλουν, ἐμακάριζον. Καὶ προσθεῖναι μὲν οὐδὲν εἶχον τοῖς εἰρημένοις, οὐδ' ἀφελεῖν· συναπεφαίνοντο δὲ, καὶ συνεβούλευον ποιεῖν ὥσπερ ἐκεῖνος παρῄνεσεν. Οὐ μὴν οὐδ' ἐγὼ παρεστὼς ἐσιώπων, ἀλλ' ἐπῄνουν τήν τε φύσιν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν· περὶ δὲ τῶν ἄλλων οὐδὲν ἐφθεγξάμην ὧν εἶπεν, οὔθ' ὡς ἔτυχε ταῖς ὑπονοίαις τῆς ἐμῆς διανοίας, οὔθ' ὡς διήμαρτεν· ἀλλ' εἴων αὐτὸν οὕτως ἔχειν ὥσπερ αὐτὸς αὑτὸν διέθηκε.

Περὶ μὲν οὖν ὧν ὑπεθέμην, ἱκανῶς εἰρῆσθαι νομίζω· τὸ γὰρ ἀναμιμνήσκειν καθ' ἕκαστον τῶν

[l. 3.] Γεγενῆσθαι, velim γενήσεσθαι.
[l. 22.] Καθ' ἕκαστον, adverbialiter, singulatim.

quàm qui auſcultent; quique ſperant, ſi auditores ejuſmodi deceperint, ſuas declamatiunculas cum ſcriptis à te orationibus poſſe comparari: parùm ſcientes ſe longiùs abeſſe ab excellentiâ tuâ, quàm Homeri gloriâ vincuntur illi qui in eodem genere poeſeos elaborârunt.

Approbatio data Philolaconi, & totius orationis concluſio.

Hæc quùm ille dixiſſet, ab iis qui aderant petiit ut eâ de re cujus gratiâ eſſent convocati ſententiam dicerent. Illi verò non applauſerunt tantùm, quod facere ſolent omnibus eleganter diſſerentibus; ſed exclamârunt quaſi excellenter peroraſſet, factâque circà eum coronâ, laudabant, mirabantur, beatum prædicabant. Ac ejus quidem orationi nihil habebant quod adderent aut demerent, at cum eo conſentientes, ea mihi facienda cenſebant quæ ille monuiſſet. Verùm ne ego quidem aſtabam tacitus, ſed cùm ingenium ejus, tùm ſtudium in me laudabam. De ceteris autem quæ dixerat nihil locutus ſum, nec quàm propè conjecturis ſuis ad meam ſententiam acceſſiſſet, nec quàm longè aberraſſet; ſed eum ſinebam tenere eam perſuaſionem quam à ſe ipſe acceperat.

Ac de his quidem quæ propoſui ſatis dictum eſſe puto. Nam ſingula quæ priùs dicta ſunt repe-

εἰρημένων, οὐ πρέπει τοῖς λόγοις τοῖς τοιούτοις. Βούλομαι δὲ διαλεχθῆναι περὶ τῶν ἰδίᾳ μοι περὶ τὸν λόγον συμβεβηκότων. Ἐγὼ γὰρ ἐνεστησάμην μὲν αὐτὸν ἔτη γεγονὼς ἅπερ ἐν ἀρχῇ προεῖπον. Ἤδη δὲ τῶν ἡμίσεων γεγραμμένων, ἐπιγινομένου μοι νοσήματος, ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς, δυναμένου δ' ἀναιρεῖν οὐ μόνον τοὺς πρεσβυτέρους ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις, ἀλλὰ καὶ τῶν ἀκμαζόντων πολλοὺς, τούτῳ διετέλουν τριετῆ μαχόμενος, οὕτω φιλοπόνως ἑκάστην τὴν ἡμέραν διάγων, ὥστε καὶ τοὺς εἰδότας καὶ τοὺς παρὰ τῶν εἰδότων πυνθανομένους, μᾶλλον θαυμάζειν διὰ τὴν καρτερίαν ταύτην, ἢ δι' ἃ πρότερον ἐπῃνούμην. Ἤδη δ' ἀπειρηκότος καὶ διὰ τὴν νόσον, καὶ διὰ τὸ γῆρας, τῶν ἐπισκοπούντων τινές με καὶ πολλάκις ἀνεγνωκότων τὸ μέρος τοῦ λόγου τὸ γεγραμμένον, ἐδέοντό μου καὶ συνεβούλευον μὴ καταλιπεῖν αὐτὸν ἡμιτελῆ, μηδὲ ἀδιέργαστον, ἀλλὰ πονῆσαι μικρὸν χρόνον, καὶ προσέχειν τοῖς λοιποῖς τὸν νοῦν. Οὐχ ὁμοίως δὲ διελέγοντο περὶ τούτων τοῖς ἀφοσιουμένοις· ἀλλ' ὑπερεπαινοῦντες μὲν τὰ γεγραμμένα, τοιαῦτα δὲ λέγοντες ὧν εἴ τινες ἤκουον, μήτε συνήθεις ἡμῖν ὄντες, μήτ' εὔνοιαν μηδεμίαν ἔχοντες, οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπέλαβον, τοὺς μὲν φενακίζειν, ἐμὲ δὲ διεφθάρθαι, καὶ παντάπασιν εἶναι μωρὸν, εἰ πείσομαι τοῖς

tere, aliénum eſt ab hoc genere orationum. Volo autem de his dicere quæ in hâc oratione conficiendâ mihi privatìm acciderunt; quam ego ſcribere inſtitui tot annos natus quot dixi initio. Dimidiâ verò partè jam ſcriptâ, me invaſit morbus, qui, ut nominari verecundè nequit, ſic non ſeniores ſolùm triduo aut quatriduo tollere poteſt, ſed multos etiam integræ ætatis. Cum quo perpetuum triennium ego ſum luctatus, & eâ tolerantiâ ſingulos dies tranſegi, ut & ii qui ſciunt, & qui è ſcientibus audiverunt, me ob illam patientiam mirentur magis, quàm ob ea quæ ſuperiori tempore mihi laudem pepererunt. Quum verò defatigatus jam & exhauſtus eſſem, tùm morbo, tùm ſenectute, quidam eorum qui me viſebant, & ſæpè legerant eam orationis partem quæ ſcripta erat, rogârunt & ſuaſerunt, ne dimidiatam & inelaboratam relinquerem; ſed modici temporis labore ſuſcepto, etiam reliquis abſolvendis animum adjicerem. Neque ità loquebantur, ut defungendi causâ id facerent; verùm & quæ ſcripſeram laudabant maximè, & ea dicebant quæ ſiqui audiviſſent, neque familiaritate neque benevolentiâ nobiſcum conjuncti, fieri non potuiſſet quin exiſtimaſſent, & illos mihi fucum facere, & me animo debilem, & omninò ſtultum

[l. 9.] Vel accipe τριετῆ pro τρία ἔτη, vel ſubaudi χρόνον.

λεγομένοις. Οὕτω δ' ἔχων ὡς ἴσως ἂν εἰπεῖν τινὲς ἐτόλμησαν, ἐπειδὴν (τί γὰρ δεῖ μακρὸν λόγον γίνεσθαι περὶ τὴν τῶν λοιπῶν πραγματείαν;) γεγονὼς μὲν ἔτη τρία μόνον ἀπολείποντα τῶν ἑκατὸν, οὕτω δὲ διακείμενος, ὡς ἕτερος ἔχων οὐχ ὅπως γράφειν ἂν λόγον ἐπεχείρησεν, ἀλλ' οὐδ' ἄλλου δεικνύοντος καὶ πονήσαντος ἠθέλησεν ἀκροατὴς γενέσθαι.

Τίνος οὖν ἕνεκα ταῦτα διῆλθον; οὐ συγγνώμης τυχεῖν ἀξιῶν ὑπὲρ τῶν εἰρημένων· οὐ γὰρ οὕτως οἴομαι διειλέχθαι περὶ αὐτῶν· ἀλλὰ δηλῶσαι βουλόμενος τά τε περὶ ἐμὲ γινόμενα, καὶ τῶν ἀκροατῶν ἐπαινέσαι μὲν τοὺς τόν τε λόγον ἀποδεχομένους τοῦτον, καὶ τῶν ἄλλων σπουδαιοτέρους καὶ φιλοσοφοτέρους εἶναι νομίζοντας, τούς τε διδασκαλικοὺς καὶ τεχνικοὺς, τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων· καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους, τῶν τὰς δόξας τῶν ἀκροωμένων παρακρούεσθαι ζητούντων· καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας, τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων· συμβουλεῦσαι δὲ τοῖς τἀναντία τούτων γινώσκουσι, πρῶτον μὲν μὴ πιστεύειν ταῖς αὑτῶν γνώμαις, μηδὲ νομίζειν ἀληθεῖς εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥαθυμούντων

[l. 13.] Ἐπαινέσαι μὲν, huic μὲν reſpondet δὲ l. 21 &

fore, si verbis illorum fidem habuissem. Sic affectus igitur, ut fortassè quidam dicere auderent, illis tandem parui (quid enim prolixâ oratione opus est de his quæ restant?) quum quidem triennio tantùm ab anno ætatis centesimo abessem, & sic affectâ valetudine, quâ alius adeò non instituisset orationem scribere, ut nec ab alio elaboratam & ostensam audire voluisset.

Cur igitur hæc commemoro? non utique ut orationi meæ veniam petam (nec enim sic disseruisse mihi videor); sed partìm ut ostendam quid mihi usu venerit, partìm ut illos auditores laudem qui orationem probant ejusmodi, quique præponunt, tanquam utiliores & eruditiores, orationes eas quæ doctrinam & artem commonstrant, iis quæ vel ad ostentationem vel ad forensia certamina comparatæ sunt; eas etiam quæ tendunt ad veritatem, iis qui audientium animos decipere, ac receptas opiniones extorquere conentur; ac postremùm eas quæ delinquentes reprehendunt atque admonent, iis quæ ad voluptatem dicuntur & gratiam. Istos autem qui diversum ab his sentiunt, monere volui, primùm ne suis sententiis plus æquo tribuant, neque vera eorum judicia esse putent qui sunt animis otio-

---

22, συμβελεῦσαι δέ.

γινομένας· ἔπειτα μὴ προπετῶς ἀποφαίνεσθαι περὶ ὧν οὐκ ἴσασιν, ἀλλὰ περιμένειν ἕως ἂν ὁμονοῆσαι δυνηθῶσι τοῖς τῶν ἐπιδεικνυμένων πολλὴν ἐμπειρίαν ἔχουσι. Τῶν γὰρ οὕτω διηκόντων διανοίας, οὐκ ἔστιν ὅπως ἄν τις τοὺς τοιούτους ἀνοήτους εἶναι νομίσειεν.

[l. 4.] *Τῶν γὰρ οὕτω διηκόντων τῆς διανοίας*, hîc textum ut ſe habet vix intelligo; ità tamen poteſt explicari; horum enim qui pervenerunt ad hoc mentis, i. e. ad hanc



ſis. Secundo loco, ne pronuntient temerè de his quæ prorsùs neſciunt, ſed expectent tantiſper dùm illis poſſint aſſentiri qui de iis quæ oſtenduntur orationibus peritiſſimè judicant. Nam fieri non poteſt ut quiſpiam eorum qui hanc experientiam acquiſiverunt, ipſos tàm modeſtè ſe gerentes, ineptos & ſtolidos habeant.

---

mentem. Hanc ultimam phraſim, quantùm in me fuit, elucidavi in verſione meâ.



DISPUTATIO BREVIS

de longiori loco qui compertus fuit desiderari in Panathenaico Isocratis (1).

In hâc brevi disputatione duo peragenda suscipio; nempè primùm demonstrare velim in Panathenaico Isocratis locum longiorem desiderari, deindè expendere quibus viis reperiri posset codex ille vetus undè hæc quæ desunt explerentur, si reipsâ codex extiterit & adhuc supersit.

In hâc nostrâ editione, pag. 546 hujus voluminis, à lineâ 8 ἔχων δὲ usque ad lineam 22 περὶ τούτων, profitetur Isocrates se pericula & pugnas Spartiatarum, antè pericula & pugnas Atheniensium, commemoraturum esse, τοὺς κινδύνους καὶ τὰς μάχας τὰς τῶν Σπαρτιατῶν. Opus igitur aggreditur, & quædam præmittit, scilicet quibus turbis concussa fuerit Lacedæmon quum Dorienses occupârunt Peloponnesum, & quâ immanitate principes civitatis in plebem à se oppressam sævierint; à pag. 546, l. 23, ἐπειδὴ, usque ad pag. 552, l. 6, μιαιφονεῖν. His præmissis rem ipsam aggredi deberet orator, id est, de periculis & pugnis Spartiatarum dicere de quibus dicturum se promiserat; sed horum nullam omninò mentionem facit. In his quæ proximè sequuntur sensus evidenter interrumpitur, & disertis verbis significat Isocrates se de pugnis dixisse de quibus nihil prorsùs dixit. *Pluribus*, inquit, *disserui de cognatione*, περὶ τῆς οἰκειότητος διὰ πλειόνων διῆλθον! *De cognatione!* de quorum cognatione? *& de peccatis*

(1) Hæc eadem disputatio aliquot adhinc mensibus gallico sermone prodiit in Diario dicto *Journal des Savans*. Magni fecissem in bibliothecis peregrinis repertum fuisse undè ea quæ demonstro deesse in Panathenaico, explerentur.

in eos admissis, ἐ τῶν ἡμαρτημένων εἰς αὐτούς. *In eos!* in quos? *ut eos interrogarem qui omnia ab illis gesta probant, num etiam hæc laudent, & pugnas cum his commissas præclaras autument*, ἵν' ἔρωμαι τοὺς ἀποδεχομένους ἁπάσας τὰς Σπαρτιατῶν πράξεις, εἰ ἐ ταύτας ἀποδέχονται, ἐ τὰς μάχας εἶναι νομίζουσι καλὰς τὰς πρὸς τούτους γεγενημένας. Num etiam *hæc* laudent, ἐ ταύτας; at ubi horum gestorum mentionem fecit? *& pugnas cum his* commissas præclaras autument, μάχας, πρὸς τούτους. Quid hæc significant *pugnas, cum his?* Adsit locus longior qui deest, in quo narrentur Spartiatarum prælia cum Argivis præsertimque Messeniis, qui ambo ipsorum fuerunt cognati, quandoquidam, sicut & ipsi, à Doride oriundi erant, & unà exierant, ducibus Heraclidis, ad Peloponnesum occupandam; tunc omnia inter se juncta cohærent, tunc omnia verba facilè & clarè intelliguntur. Ut omnia paucis comprehendam, Isocrates profitetur se de periculis & pugnis dicturum de quibus nihil omninò dicit; declarat deindè se pluribus disseruisse (διὰ πλειόνων) de his periculis & pugnis quorum nullam prorsùs mentionem fecit; nonne planum est & manifestum locum longiorem in medio desiderari?

Si argumentum adeò evidens confirmatione indigeret, hîc àdderem quemdam Lacedæmonis fautorem, quem inducit Isocrates, ea ab oratore dicta disertè significare quæ in loco qui deest dici debuerunt, & quæ alibi nequicquam quærerentur. Vide à pag. 602, l. 3, ταῦτα ἐνθυμουμένους, usque ad pag. 606, l. 11.

Demonstratum igitur manet locum aliquem in Panathenaico, & quidem longiorem, desiderari. Eò majoris referret illum recuperari codicem undè hæc expleretur lacuna, quòd ea orationis pars quæ deest non minoris est momenti; quippè in ipsâ orator adversùs Lacedæmonios invectus fuerat eâ vehementiâ cujus deindè ipsum pœnituit, quamque studuit

emendare per hæc quæ illum Lacedæmonis laudatorem loquentem inducit.

Id ſcilicet videtur conſtare ex teſtimonio Joſephi Scaligeri, Petri Victorii & Hieronymi Volfii, ſæculo ſexto decimo quemdam Sophianum (1) habuiſſe codicem Iſocrateum vetuſtiſſimum, & his auctiorem quos nunc habemus. « Sed co-
« dicem Iſocratis, inquit Joſephus Scaligėr in ſuâ CDXXXI
« epiſtola ad Gruterum, idem Nicolaus Sophianus habe-
« bat qui Panathenaicum tribus foliis auctiorem continebat
« quàm qui hodie in manibus noſtris verſatur. Præſens
« aderat Henricus Stephanus. Impreſſum illi Panegyricum
« (imò, Panathenaicum) Sophianus oſtendit; locum à quo
« abſunt illa folia interpretari jubet. Quem quum diligenter
« is perpendiſſet, palàm ſe non intelligere profeſſus eſt,
« quum tamen anteà ſuſpectus ei non fuiſſet. Poſtea, expli-
« cato codice græco, indicavit quantùm in vulgatis editio-
« nibus deeſſet. An ille codex nunc in bibliothecâ extet,
« magni fecerim ſcire; & ſi ità eſt cum vulgatis Salmaſius
« conferre poterit.... Aliquando ex ipſo Stephano audivi,
« propter hanc lacunam ſe editione Iſocratis deterritum
« fuiſſe ». Attamen aliquot annis poſt editionem ſuam publicam fecit Henricus Stephanus, omninòque tacuit de codice Sophiani, & de eo Panathenaici loco ubi ſenſus interruptus lacunam prodit, & quidem longiorem. Victorius in ſuis commentariis in rhetoricos Ariſtotelis libros (2), narrat

(1) Scaligerus & Volfius hunc Sophianum cognominant *Nicolaus*, & Victorius *Michael*. Abbas *Rive* cujus eruditio latiſſimè patens maximo mihi auxilio fuit in meis inveſtigationibus, de hoc Sophiano luculentiſſimam ſcripſit diſputationem, quam publicam mox facturus eſt, ex quâ patet Sophianum de quo hîc agitur iſta duo ſimul habuiſſe cognomina.

(2) Florentiæ, ex officinâ Junctarum 1579, pag. 718.

se accepisse ab Angelo Justiniano episcopo, ac Joanne Vincentio Pinello, Michaelem Sophianum Græcum hominem, amicum utriusque horum, & suum non parvum, nactum fuisse vetus exemplar Isocratis, in quo & quæ divulgatæ sunt diserti scriptoris orationes leguntur, & præterea fragmentum quoddam alicujus quæ adhuc in occulto latet. Vossius in suâ Isocratis editione Basileensi, Nicolai Sophiani mentionem facit, qui hujus oratoris codicem vetustissimum & longè locupletiorem habebat; sed timet ne codex ille, multos jam annos frustrà expectatus, unà cum domino suo interciderit.

Operæ igitur prætium foret illum codicem, si alicubi existit, reperire. *An ille codex*, inquit Josephus Scaliger, *nunc in bibliothecâ extet magni fecerim scire.* De quânam verò bibliothecâ is loquitur? In eâdem ad Gruterum epistolâ codicem antiquum Palatinum refert: num itaque bibliothecam Palatinam intelligit (1)? Illam bibliothecam non ignorant manuscriptis maximi pretii fuisse auctiorem, sed quum in bellis germanicis infelici fato magnâ ex parte incensa fuerit, aliquas hujus reliquias in bibliothecam Vaticanam fuisse translatas. Victorius, suprà commemoratus, in loco prædicto ità loquitur; *factum est undique malè. Nam & Michael mortuus est, & quæ possidebat in potestatem venere cognati ipsius qui domicilium non habet in Italiâ, neque apud aliquem hîc vivit, raróque huc adventat, occupatus in continuis & longinquis navigationibus.*

Hæc quidem sunt quæ de codice Sophiani colligere potuerim. Jam codices regios diligenter excussi, nec quidquam

---

(1) In disputatione abbatis *Rive*, de quâ suprà diximus, multa elucidantur quæ ad hunc Scaligeri locum & ad bibliothecam Palatinam pertinent.

reperi quod ad mutilum Panathenaici locum pertineret. Abbas *Rive* mecum communicavit editionem Isocratis principem in 8° Mediolani factam anno 1493 : quæ editio, in 8° scilicet, nam eam nôrunt quæ est *in folio*, omnibus bibliographis hactenùs incognita fuit. In eâ editione factâ ex codice bibliothecæ Laurentianæ Mediceæ, nihil omninò reperi quod ad lacunam suprà dictam spectaret.

Is sanè de re litterariâ græcâ optimè mereretur qui codicem ex tenebris erueret, undè & ea quæ non habemus accederent, & ea quæ habemus complerentur.



INDEX ORATIONUM

quæ in hoc volumine continentur.

Finis Tomi secundi.

